
1817
ARTES
VERITAS
SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
TUEBOR



IOHANNIS

EUCHAITORUM METROPOLITAE

QUAE IN CODICE VATICANO GRAECO 676 SUPERSUNT

IOHANNES BOLLIG S I

BIBLIOTHECAE VATICANAE PRAEFECTUS

LINGUARUM ORIENTALIUM IN LITTERARUM UNIVERSITATE PONTIFICIA GREGORIANA PROFESSOR

DESCRIPSIT

PAULUS DE LAGARDE

THEOLOGIAE ET PHILOSOPHIAE DOCTOR

IN ACADEMIA GEORGIA AUGUSTA PROFESSOR PUBLICUS ORDINARIUS

EDIDIT

E VOLUMINE COMMENTATIONUM A SOCIETATE REGIA GOTTINGENSI EDITARUM DUODETRIGESIMO REPETITA

GOTTINGAE

1882

IN AEDIBUS DIETERICHIANIS

IOHANNIS

EUCHAITORUM METROPOLITAE

QUAE IN CODICE VATICANO GRAECO 676 SUPERSUNT

IOHANNES BOLLIG S I

BIBLIOTHECAE VATICANAE PRAEFECTUS

LINGUARUM ORIENTALIUM IN LITTERARUM UNIVERSITATE PONTIFICIA GREGORIANA PROFESSOR

DESCRIPSIT


PAULUS DE LAGARDE

THEOLOGIAE ET PHILOSOPHIAE DOCTOR

IN ACADEMIA GEORGIA AUGUSTA PROFESSOR PUBLICUS ORDINARIUS

EDIDIT

E VOLUMINE COMMENTATIONUM A SOCIETATE REGIA GOTTINGENSI EDITARUM DUODETRIGESIMO REPETITA



GOTTINGAE

1882

IN AEDIBUS DIETERICHIANIS

Miraturos multos esse crediderim qui factum sit, ut quum negotiis obrutus neque umquam otio ad scriptores medii aevi graecos diligentius legendos requisito fruitus sim, Iohannis Euchaitorum metropolitae quae in codice vaticano graeco 676 supersunt edenda susceperim. officium igitur hoc mihi modo subnatum discant.

quum mense Februario anni 1881 Romam venissem, dici vix potest quanta summi viri benevolentia me exceperint. et postquam Iohanne Bolligio rhenano, societatis Iesu socio, vaticanae bibliothecae praefecto, ad quem per Wilhelmi Wright amici cantabrigiensis providam curam accessus mihi patuerat, paulo familiarius uti coepi, saepiuscule querentem illum audivi, tot se ac tanta volumina graeca syriaca aegyptiaca aethiopica descripsisse neque ut nunc res essent, invenire posse qui sibi thesauros non spernendos in lucem prolaturo vellent opitulari. atque in primis quidem de Iohannis Euchaitorum metropolitae relliquiis multus erat, quas ab se diligentissime e codice unico nescio quo tempore in proprium penus translatas Wilhelmus Studemund professor argentoratensis ea quam omnes ei inesse novimus accuratione ad libri vaticani fidem denuo exegisset anno 1879. narrabat Bolligius quae ad edenda opera illa esset molitus: frustranea omnia fuisse dictitabat.

quid multa? homini et erga me comissimo et de viris doctis omnibus quotquot bibliothecam vaticanam adeunt optime et merito et merituro succurrere non honestum modo, sed paene necessarium videbatur. itaque obtuli opellam meam: me editurum pollicebar quae Bolligius descripsisset, cum codice denuo contulisset Studemundius, quamvis et a sermonis graeci qualis saeculo undecimo obtinuisset usu et a rerum eo tempore gestarum memoria essem alienus. excusationem enim in promptu habiturum me confidebam, si minus bene rem gererem. quae de meo adtuli perpauca sunt: orationem distinxi — nam puncta et virgulas pro more saeculi posuit librarius, id est ineptissime —: scripturae sacrae locos si non omnes, at plerosque, indicavi: praeli curas satis molestas in me suscepi: ut uno verbo dicam, ad omnium notitiam evocavi quae si auxilium recusassem, non modo non melius editum iri sed inedita remansura scirem.

volebam vero etiam non verbis, sed opere significare quantas bibliothecae vaticanae et bibliothecario eminentissimo et praefectis summe reverendis gratias agerem, qui ita me foverunt, ut Romae — si eorum mentionem non iniciam de quibus publice loqui dedecet — nihil desiderarem nisi odii et ignaviae in patria me persequentium oblivionem.

iam vero cedo locum Studemundio, quem in schedis Bolligii mihi traditis haec disserentem inveni:

Codex Vaticanus graecus 676 scriptus est saeculo XI nitidissime in membranis formae quadratae.

Continet autem codex Vaticanus, quem littera C notabimus, in 317 foliis ipsa opera Iohannis. horum foliorum confinia in editionis nostrae margine numeris adscriptis significavimus. His 317 foliis efficiuntur 41 fasciculi, qui ab ipsa prima codicis manu (quae nobis C^1 est) numerantur in singulorum fasciculorum foliis primis rectis in margine inferiore numeris inde ab *α* usque ad *μα*. Integri ex his fasciculis quaterniones sunt primus usque ad quintum (= fol 1—40): sextus fasciculus unio est (fol 41 42), ideo quaternionibus insertus, ut una cum carminum[1] Iohannis fine (fol 42) finiretur membranarum fasciculus; inde a septimo fasciculo (fol 43 seqq) habes quaterniones integros usque ad fasciculum quadragesimum, qui pertinet usque ad folium 314. Ultimus fasciculus (fol 315 seqq) olim et ipse integrum quaternionem efficiebat: sed cum ad operum Iohannis exitum capessendum tria folia (315—317) sufficerent, cetera huius fasciculi folia, quae a C^1 vacua relicta erant, posteriore tempore partim desecta sunt, partim a variis manibus scripturâ tecta. E[xempli] g[ratia] manus saeculi XIV vel XV quantam voluptatem sibi attulisset Iohannis librorum lectio his versiculis indicavit, quibus Iohannem ipsi Demostheni praestare audacule praedicavit:

πάμμουσε βίβλε χαρίτων πληρεστάτη,
σειρήν, ἴυγξ εὔηχος, Ὀρφέως λύρα,
θησαυρὲ πολλῶν ζωτικῶν παιδευμάτων
ἰθυντική τε καὶ τρόπων σοφῶν νέων,
τοὺς ἀκροατὰς διδαχαῖς σὺ σεμνύνεις.
ψυχαῖς ἔρωτα τῶν λόγων προσεντίθης,
θέλγητρον οὖσα καρδίας μυουμένης,
ψυχῆς γλύκασμα τῆς λίαν λυπουμένης.
τίς δημιουργὸς τῆς σοφῆς τεχνουργίας,
τίς σου πατὴρ πέφυκε, ποῖος; εἰπέ μοι.
τίνος πόνημα καινὸν ἀνδρὸς τυγχάνεις
ὑπερπεσόντος τῶν βροτῶν τὴν οὐσίαν
τῇ τριτοειδεῖ τῶν λόγων ποικιλίᾳ,

1 Carmina Iohannis extant etiam in codice Ottoboniano 93 chartaceo saec XVI miscellaneo fol 41—75; attamen hunc codicem ex ipso Vaticano 676 transscriptum et ideo nullius pretii esse certis indiciis facile perspicitur.

μέτρον γλυκασμῷ πανσόφως πεπλεγμένον,
ἐπιστολῶν κάλλει τε καὶ τῷ συντόμῳ;
οὐ συγγραφεὺς γάρ, ἀλλ' ἐπικός, καὶ μόνως
ἐπιστολεὺς οὐκ ἔστιν. οὐ μὲν οὖν πόθεν,
ὥστε τρίτην σοι τάξιν ἀγαπᾷ φέρων;
Δημοσθένης γέγραφε γενναίους λόγους
καὶ πάντας εἷλεν ὡς ἄκρος τεταγμένος,
πλὴν ἀλλ' ἐκείνου μέτρον εὑρεῖν οὐδέπω·
ποιητικῆς γὰρ οὐδὲν ὠργίακέ τι,
πολλοῦ γε καὶ δεῖ τῶν ἐπιστολῶν πάλιν·
ὥστε προσέσται καὶ κατ' ἀστοῦ σοὶ κράτος
καὶ παντὸς ἄλλου τοῦ καθ' ἓν μόνον σκέλος
κλέος φέροντος, τῶν δυεῖν στερουμένου·
καὶ χαῖρε λοιπόν, χαῖρέ μοι νίκην φέρων
πάντων κατ' ἀνδρῶν τῶν θυόντων τοῖς λόγοις,
ἕως τὸν Ἑρμῆν τοῖς λόγοις ὑπερβάλοις.
Ἡσαΐας δὲ ταῦτά σοι θαρρῶν γράφει,
πιστὸς λάτρις σὸς ὑπομνηματογράφος.

Illis 317 foliis ipsa C[1] praefixit tria folia, quae nullis numeris significata sunt, ex quibus priora duo par foliorum efficiunt, tertium folium singulare est. In his tribus foliis C[1] tamquam praefationem cum indice eorum, quae in codice ipso continentur, rubro colore conscripsit, quo eodem colore in ipso codice pars titulorum et notarum marginalium conscripta est. Atque primi quidem folii pagina recta vacua relicta est; inde a folio primo verso habes haec, quae non secus atque in ipsius codicis titulis et notis marginalibus uncialibus litteris exarata sunt:

[1]*Ἰωάννου φρόντισμα ταῦτα καὶ πόνος,*
Ἀνδρὸς φυγόντος κλῆσιν ἄλλην δευτέραν·
Ὡς ἀσθενὴς γάρ, ἀξιώματος βάρος
Ὄγκον τε δόξης οὐχ ὑπέστη βαστάσαι,
Ἀλλ' εὐσταλὴς ἔμεινε καὶ φόρτου δίχα.
Κοῦφος διέπλει τὴν θάλασσαν τοῦ βίου,
Καὶ τῆς προνοίας ἐτρύφησε τὴν χάριν.
Οὐκοῦν ἄμοιρος προσθέτων ἐπωνύμων,
Τῇ κυρίᾳ κλήσει δὲ κοσμεῖται μόνῃ·
Πλὴν εἴ τις αὐτὸν ἐν θεοῦ διακόνοις
Τάττων, ἐκεῖθεν μείζονα κλῆσιν νέμοι,
Φέρουσαν οὐδὲν εἰς διάγνωσιν πλέον.
Σὺ δ' εἰ θέλεις, τρίσσευε τὸν τοῦ Κλαυδίου·
Φθόνος γὰρ οὐδεὶς πατρικῶν γνωρισμάτων.

1 descripsit hoc carmen Bolligius *Lagarde*

Πάλαι μὲν οὕτως. ἀλλὰ νῦν οὕτω πάλιν·
Ποιμὴν μὲν οἰκτρὸς Εὐχαΐτων ὁ γράφων,
Ἔστιν[1] *δὲ καὶ σύγκελλος· ὢ πῶς καὶ πόθεν;*
Θεία πρόνοια, σοὶ χάρις· σὰ γὰρ τάδε.
Αὐτὴ γὰρ οἷς ἔκρινας, εἰργάσω τρόποις.
Πρὸς ταῦτα δ' ἡμεῖς οὐδέν· αὐτὴ μαρτύρει.

Deinde post unam paginam vacuam relictam, in qua posterior manus res sacras scripsit, quae cum Iohanne nullo modo cohaerent, sequuntur ab eadem manu C^1 rubro scripta haec[2]:

Εἰς τὴν ἑαυτοῦ βίβλον.

Τίς ἄν σε προσβλέψειε, φιλτάτη βίβλε;
Τίς ἐντύχοι σοι; τίς δ' ἂν εἰς χεῖρας λάβοι;
Οὕτως ἔχει φόβος με τῆς ἀχρηστίας,
Κἂν τι προσείη χρήσιμον τοῖς σοῖς λόγοις.

Ἄλλοι.

Φεῦ φεῦ· ποθῶ μὲν πανταχοῦ πλείω γράφειν,
Ὁρῶ δ' ἐπιβλέποντας οὐδὲ πρὸς τάδε·
Ἄλλους γὰρ ἄλλοι νῦν ἐπείγουσιν[3] *πόνοι,*
Λόγων δὲ τούτων καὶ γραφῶν οὐδεὶς λόγος.
Ὅθεν τὸ δῶρον τοῦ θεοῦ μου, τὸν λόγον,
Ἔχων πρόχειρον, οὐκ ἔχω τούτου χάριν,
Ἀλλ' εἰς σιωπὴν συγκεκλεισμένον βλέπων,
Ὡς τἄλλα πάντα καρτερῶ που καὶ τόδε.

Ἄλλοι.

Καὶ ταῦτα πολλά — πρός γε τοὺς κεχρημένους —,
Μᾶλλον δ' ὅλως ἄχρηστα ταῖς νῦν ἡμέραις,
Καθ' ἃς δοκεῖ δεῖν χρημάτων, οὐ ῥημάτων,
Ζήλου κρατοῦντος πραγμάτων, οὐ γραμμάτων·
Τοιοῦτόν ἐστιν — ὢ πόνοι τε καὶ λόγοι —
Τὸ συμπέρασμα τῶν ἐμῶν σπουδασμάτων.

In proximo denique folio, id est in tertio eorum foliorum, quae primum quaternionem praecedunt, a C^1 item rubro scripta sunt haec[4]:

Ἰωάννου πόνοι τε καὶ λόγοι τάδε,
ὃς σύγκελλος ἦν καὶ πρόεδρος ἐνθάδε.
Ὁ συγγραφεὺς μὲν οὗτος· οὗτοι δ' οἱ λόγοι.
Στίχοι διάφοροι. ϛη
Ἐπιστολαὶ διάφοροι. οζ
Λόγοι διάφοροι. ιδ[5]
α *Εἰς τὴν σύναξιν τῶν ἁγίων ἀγγέλων.*

1 *ν* vocabuli *ἔστιν* erasum est | 2 quae descripsit Bolligius *Lagarde* | 3 *ν* vocabuli *ἐπείγουσιν* erasum est | 4 quae descripsit Bolligius *Lagarde* | 5 hos tres numeros omisit C^1, addidit C^2

β Εἰς τοὺς τρεῖς ἁγίους πατέρας καὶ διδασκάλους· Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν Θεολόγον καὶ Ἰωάννην τὸν Χρυσόστομον.

γ Εἰς τὴν μνήμην τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου καὶ τὴν τοῦ πρωτοσαββάτου ἡμέραν, ἐν Εὐχαΐτοις.

δ Εἰς τὴν μνήμην τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος ἤτοι τὸν ἀνθισμόν.

ε Εἰς τὴν μνήμην τοῦ μεγάλου τροπαιοφόρου· μετὰ τρίτην ἡμέραν τοῦ πάσχα τελουμένην.

ς Εἰς τὴν ἡμέραν τῆς μνήμης τοῦ μεγάλου τροπαιοφόρου καὶ τὴν νῦν γενομένην ἐπὶ τοῖς βαρβάροις θαυματουργίαν.

ζ Εἰς τὴν ἁγίαν κοίμησιν τῆς ὑπεραγίας θεοτόκου.

η Προσφώνησις πρὸς τὸν ἐν Εὐχαΐτοις λαόν, ὅτε πρῶτον ἐπέστη τῇ ἐκκλησίᾳ.

θ Εἰς τοὺς ἐκταράσσοντας φόβους καὶ τὰς γινομένας θεοσημείας.

ι Χαριστήριος λόγος ἐπὶ τῇ καθαιρέσει τῆς τυραννίδος· ἐλέχθη δὲ μετὰ πέμπτην τῶν Χριστοῦ γεννῶν ἡμέραν.

ια Νεαρὰ ἐκφωνηθεῖσα παρὰ τοῦ φιλοχρίστου δεσπότου κυροῦ Κωνσταντίνου τοῦ Μονομάχου ἐπὶ τῇ ἀναδείξει καὶ προβολῇ τοῦ διδασκάλου τῶν νόμων.

ιβ Εἰς τὴν μνήμην τῆς ὁσίας μητρὸς ἡμῶν Εὐσεβίας τῆς ἐν τοῖς Εὐχαΐτοις.

ιγ Εἰς τὴν μνήμην τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου ἤτοι τοῦ πεζοῦ.

ιδ Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Δωροθέου τοῦ νέου ἤτοι τοῦ ἐν τῷ Χιλιοκώμῳ.

In margine inferiore huius folii versi variae manus varia adscripserunt; ex his unum quod memoria dignum esset descripsi manu saeculi fere XIV vel XV exaratum hoc:

ἀφιερώθη τὸ παρὸν βιβλίον εἰς τὴν σεβασμίαν μονὴν τῶν Μαγγάνων εἰς ἄφεσιν τῶν ἡμετέρων ἁμαρτιῶν. εἴ τις δὲ βουληθείη (? *βουλη^{θ}* extat in codice) *ἀφαιρῆσαι ταύτην, ἵνα ἐπισπάσηται τὰς ἀρὰς τῶν τιη θεοφόρων πατέρων* [Nicaeae congregatorum *Lagarde*] *καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ.*

Deinde cum initio primi quaternionis inde a folio eo, quod nunc 1 numeratur, incipit ipse contextus carminum Iohannis quem edimus. In margine autem inferiore ipsius folii 1 manus saeculi XIV vel XV haec scripsit:

ἡ βίβλος ἥδε Γαβριὴλ Μονοτρόπου,
ἣν καὶ ἀνατίθησι τῇ σεβασμίᾳ
μονῇ Μαγγάνων μάρτυρος Γεωργίου
εἰς ἄφεσιν μὲν . . . . (reliqua huius versiculi verba erasa sunt)
τοῦ γοῦν ἀφαιρήσαντος ἐκ ταύτης κρύφα
πυξίδα τήνδε ἐκ μονῆς τῶν Μαγγάνων
ἀρὰς φρικώδεις λήψεται τῶν ἁγίων
σὺν ταῖσδε τοῦ μάρτυρος οὐ μέγα κλέος.

Ipsa verba Iohannis a C[1] diligentissime ita scripta sunt, ut et pauca adhiberentur scripturae compendia et accentus spiritusque plerumque recte collocarentur.

Raro C[1] inter scribendum se ipsa correxit; quod ubi factum est, non adnotavimus. Nos in hac editione scripturam manus C[1] diligenter servavimus, nisi quod in minutiis orthographicis nonnumquam taciti a C[1] recessimus. Moneo igitur iota mutum in codice ipso modo additum esse modo omissum; nos ubique taciti subscripsimus; quod ubi adest, adscriptum in codice est, non subscriptum, qui mos sollemnis est codicum illa aetate exaratorum, ad quam codex Vaticanus 676 pertinet. Supra ϱϱ spiritus nusquam additi sunt, eumque antiquiorem modum scribendi nos quoque in hac editione servavimus. ***διαταῦτα, διατοῦτο, μεταταῦτα*** in codice fere constanter accentu in praepositione omisso scribuntur; nos accentus taciti addidimus. Negatio ***οὐχ*** modo addita apostropho scribitur ***οὐχ'***, modo omissa apostropho ***οὐχ***; nos apostrophum constanter omisimus; nec raro in ipso codice ac praecipue in Iohannis epistulis apostrophus erasa est. Particula ***γοῦν*** modo ***γοὖν*** scribitur, modo ***γοῦν***; nos posteriorem scribendi morem constanter taciti introduximus. Particula ***μὲν*** raro sic scribitur ***μἒν***; nos ubique taciti ***μὲν*** scripsimus. Particulae ***ὅτι*** et ***ἵνα*** plerumque sine accentu scribuntur ***ὁτι*** et ***ἱνα***; nos accentum ubique taciti addidimus. Idem in ***ἄν*** particula fecimus, quae non raro ***ἀν*** scribitur. Encliticum ***τε*** non raro accentu insignitum est: ***τὲ***; nos accentum ubique taciti omisimus.

In verbis compositis, velut ***πρωτοκαίριον, ἐπιτοπλεῖστον, δηλονότι, τηνάλλωσ, ὁποιανοῦν, ὁτεδήποτε, οὑτινοσοῦν*** et similibus C[1] non raro arcu ‿ compositionem significat; hos arcus taciti omisimus. Sigma littera etiam in fine vocabulorum σ scribitur.

In Iohannis carminibus lineola significatur novae personae verba facientis initium; in versuum exitu cola posita sunt fere ubique. Interpunctionem, quae aut puncto aut colo aut virgula in codice efficitur, recentium more ipsi constituimus [*id est Paulus de Lagarde constituit*].

His igitur minutiis exceptis a C non recessimus nisi monito lectore. Ceterum C[1] in margine nonnulla adscripsit ad locos quosdam Iohannis accuratius significandos praedicandosve.

Ea quae manus C[1] scripserat, raro a posterioribus manibus correcta sunt, inter quas duas facile secernas; nos utramque C[2] appellavimus; nec tamen ubique adnotavimus, ubi C[2] verba a C[1] scripta emendavit, nisi ubi maioris momenti videbatur scire, quid singulae manus voluissent.

Non recepi in hanc editionem odas sacras ecclesiae usui destinatas et acrostichorum artificio insignes, quales leguntur in bibliothecae Vaticanae codice Palatino 138 chartaceo saec XV (fol 70 sqq et fol 317 sqq).

Praeterea in nonnullis codicibus recentioribus legitur hoc, quod in fine edam, carmen etymologicum.

Descripsi hoc carmen ex codice Vaticano graeco 1269 chartac. saec. XVI (fol 57[r] usque ad fol 62[r]), ubi hic titulus rubro scriptus praemittitur: ***τοῦ ἁγιωτάτου μητροπολίτου κύρου*** (sic) ***ἰωάννου ἐτυμολογικὸν*** (correctum ex ***ἑτοιμολογικὸν*** [1]) ***ἔμ-***

1 Georgius Hoffmannus ZDMG XXXII 736 Syros ***ἐτυμολογίαν*** per טויבא דמלתא expressisse docuit quasi ***ἑτοιμολογίαν***: iam vides quam id recte fecerit *Lagarde*

μετρον τῶν τῇ θείᾳ[sic] *γνωρίμων ὀνομάτων τὰ κατ' οὐρανον* (sic) *καὶ ἀέρα.* Lemmata quae explicantur in margine rubro scripta sunt. Signum huius codicis esse volui C in adnotatione critica.

Praeterea apographum codicis C a me factum contuli cum codice Vaticano 889 chartaceo saec XVI miscellaneo, ubi hoc carmen legitur inde a folio 126v usque ad fol 131r hoc titulo rubro insigne: *τοῦ παναγιωτάτου μητροπολίτου εὐχαΐτων. κυροῦ ἰωάννου. ἐτοιμολογικὸν· ἔμμετρον.* Hunc codicem D appellavi.

Utriusque codicis lectiones a nostra editione discrepantes attuli in adnotatione, nisi quod nonnullis locis accentus spiritusve in altero utro horum librorum omissos tacitus supplevi et nonnullarum minutiarum nullam facere volui mentionem. Ceterum uterque codex neglegenter scriptus est. Antiquiorem autem huius carminis codicem ut in bibliotheca Vaticana indagarem, mihi non contigit.

θεός. [a] *Θεὸς κατάρχει παντὸς ἔργου καὶ λόγου.*
θεὸς διήκων τῶν ὅλων ποιημάτων,
φθάνει παρὼν ἅπασι καὶ δοκεῖ θέειν.
ὡς παντεπόπτης ὤν, θεᾶται τὴν κτίσιν,
αἴθει τε πᾶν ῥύπασμα καὶ πυρὸς πλέον·
ὃν προσκυνεῖν δίκαιον, οὐ κρίνειν ὅθεν.
ἄγγελος. *Τοὺς δ' ἀγγέλους ᾄδοντας*[b] *οἴδαμεν λόγους,*
σεραφίμ. *ὧν τὰ σεραφὶμ καὶ χερουβὶμ οἱ πάνυ.*
χερουβίμ. *ἀμφοῖν δὲ τούτοιν ἑβραῒς κλῆσιν νέμει.*
οὓς ἐμπιπρῶντας πᾶς σαφηνίζων λέγει,
τοὺς δ' αὖ κραταιᾶς σοφίας ἐπωνύμους. 11 vide pagina XVI *Lagarde* | 12 Col 1, 16
θρόνοι. *ἐκ τῶν καθ' ἡμᾶς δ' οἱ θεοῦ θρόνοι θρόνων,*
οὓς καὶ θράνυς[c] *λέγουσιν ὡς ἐπηρμένους,*
ἄνω θεωρεῖν προτρέποντας τοὺς κάτω·
διττὴ τριάς· ληπτὴ δὲ τῶν σαφεστάτων.
δαίμων. *Δαίμων δαήμων καὶ*[d] *μακρῶν*[e] *κακῶν ἴδρις*[f].
οὐρανός. *Τὸν*[g] *οὐρανὸν δ' ὅρον τις ἴσθω τῶν ἄνω,*
ὁρῶν ἄνω τε τοὔνομα γνωριζέτω,
κύκλος. *ἄνω τὸ κύκλῳ πᾶν νοῶν τῶν ἐν μέσῳ*[h]
πόλος. *καὶ πᾶν ὅλον τε καὶ πόλον κεκλημένον*
στερέωμα. *καὶ στερέωμα τοῦ φύσει ῥυτοῦ στάσιν.*
ἀστήρ. *Ἀστὴρ δὲ σύμπας, ἄστατον τρέχων δρόμον,*
στηριγμὸν ὡς ἥκιστα λαμβάνειν ἔχειν. 23 scr *ἔχει? Lagarde*
ἥλιος. *λοξὸς δ' ἰὼν ἄλην*[i] *τε πάσχων ὡς πλάνης,*
ἔοικεν ἔνθεν κλῆσιν ἥλιος φέρειν,
ἕλην τε[k] *πέμπων, ζωπυρεῖ θάλπων κτίσιν.* 26 *ζωπυρεῖν? Lagarde*
ἄλλος δ' ἀολλεῖν[l] *ἅλιον τὸ πᾶν λέγει*

μακρῶν
a hanc vocem omittit D | *b ἄδοντας* D, *ἄδονιας* C | *c θρανὺς* D | *d καὶ* om D | *e πολλῶν* C | *f ἴδρυς* C | *g Τὸν δ* (sic) D | *h τῶν ἐμέσω* D | *i ἄλην* D, *ἄλλην* C | *k τὶ* D | *l ἀολεῖν* CD [sic Stud *Lagarde*]

ἤτοι[m] συνάπτειν εἰς μίαν κοινωνίαν,
νέμοντα πᾶσιν ἐμμελεστάτην κρᾶσιν[n].
σελήνη. Τῇ δ' αὖ σελήνῃ πᾶν ἀεὶ σέλας νέον,
τὸ νῦν δ' ἔλαττον πρὸς τὸ τῆς χθὲς ἢ πλέον.
μήνη[o]. Τὴν[p] μηδαμοῦ σῴζουσαν εἶδος ἓν μόνον[q]
μήνην[r] καλοῦσιν· ἀστατεῖ γὰρ τὴν θέαν.
νέφος[s]. Στέρησις ἡμῖν ἡλίου φωτὸς νέφος.
ἐλαύνεται δὲ καὶ καλύπτεται[t] νέφει[u].
βο[ρ]ρᾶς. Βοὴν βιαίαν βορέας πέμπει ῥέων.
νότος. Νότου νοτὶς δὲ[v] γῆς νεάτης[w] ἐκρέει,
ᾧ κλίματι[x] νένευκεν ἡ κόσμου θέσις.
ἀπηλιώτης. Ἀπηλιώτης δ' ἀντὶ φι πι λαμβάνει,
ἐκεῖθεν ἡμῖν ἠπίως[y] ἐπιπνέων.
ζέφυρος. Ζωήν τε ῥάστην[z] ζεφύρου πνοὴ φέρει.
ἄνεμος[a]. Ἄλλους δ' ἀνέμους αὐτὸς ὁ χρῄζων σκόπει,
ὧν ὡς ἀέντων ὑγρὸν ἢ ξηρὸν μένος
κατηγόρησαν οἱ πάλαι τοὺς ἀνέμους[b].
ὕδωρ. Ὕει δρόσον ῥέουσαν ὁ κρατῶν ὕδωρ[c],
ἀήρ. ἀὴρ δ' ἀεὶ ῥεῖ καὶ ῥυτὴν[d] ἔχει φύσιν.
πῦρ. γῆ. Πῦρ γῆ τε, ταῦτα τὰ στενῶς κεκλημένα[e]
στοιχεῖα διττὰ, κἂν ὅμοια τὴν φύσιν,
τετρακτύος μὲν ἀκρότητες τῶν ὅλων[f],
ἕλληνι[g] δ' οὐ θέλοντα κρίνεσθαι[h] λόγῳ·
κλήσεις φέρει γὰρ βαρβάρους παλαιτάτας,
κἂν τοῖς καθ' ἡμᾶς γῆν τις[i] ἐκκρίνει μάτην. 52 scr ἐκκρίνῃ Lagarde
τὸ γῶ[k] γὰρ αὐτοῦ τίς τόπος χωρεῖν ἔχει;
ἄλλως τε λέξις συλλαβῆς μιᾶς τόκος
φεύγειν δοκεῖ πως[l] τὴν ἔρευναν τοῦ λόγου·
αἰτήματος γὰρ γραμμικοῦ[m] φέρει λόγον, 56 Lagarde Symmicta I 172, 57 212, 88[4]
ἀφ' οὗ πρόεισι καὶ πρὸς ὃ βλέπει πάλιν
τὸ συμπέρασμα τοῦ προκειμένου λόγου,
τηροῦν ἐκεῖνο πάμπαν εὐθύνης[n] δίχα.
ἀρχὴ γὰρ ἀρχῆς οὐδαμοῦ[o] φαίνει πέρας.
αἰθήρ. Αἰθὴρ πυρὸς ταμεῖον ἢ πηγὴ πλέον
αἴθειν[p] ἀλύπως καὶ πυροῦν πεφυκότος.

m ἦτι D | *n* ἐμμελέστατον κράσιν D | *o* μήνιν D | *p* ἣν CD | *q* μένον C | *r* μῆνιν CD | *s* hanc vocem omittit D | *t* δὲ καὶ συντελεῖται (καλύπτεται) (sic) C, καὶ συγκαλύπτεται (omisso δὲ) D | *u* νέφη C | *v* νοτίσδε C, νοτὶς δε (sic) D | *w* νέα τὶς D | *x* ὧν κλίματι C, ὦ κλύματι D | *y* ἠπίως CD | *z* Ζωὴν τεράστην C | *a* hanc vocem om D | *b* hunc versum om D | *c* hunc versum D post proxime sequentem exhibet | *d* ρυπὴν (sic) D | *e* κεκλιμένα D | *f* hos duos versus om D | *g* ἑλληνίδι D | *h* κρινέσθω D | *i* τὶς D | *k* γώ C et in margine in C adscriptum est τὸ χωρῶ | *l* πῶς C | *m* γραμματικοῦ D | *n* εὔθυνος C | *o* οὐδ' ἀμοῦ D | *p* αἴθην C

θάλασσα. Τοῦ δ' ὕδατος θάλασσα θησαυρὸς πάλιν,
τοῖς ἄσσον οὖσα θαῦμα τοῖς χερσοτρόφοις,
ἄγει πλέοντας ἐγγὺς τε[q] τοῦ θανάτου.
πέλαγος. Πέλας δὲ γῆς[r] πέλαγος εἶναι δεικνύει.
ποταμός. Ἄθρει ποτὸν δὲ[s] ῥεῖθρα ποταμῶν ἅμα.
λίμνη. Ὕδωρ δ' ἐφεστὸς[t] ἐν λίμναις λίαν μένει[u].
πηγή[v]. Πηγὴ δὲ τῆς γῆς ἐστὶ[w] πιότης φίλη.
ὄρος. Ὄρος[x] δ' ὁρατὸν ὄμμασι καὶ μακρόθεν.
βουνός. Ἄνω δὲ βαίνει βουνὸς ὡς πρὸς αἰθέρα.
πεδίον. Ἕδρα δ' ἕδος[y] τε τῶν ποδῶν τὸ πεδίον.
ὄμβρος. Ὁμοῦ βρίθων ῥοῦς ὄμβρος ὑψόθεν[z] ῥέει.
ὑετός. Ὁ δ' ὑετὸς πῶς ὕεται σαφῶς ὕδωρ.
χιών. Χιὼν δὲ χεῖται καὶ κάτεισιν ἀθρόα.
χάλαζα. Βρίθει χάλαζα καὶ χαλᾶται σὺν ζέσει.
κρύσταλλος. Σφοδρὸν κρύος δέ, συμπεπηγὸς ὡς ἅλας,
ἐξάλλεται κρύσταλλος ἐκ τῶν ὑδάτων.
πάχνη. Ἀὴρ[a] παχυνθεὶς ἐκ ψύχους, τίκτει πάχνην.
πνεῦμα. Πάντη δὲ νεύει πνεῦμα πᾶν χύδην ῥέον.
καταιγίς. Φύσις γὰρ αὕτη[b] καὶ καταιγὶς ὑψόθεν
πρὸς γῆν ἀΐσσει[c] καὶ κατάγνυσι σκάφη.
θύελλα. Θύει θύελλα συστροφαῖς ἑλιγμάτων[d].
λαῖλαψ[e]. Λίαν δ' ἐλαύνει πάντα λαίλαπος βία.
ὁμίχλη. Ὁμοῦ δ' ὁμίχλη σὺν γνόφῳ χαλωμένη,
κατασκεδάζει τὴν ἀχλὺν[f] τῶν ὀμμάτων.
νιφετός. Πρὸς γῆν νιφετὸς διέστη πᾶς ἐκ νέφους.
δρόσος. Δρόσος δ' ὅσον τι[g] μικρὸν ὕδατος μέρος.
ψεκάς. Ψεκὰς[h] δ' ἑκὰς πρόεισιν ὀψὲ καὶ μόλις.
ἀστραπή. Ἄστρου πεσόντος ἀστραπῆς δοκεῖ χύσις·
ἀστεροπὴ γάρ[i] ὄψιν ἀστέρος λέγει[k],
παρατριβῆς ἔξαψις οὖσα τοῦ νέφους.
βροντή. Βαρὺς δὲ δεινῆς ὠτίων βροντῆς κτύπος,
σύρρηξις[l] οὖσα τῶν νεφῶν οὐ μετρία.
σκηπτός. Σκηπτὸς καὶ πρηστὴρ[m] ἐμπιπρῶν[n] οἷς ἐνσκήπτει,
πόρρω φέροιτο τῶν θεῷ προκειμένων,
κεραυνός μεθ' ὧν κεραυνὸς πῦρ ἐναύων εἰς κέρας[o].
τόξον. Μόνον δὲ τόξον ὀξὺν ἐν βολαῖς ἔχει,
ἶρις[p]. οὗ σχῆμα λαμπρὸν ἶρις[q] ὕψου δεικνύει,

67 πόντον δὲ? *Lagarde*

q ἐγγὺς τὲ D | r τῆς C | s ποτὸν δε D, ποτόν δε C | t ἐφεστὼς CD | u μένειν CD | v πηγῆ D | w ἐστὶ D, ἐστι C | x Ὄρος D | y ἐδὸς (sic) D | z ὑψώθεν C | a δὲ addit D | b αὐτὴ D | c ἀεισσει D | d ἐλιγμάτων an ἑλιγμάτων D, ἐλιγμάτων C | e λαίλαψ CD | f ἀχλὺν an ἀχλὴν D, ἀχλὴν C | g τὶ D | h ψικὰς C | i C in marg addit: ἢ τὴν ἀστραπὴν γὰρ | k λέγω D | l σύρρηξ an συρρηξ D | m πρυστὴρ D n ἐμπίπτων ἐν D | o κέρα O | p ἶρις C | q ἶρις C, ἰρις D

ἣν ὧδε φασίν, οἷα ποικίλην τάχα
μορφὴν ἰεῖσαν ἐκ νεφῶν τῶν ἐν ῥύσει.
φῶς. Φωτὸς[r] τὸ φῶς ἔρημον. οὗ φαῖνον πόθεν.
σκότος. Σκότους τόπον[s] τίς οὐδ' Ἰὼβ εἴρηκέ που.
σκιὰν δ' ἂν[t] αὐτὸ συμβάλοιτό[u] τις τόπου.
ἐνιαυτός. Ὁ δ' ἐνιαυτὸς αὐτὸς ἐν μέσῳ ἔνι[v],
τὸ πᾶν ἐν αὐτῷ τοῦ χρόνου περιστρέφων[w].
μήν. Ἐπώνυμος δὲ μήνης[x] πᾶς μὴν εἰκότως.
ἑβδομάς[y]. Ἑπτὰ δὲ σεπτὰς οἷα σεμνὴ παρθένος,
ἧς ἑβδομὰς γόνος τις εὐλογημένος.
καιρός. Ὥσπερ κέκαρται τμῆμα καιρὸς ἐκ χρόνου.
ὥρα. Ὥρα δ' ὥρός τις[z] τῶν μερῶν τῶν τοῦ χρόνου.
τὴν δὲ γραφὴν ἄλλος τις εὐθύνει λόγος.
ἡμέρα. Ἡ δ' ἡμέρα τις ἥμισυ χρόνου μέρος.
νύξ. Ἡ νὺξ δ' ἄδηλος κἀνθάδε ζοφουμένη[a],
εἰ μὴ πρὸς ὕπνον ὡς λόγος νύσσει κόρας[b].
ἑσπέρα. Τὴν δ' ἑσπέραν νόμιζε τῆς ἕω πέρας.
πρωΐ. Τῷ πρωῒ δὲ πρόεισιν οὐκ ἔχον λόγον.
ἔαρ. Ἔαρ δ' ἐᾷ[c] ὕει τε καὶ ῥεῖ[d] πλουσίως,
τουτέστι[e] χρηστὰ πάντα καινὰ δεικνύων.
θέρος. Θέρος δὲ ῥάστην πᾶσιν ἐμποιεῖ θέαν.
χειμών. Χειμὼν[f] δ' ὁμοῦ χείρευμα[g] σύμπαν ὑψόθεν.
φθινόπωρος[h]. Φθίνει δ' ὀπώρα[i] φθινοπώρῳ προσφόρως,
ὀπὸς τῆς ὥρας οὖσα καὶ καρπὸς φίλος.
ἐν οἷς τὰ πρῶτα μετρίως κόσμου μέρη.
ἀρχὴ τῶν κατὰ ἄνθρωπον ἐτυμολογιῶν[k].
ἄνθρωπος. Ἄνθρωπον ἄνω δεύτερον κόσμον λόγος,
πρὸς ὃν καθεξῆς ἡ γραφὴ περαινέτω·
ἄνω βλέπει γὰρ οἷα μοῖρα τῶν ἄνω.
σῴζει δ' ἀναθρῶν ὢν ὅπωπε τοὺς τύπους[l].
τὸ σχῆμα δ' ὀρθός ἐστι[m] τῶν ζῴων μόνος.
μέροψ. Ὁ δ' αὐτὸς οὗτος καὶ μέροψ κεκλημένος,
ἔναρθρα φωνεῖ καὶ λαλεῖ μέρη λόγου·
μέροψ μεριστὴν[n] (ὡς λόγος) φωνὴν φέρει.
βροτός. Φθορὰν[o] δὲ βρωτοὺς[p] τῶν βροτῶν προεῖπέ[q] τις,
γένος δὲ διττὸν πανσόφως τετιμημένον

103 τίς CD. Iob 38, 19 *Lagarde*

118 ab ἐύς = vasu-s dictum *Lagarde*

121 scr χεῖ ῥεῦμα *Lagarde*

r Φοτὸς C | s Σκότος τόπος D | t δ' ἂν C, δ (sic) D (supra lineam) | u συβάλλοιτό (sic) C | v ἔνι C | w περιφέρων D | x δὲ μήνης D, μήνης δὲ C | y ἕβδομος C | z ὦρος τὶς D | a ζωφουμένη C | b κόραις D | c δ' ἐᾶ an δ' ἔᾶ C, δ' ἐὰ D | d ὕει τε καιρεῖ εἰ C | e τουτέστι D | f ἐμῶν C | g χεῖρ εῦμα (sic) D | h φθινώπορος C, φινόπωρον D | i ὀπώρα an ὀπῶρα D | k hic versus rubro scriptus est in C, D habet haec rubro scripta: τοῦ αὐτοῦ τῶν κατὰ ἄνθρωπον | l ὅποτε τὰν τύπαν C | m ὀρθὸς ἐστὶ D | n μερίς ἐστιν D | o θορὰν C | p βροτοὺς D | q προσεῖπέ C

ἀνήρ.	ἀνὴρ γυνή τε καὶ συνημμένον πάλιν.
	ἄνω μὲν ἦρται πᾶς ἀνὴρ ἄρχων φύσει,
γυνή.	γυνὴ δὲ γεννᾷ καὶ γονὴν εἰς φῶς ἄγει
ψυχή.	Διπλοῦς δ' ἕκαστα σῶμα καὶ ψυχὴν ἔχων
σῶμα.	Σῶαν ἔχουσαν καὶ κρατοῦσαν τὴν φύσιν.
	ὄχημά τ' αὐτὴν ἀσφαλὲς ποιουμένην
	τὸ σῶμα δ' αὐτῇ· καὶ πρὸ τοῦ τάφου τάφος.
ψυχή[r].	ψυχὴ[s] δὲ πρῶτα νοῦν τε καὶ λόγον φέρει,
	ἐφ' οἷς τὸ θεῖον τοῦ κατ' εἰκόνα κλέος. 143 Genes 1, 26 *Lagarde*
νοῦς.	ὁ νοῦς μὲν οὖν νέει τε καὶ περιτρέχει
	ὡς οὐκ ἂν εἴποις, πᾶσαν ἐν ῥιπῇ κτίσιν.
λόγος.	λόγος δὲ λῷον τοὺς κεχρημένους ἄγει.
	ψυχὴ μὲν οὖν προὔχουσα[t] σωμάτων ὅλων,
	ὅπως ἔμοιγε δευτέρα λογιστέα·
	καὶ τὴν ἐμὴν γὰρ ἀθλίως ἐν ὑστέρῳ[u]
	τοῦ σώματος τίθημι τῶν θελημάτων.
	τὸ σῶμα δὴ κἀνταῦθα[v] πρῶτον σκεπτέον.
κάρα.	Αἴρει[w] κόρας μὲν οἷα πυρσοὺς[x] ἡ κάρα,
	καὶ κείρεται δὲ τῶν μελῶν πάντων μόνη.
κεφαλή[y].	Λύει κνέφας δὲ κεφαλὴ δι' ὀμμάτων.
κρανίον[z].	ἣν[a] τὸ κρανίον[b] ὡς κέλυφός τις σκέπει
	[c] ἄνω κάρας ὂν[d] καὶ θέσιν πρώτην ἔχον.
κορυφή.	Κάρας δ' ὀροφὴν[e] τὴν κορυφήν μοι νόει.
δέρμα[f].	Τὸ δέρμα δ' ἕρμα παντὸς εὐσθενῶς δέρις.
θρίξ.	Θερίζεται[g] θρὶξ καὶ θέρει πᾶν ὃ σκέπει.
ὀφθαλμός[h].	Ὀφθαλμός, ὄψις, ὄμμα, ταὐτὸν τὰ τρία·
	τῆς δ' ὀπτικῆς ἔξαλμα τῷ πρώτῳ πλέον.
ὄψις.	ὄψιν δ' ἄναψιν φωτός, εἰ βούλει, λέγε.
κόρη.	κύει δ' ὅρασιν ἡ μεσαιτάτη κόρη.
βλέφαρον[i].	Τὸ βλέφαρον[k] δὲ βλέμματος φάρος τίθει.
ὀφρύς.	Ὀφρὺς δ' ὑποφρύς, ὄψεως φρουρὰ πάλιν.
μέτωπον[l].	Ὀπῶν[m] μέσον μέτωπον ἐκτεταμένον.
οὖς.	Οὖς ὡς[n] ἄμοιρα[o] πάμπαν αἰτίας,
	κἂν τις βοῆς μίμησιν ἠχώδους λέγει.
μυκτήρ.	μυκτὴρ καταρρεῖ μύξαν ἐν παισὶ[p] πλέον.
ῥώθων.	ὑγρὸν δὲ ῥώθων ἐκτὸς ἐξωθεῖ[q] ῥόον.
ῥίς.	καὶ ῥὶς δ' ἐπαρρεῖ[r] τὸ τριώνυμον[s] μέλος.

r hanc vocem om D \| *s* Κύχὴ C \| *t* προύχουσα D \| *u* ἐνυστέρως D \| *v* κἂν ταῦθα D \| *w* αἶρε C \| *x* πυρσὸς D \| *y* hanc vocem om D \| *z* κράνιον C \| *a* Ἣν D \| *b* κράνιον C \| *c* hoc loco κεφαλὴ rubro scriptum extare voluit D \| *d* ὂν D, ὂν C \| *e* ὀροφὴν D \| *f* δέμα D \| *g* δὲ addit D \| *h* ὄψ C \| *i* βλέψαρον C \| *k* βρέφαρον D \| *l* μέτωπον om C \| *m* πῶν C \| *n* ὡς C \| *o* ἄμοιρα C \| *p* παισὶ D, παιξὶ C \| *q* ἔξω θεῖ an ἔξω θεῖ D \| *r* ῥὶς δὲ παρρεῖ D \| *s* τριόνυμον D

χόνδρον[t]. ἀδροῦ τε χρωτὸς χόνδρον ἔμβασιν φέρει.
στόμα. Κοινῆς πύλης δὲ σώματος τομὴ[u] στόμα,
καὶ σῖτα τέμνει καὶ τὸ πᾶν σῶμα[v] τρέφει.
ὀδούς[w]. Ὀδοὺς[x] δ' ἐδωδῆς ὄργανον ζῴοις φίλον.
γλῶσσα. Γνῶσιν κομίζει γλῶσσα τῶν ἐν καρδίᾳ.
φωνή. Φωνὴ δὲ φῶς νοῦ τοῦ τέως κεκρυμμένου.
χείλη. Χείλη[y] χέει λόγους τε[z] καὶ λείως ἔχει.
παρειά[a]. Πρόσω πρόσωπον αἱ παρειαὶ καὶ πάρος.
μήνιγξ Μήνιγκος[sic] ἐντὸς χρῆμα πάντιμον μένει,
αἰσθήσεων πηγή[b] τε καὶ κινημάτων.
ἥν μὴ σὺ νύξῃς, ἀλλὰ φεῖσαι[c] τοῦ τόπου.
ἐγκέφαλος[d]. Τὸν δ' ἐγκέφαλον ἐν κεφαλῇ πᾶς φέρει.
γνάθοι[e]. Θεῷ δὲ γναπτὰς συγκεκαμμένας γνάθους.
σειαγῶνες[f]. Σείων δ' ἄγοις[g] ἂν εὐμαρῶς σιαγόνας.
κρόταφος. Κροτεῖ κρόταφος τὴν ἁφὴν σφύζων ἄγαν.
γένυς. Γονῆς γένυς γνώρισμα τετριχωμένη.
πώγων. Πώγων δὲ πηγὴ τῶν παρῃωρημένων.
ὑπήνη. Τῶν ἐν προσώπῳ δ' ὑπήνη κατωτάτω,
ὑφ' ἥπερ[h] εἶναι καὶ τετάχθαι μηνύει.
ἀνθερεών[i]. Ἀνθερεὼν[k] ἀνθεῖ δὲ τὸ τριχῶν θέρος.
φάρυγξ[l]. Φάρυγξ[m] μέν ἐστιν[n] τοῦ λαλεῖν ὅστις ῥύαξ.
λάρυγξ[o] Λάρυγξ[p] δ' ὁμοίως τοῦ φαγεῖν πάλιν ῥίαξ.
λέγοις δ' ἐναλλὰξ[q] ταύτην ἀλληλωνύμως.
λαιμός. Λαιμὸς λαβεῖν ἕτοιμος, εἰ μόνον δίδως.
ὀστέον[r]. Ὀστοῦν[s] δ' ὃ σαρκὸς ἐκλύσει στάσιν νέμει.
σάρξ[t] Σύνεστι δ' ὀστοῖς ἕρκος ἀρκοῦν σαρκίον,
νεῦρα[u]. οἷς νεῦμα πρὸς κίνημα καὶ ῥοπὴν νεύρων,
ἶνες[v] Ἰνῶν δοκοῦν ἔρεισμα, συμπιλουμένων[w].
τράχηλος. Πρώτους τραχεῖς τράχηλος ἥλους ἐκφύει.
ῥάχις. Ἔχει δὲ πάντα ῥᾷστα καὶ κρατεῖ ῥάχυς[x].
νῶτος[y] Ἐναντίον νῶτον[z] δὲ τῶν ἐμπροσθίων.
μασχάλη[a] Μύες χαλῶντες συγχαλῶσι μασχάλην[b].
χεὶρ[c] Χεῖται δὲ ῥᾷστα[d] χεὶρ ἔχει τε δὲ[e] ῥαδίως.
ὄνυξ. Ὄνυξ δ' ὃ νύσσει[f] δέρμα σαρκὸς καὶ ξύει.
βουβών. Βουβῶνι κλῆσις ἐκ πάθους ὅπερ φύει.

t χόνδρος D | u τὸ μὴ C | v σῶμα C, μα (sic) D | w οδοῦς D (sic) | x ὀδοῦς D | y δὲ add D | z τὲ D | a πρόσωπον D | b πηγῆ D | c φῆσαι D | d ἐκκέφαλος D | e γνάθος D | f σιαγαν D | g ἄγεις D | h ἤρπερ ut videtur D | i ἀνθερεῶν D | k ἀνθερεῶν D | l φάρυξ D | m φάρυξ D | n ἐστι D | o λάρυξ D | p λάρυξ D | q ἐναλαξ (sic) D | r ὀστοῦν D | s ὀστοῦν D | t hanc vocem om D | u νεῦρον D | v hanc vocem om C | w συμπιπλουμένων C | x ῥάχις D | y νῶτον D | z νώτου D | a μάσχα[λ] (sic) C | b μασγάλην C | c χὴρ D | d Χεῖτε δε ῥάστα (sic) D | e χεὶρ καὶ κρατεῖται ῥαδίως D, χεὶρ. ἔχει τε δὲ ῥαδίως et in margine κρατοῦσα C | f δ' ὀνύσσει C

βουνοῦ[g] *δίκην βαίνοντος εἰς*[h] *ὄγκον μέγα.*

γόνυ[i] *Ἑνοῖ*[k] *δὲ γυῖα διττὰ καὶ κάμπτει*[l] *γόνυ*[m].

g βουνοῦν C, *ουνοῦ* (sic) D | *h εἶς* (sic) C | *i γυῖα* D | *k Ἕνοι* C | *l κάπτει* D | *m γόνει* C

Atque haec quidem Studemundius, quem excipere debebat Iohannes Floss professor bonnensis: is enim in Bolligii Romae libris editis carentis gratiam e Lambekio Oudino Cavio Erschio excribi curavit quae de Euchaitensi nostro agunt. Bolligius a me petivit, ut Flossii memoriam intercidere ne sinerem: quare committendum non putavi ut Flossii nomen silentio premerem: quae Bolligio ille miserat, pleraque omnia paginis 214 seqq typis repetenda curavi.

Superest ut in calce praefationis libros hos ego nominem:

Iohannis metropolitani euchaitensis versus iambici in principalium festorum pictas in tabulis historias atque alia varia compositi; nunc primum in lucem editi cura Matthaei Busti Etonensis. Etonae in collegio regali, excudebat Ioannes Norton in Gręcis etc regius typographus 1610.

IoAlbFabricius bibliotheca graeca VIII 459 Harlessii.

Patrologiae cursus completus . . . . accurante I. P. Migne. patrologiae graecae tomus CXX. paginis 1075—1200.

In Ignatii Hardt libro notissimo quo codices monacenses graecos descripsit IV 402 tacito Iohannis nostri nomine inveni carmen 29: carmen eiusdem 49 codici monacensi LIII 132 inesse auctor est Hardtius I 292, qui II 192 193 codicem monacensem CLXII Iohannis Euchaitensis carmina anno 1579 Matriti in Hispania ab Iohanne Darmario descripta continere refert.

Corrigenda et addenda:

In epistula *μη* = 147 paragraphorum numeri male positi sunt.
Pagina 145 ima non 13, sed 12 scripseram
„ 178 capitis 186 § 2 virgulam equidem non post *πάντες* sed post *αἰσχύνθητε* poni iusseram

Pagina 63 capitis 117 § 15 non debebam de corrigendo *βηθαραβρα* apographi nimis certus esse. licebat enim, nisi adcuratissime de evangeliorum forma ab Iohanne Euchaitensi lecta edoctus esses, *βηθαραβρα* illud Bolligii a Studemundio non tactum et in *βηθαβαρα* et in *βηθαραβα* mutare: vide modo Constantini de Tischendorf commentarios.

Cetera quae mihi excidisse non dubito, aequus lector propter beneficium acceptum excusabit, qui si iure consultus est, Iohannem Xiphilinum iure consultum fuisse et *νομοδιδασκαλεῖον* constantinopolitanum a Constantino Monomacho conditum opera mea didicit, si philologus, non pauca curis meis oblata habuit quae ad anthologiam graecam inlustrandam possit trahere, ut taceam de sermonis quo Iohannes utitur graeci nitore interdum non plane invenusto.

Ad versum 11 carminis etymologici hoc loco addo, quae in margine angustiore addere non potui: in codice moscuensi, quem Holmesius 127 vocat, a Christiano Friderico Matthaei (Eichhorn repertorium für biblische und morgenländische Litteratur IV [1779] 261) ad Genesis 3, 24 adscripta haec leguntur: *Ἀκ Ἑβρ χερουνι ἐπέγνω καὶ συνελίσθη*, ubi scribe *συνετίσθη*. in codice vero basileensi, quem r in Genesi mea vocavi, leguntur ad eundem Genesis locum addita haec *Σευηριανοῦ ἐπισκόπου Γαβάλων· τὸ ἑβραικὸν αχχερουβειμ* [= הכרובים], *ὅ ἐστι χερουβε*[*ι*]*ν. τὸ δὲ αχχερουβειμ σημαίνει Ἐπίγνωθι καὶ συνετίσθητι, καὶ τὸ μὲν αχχερ* [*μεναχερ* codex: = הכר] *Ἐπίγνωθι κεῖται ἐν Γενέσει* [hebraica 31, 32] *τὸ δὲ ουβειν* [= ובין] *μηνύει* [adde *Καὶ*] *συνετίσθητι ἐν τῷ Δανιηλ* [9, 23 10, 1]. *Lagarde.*

Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων.

1. *Πρόγραμμα εἰς τὴν ὅλην βίβλον.*

Πάλαι διδαχθεὶς ὡς ἄριστον πᾶν μέτρον,
τά τ' ἄλλα πάντα μετριάζω, καὶ λόγους.
οἱ γὰρ περιττοὶ τῶν περιττῶν εἰκότως
χρῄζειν δοκοῦσι πραγμάτων τε καὶ λόγων·
ἐμοὶ δὲ — μικρῷ — πραγμάτων μικρὸς λόγος·
καὶ τῶν λόγων οὖν μικρὸν ἀρκείτω μέρος,
εἰς δεῖγμα καὶ γνώρισμα τῶν ὅλων λόγων,
οὓς εἰς κενὸν κέκμηκα πολλάκις γράφων.
ἐῶ γὰρ εἰπεῖν οἷς ἐχρησάμην λέγων·
τίς γὰρ περισσεία τε καὶ τί τὸ πλέον 10 Ecclesiastes 1, 3
ἐν παντὶ μόχθῳ τῷ βροτοῖς μοχθουμένῳ,
κἂν πολλὰ φυσήσωσιν ἐν τῷ νῦν βίῳ,
λέγοντες ἢ γράφοντες εἰς ἀπληστίαν,
ὄμβρους ἀμέτρους ἐκχέοντες ῥημάτων,
βροντῶντες, ἀστράπτοντες ἐξ εὐγλωττίας;
πλεῖστον μὲν ὕψος οὐρανοῦ καὶ γῆς βάθος,
πλείστη δὲ τούτων εὐρυχωρία μέσον·
πνείτωσαν εἰς ἄπειρον· ἄφθονος τόπος·
οὐδεὶς στενώσει τήνδε τὴν ἀπειρίαν·
πολλὰς φορὰς ἤνεγκεν ἤδη πνευμάτων,
πλείους δ' ἐνεγκεῖν ἐστὶν ηὐτρεπισμένη,
ἕως ἀποπνεύσουσιν ἐσχάτην μίαν,
| ἕως λυθῶσιν εἰς ἀδηλίας χάος, 1[r]
μηδὲν κατορθώσαντα πλὴν κενοὺς πόνους.
ἀλλ' οἱ μὲν ὡς θέλουσιν· οὐδεὶς γὰρ φθόνος·
ἐγὼ δὲ τούτους ἐξελὼν μου τοὺς λόγους
πολλῶν ἀπ' ἄλλων — ἐμμέτρων, οὐκ ἐμμέτρων —
μόνους φέρων δίδωμι τοῖς λόγων φίλοις,
ὡς γεῦμα μικρὸν δαψιλοῦς ἀνθοσμίου·
οἷς ἡδονὴ γένοιτο ταῦτα μετρία,
κόρος δ' ἀπέστω καὶ μέθη καὶ ναυτία.
ἔχοντες οὖν μοι τοὺς βραχεῖς, φίλοι, λόγους,
αὐτοὶ δι' ἔργων μᾶλλον ἢ μακρῶν λόγων

εὔχεσθε πᾶσιν εὐαρεστεῖν τὸν φίλον,
πλέον δὲ πάντων τῷ λογιστῇ καὶ λόγῳ,
ᾧ κἂν λόγος λέγοιτο, πραγμάτων λόγος·
ὃς ἔργα σῴζων ἐκ πυρὸς τὰ σὺν λόγῳ,
εἰς καῦσιν ἐκδίδωσιν ἀπράκτους λόγους
ὡς χόρτον, ὡς ἔρημον ἰκμάδος ξύλον.
ἔγωγε τοίνυν ἔργα τῷ λόγῳ φίλα
φέροιμι, καὶ λάβοιμι τὴν σωτηρίαν·
λόγων δὲ πολλῶν καὶ γραφῶν ἄλλοις μέλοι.

37 Corinth *α* 3, 13 | 39 Corinth *α* 3, 12

Εἰς πίνακας μεγάλους τῶν ἑορτῶν· ὡς ἐν τύπῳ ἐκφράσεως.

in margine inferiore folii primi denuo additur *ιωαννου του αγιωτατου μητροπολιτου ευχαιτων*

2. *Εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν.*

| Τί τοῦτο; φῶς ἤστραψεν ὡς ἐξ αἰθέρος, 2[1]
ἀὴρ δὲ μεστὸς μουσικῆς συμφωνίας·
πρόσσχωμεν ὡς μάθωμεν. ὢ μυστηρίου·
παρεμβολή τις ἀγγέλων κράζει μέγα,
»θεῷ« λέγουσα »δόξα τῷ σαρκουμένῳ«.
„καὶ πῶς θεὸς σάρξ; ποῦ τὸ θαῦμα, καὶ πόθεν;
τὸ θαῦμα ποῦ;“ βάδιζε σὺν τοῖς ποιμέσιν·
ἐκεῖ γὰρ αὐτοῖς ὡς ὁρᾷς ἠπειγμένοις
καταφρόνησις γί[γ]νεται τῶν θρεμμάτων·
τούτοις συνελθὼν ἔμφοροῦ μοι τοῦ πόθου.
ἄντρον θεωρεῖς, ἄντρον ἠμελημένον·
ἐν ᾧ φάτνη τις καὶ βρέφος καὶ παρθένος.
οὐκοῦν θεὸς σὸς τοῦτο τὸ βραχὺ βρέφος.
„θεὸς πένης; ἄοικος; ἐν φαύλῳ ῥάκει;
εἰς φῶς προελθὼν ἄρτι; φεῦ, τί μοι λέγεις;“
ψεῦδος μὲν οὐδέν, ἀλλ' ἀληθῆ μανθάνεις·
καὶ μάρτυς ἀστὴρ ὃν κατ' οὐρανὸν βλέπεις,
ἐκεῖθεν ἧκον τὸ βρέφος σοι δεικνύων,
οὗτοί τε, συντρέχοντες ὡς πρὸς δεσπότην,
ὧν καὶ τὸ τερπνὸν ᾆσμα τῆς εὐφημίας,
οἷς συμμελῳδεῖν, οὐκ ἀπιστεῖν σε πρέπον·
εἰς γὰρ χάριν σὴν ταῦτα πάντα συντρέχει —
θεὸς βροτωθείς, ὡς θεώσῃ σὴν φύσιν·
πένης ὑπὲρ σοῦ, πλούσιον σὲ δεικνύων·
| ἐπικροτοῦντες ἄγγελοι ταῖς ἐλπίσι· 2[2]
μήτηρ ἄνανδρος· παρθένος βρεφοτρόφος·
μάγων τὰ λαμπρὰ δῶρα· ποιμένων δρόμος·
χαρᾶς τὰ πάντα μεστὰ καὶ θυμηδίας.
τούτοις μὲν οὖν σύγχαιρε καὶ συμπροσκύνει.

5 Lucas 2, 14 | 12 Lucas 2, 7 | 17 Matthaeus 2, 9

ἔα δὲ τόνδε τὸν κατηφῆ πρεσβύτην·
δάκνει γὰρ αὐτὸν ἄλλο τι κρυπτὸν πάθος.
ἕξει δὲ τούτου μικρὸν ὑπνώσας λύσιν,
καὶ συγκροτήσει πᾶσιν ἡμῖν ἡδέως.

30 Matthaeus 1, 19 20: verum Iesu nato Iosephus de Mariae pudicitia iam securus erat

3. *Εἰς τὴν βάπτισιν.*

Ἀνὴρ κομήτης, αὐχμὸν ἄργιον τρέφων,
τρίχας καμήλου καὶ δορᾶς ζώνην φέρων,
ἄσαρκος, ἡμίγυμνος, ἀγγέλου τύπος,
ἥκει προφήτης καινὸς ἐξ ἐρημίας·
πρῶτον δ' ἑαυτοῦ Χριστὸν εἶναι μηνύων,
δείκνυσιν αὐτὸν πᾶσι τοῖς ἠθροισμένοις,
νέμει δὲ καὶ βάπτισμα τοῖς μυουμένοις.
τούτῳ προσελθὼν Χριστός, ὡς ἐγνωσμένος,
αἰτεῖ λαβεῖν βάπτισμα, τοῖς ἄλλοις ἴσα.
ὁ δ' εἰ γινώσκων ὅστις οὗτος καὶ πόθεν,
πεῖραν τὸ πρᾶγμα, πεῖραν ἡγεῖται μόνον,
ὅθεν κραταιῶς ἀντιτείνει τῷ λόγῳ.
πλὴν ἀλλ' ὑπείκει δεσπότου προθυμίᾳ,
τρέμει δ' ὅμως τὴν χεῖρα, καὶ ψαύει μόλις,
| ἄνω θεωρῶν, ὡς ἴλιγγον ἐκφύγοι· 3[1]
μᾶλλον δὲ κἀκεῖ φρικτὸν ἄλλο τι βλέπει.
περιστερὰ κάτεισιν εἰς γῆν ὑψόθεν,
ἣν οὐρανοὶ πέμπουσιν ἐκ τῶν σχισμάτων·
φωνὴ δ' ἐκεῖθεν πατρικὴ βροντᾷ μέγα,
υἱὸν καλοῦσα Χριστὸν ἠγαπημένον.
καὶ μαρτυρεῖ τὸ πνεῦμα, τούτῳ προστρέχον
δι' ὃν κατῆλθεν, ᾧ σεμνῶς ἐφιζάνει.
πτηνῷ δ' ἔοικεν ὀξυκινήτῳ φύσει·
περιστερᾶς γὰρ εἶδος, ὡς ἁπλουστέρας.
συνεὶς δὲ ταῦτα καὶ ποταμὸς ἠρέμα
ἱστᾷ τὸ ῥεῖθρον τοῦ δρόμου καὶ προσμένει,
οὕτω γε τιμῶν τὴν θεοῦ παρουσίαν,
καὶ τὴν καλὴν κάθαρσιν ἀντιλαμβάνων,
ὡς πρῶτος αὐτὸς τὴν χάριν δεδεγμένος
ἀρχὴ γένηται τῷδε τῷ μυστηρίῳ.
τοῦτο βροτῶν φῶς, τοῦτο δευτέρα πλάσις·
χάρισμα καὶ σφράγισμα καὶ σωτηρία·
τοῦτο κροτοῦσιν ἄγγελοι, τοῖς γηΐνοις
ἥδιστα συγχαίροντες ὡς θεουμένοις.
ἀπευχαριστῶ πολλὰ τῷ λελουμένῳ·

1 Matthaeus 3, 4 | 8 Matthaeus 3, 13—17

31 Titus 3, 5 Iohannes 3, 5

τούτου γὰρ οὐδὲν εἰς ἀμοιβήν μοι πλέον.

4. Εἰς τὴν μεταμόρφωσιν.

Φρῖξον, θεατά, τὴν ὁρωμένην θέαν,
καὶ στῆθι μακράν, εὐλαβῶς κάτω βλέπων, 3[2]
μήπως καταστράψῃ σε Χριστὸς ἐγγύθεν,
καὶ ζημιωθῇς σαρκικῶν φῶς ὀμμάτων
ὡς Παῦλος ἄλλος, ἀστραπῇ βεβλημένος.
ὁρᾷς μαθητὰς ἐνθάδε προκειμένους;
οὐ γὰρ φέρειν ἔχουσι τὴν λαμπηδόνα.
βλέπει δὲ Μωσῆς τὴν χάριν σὺν Ἠλίᾳ·
γνόφος γὰρ αὐτοῖς προξενεῖ παρρησίαν.
σὺ δ' εἰ λαλούσης ἐκ γνόφου φωνῆς μόνον
θείας ἀκούσεις, εὐτυχεῖς, καὶ προσκύνει.

5 Actorum 9, 3 | 6 Matthaeus 17, 1—8

5. Εἰς τὸν Λάζαρον.

Ὁ τῆς γραφῆς νοῦς· ἀλλ' ἄκουε καὶ βλέπε.
ἦν τις δίκαιος Λάζαρος, Χριστῷ φίλος.
τοῦτον θανόντα γῆ καλύπτει καὶ τάφος.
αἱ σύγγονοι θρηνοῦσι τὸν τεθαμμένον·
τοῦ γὰρ φιλοῦντος ἀγνοοῦσι τὸ κράτος.
πάρεστιν αὐτός· αἱ δὲ συντονωτέρως
κλαίουσι· κωκύουσι, προσπίπτουσί τε,
καθυστερεῖν λέγουσι τὴν παρουσίαν.
„ὄψεσθέ“ φησί „τὴν ἐμὴν ἐξουσίαν“
ὁ δημιουργός· „ποῦ δ' ὁ τοῦ φίλου τάφος;“
‚ἰδοὺ σέσηπε· τὸν τεταρταῖον βλέπεις‘
ἀπεκρίθησαν. καὶ σκόπει τὸν δεσπότην·
ὑποκριτὴς ἄριστος ὁ ζωηφόρος.
| σχολῇ βαδίζων δυσφορεῖ καὶ δακρύει· 4[1]
ἐξ οὐρανοῦ τε δῆθεν αἰτεῖ τὴν χάριν.
σὸν ἔργον, ὦ κράτιστε. τί βλέπεις ἄνω;
ἐγγὺς δ' ὁ μάρτυς· εἰ κελεύσεις γὰρ μόνον,
τρέψεις τὸ πένθος εἰς ἑορτὴν αὐτίκα.
οὐκοῦν κελεύει. „δεῦρο“ δ' „ἔξω“ κραυγάσας
ζωὴν ἑτοίμως ἐμπνέει τῷ κειμένῳ·
τοιαῦτα Χριστὸς οἶδε ποιεῖν τοῖς φίλοις.
ἐξάλλεται γ' οὖν ζῶν ὁ νεκρὸς ἐκ τάφου.
καὶ δὴ βαδίζει, κειρίαις ἐσφιγμένος.
πλὴν ἀλλ' ἀνεῖται, καὶ λυθεὶς ἀποτρέχει,
τὸ δεῖπνον (οἶμαι) σκευάσων ὁ γεννάδας

1 Iohannes 11, 1—44

εἰς δεξίωσιν προσφιλοῦς εὐεργέτου,
δι' ὃν πάλιν ζῇ, καὶ τροφῆς δεῖται πάλιν.

6. *Εἰς τὰ βαΐα.*

Ἄνοιγε τὰς σάς, ὦ θεοῦ πόλις, πύλας·
ἃς ἠγάπησε κύριος παντοκράτωρ·
ἰδοὺ γὰρ αὐτὸς ἔρχεταί σοι δεσπότης,
πρᾶος, δίκαιος, μέτριος, ταπεινόφρων,
ἔχων ὄχημα πῶλον εὐτελοῦς ὄνου,
καὶ τοὺς μαθητὰς ἐκ ποδῶν ὁδοιπόρους.
παῖδες προπεμπέτωσαν αὐτὸν ἐν κρότοις·
δεῖ γὰρ τὸν ἁγνὸν ἐξ ἁγνῶν τιμὴν ἔχειν.
κλάδους προ[σ]σειέτω δὲ νικητηρίους
| ὃς τοῦ παρόντος χθὲς κατεῖδε τὸ κράτος. 4[2]
ὁ δ' ἄλλος ὄχλος τοὺς χιτῶνας στρωννύων,
ὕμνους προσᾳδέτωσαν ἱκετηρίους·
σωτὴρ γὰρ ἥκει πᾶσιν ὁ ζωηφόρος,
ὅσοι λαβεῖν θέλουσιν αὐτοῦ τὴν χάριν.
σὺ δ', ὦ ποθεινή, πρὸς τί τὰς σαυτῆς πύλας,
Σιών, ἀνοίξεις, ἔνδον ἐμπεπλησμένη
λῃστῶν ἀπηνῶν, δυσσεβῶν, μιαιφόνων,
οὓς οὐδ' ὁ νεκροὺς ἐξανιστῶν ῥᾳδίως
ᾅδην τε νικῶν οὗτος ἐντρέψει τάχα;
τοῖς γὰρ φόνον πνέουσιν αἰδὼς οὐκ ἔνι·
καὶ μᾶλλον, εἰ φθόνος τις αὐτοὺς ἐκφλέγει.
ὅμως δ' ἄνοιγε, καὶ δέχου τὸν δεσπότην·
καὶ γὰρ πάρεστι, τοῦ παθεῖν (οἶμαι) χάριν,
ἐπείπερ οἶδε καὶ παθῶν φεύγειν πάθος.
οὐ δή τις ἡμῖν ἐστιν ἐντεῦθεν φόβος·
ὡσαννὰ τοίνυν· σῶσον, εὐλογημένε,
οὕτω προσηνὴς εἰσελαύνων καὶ φέρων
βροτοῖς ἅπασιν ἐκ παθῶν ἀφθαρσίαν.

accentum posui ut vulgo solent: vocabulum ex aegyptiaco *βαι* manavit
2 Psalm πϛ 2 | 3 Matthaeus 21, 5
10 Lazarum de mortuis suscitaverat: Iohannes 12, 12 13
17 Isaias 1, 21 Matthaeus 21, 13

7. *Εἰς τὴν σταύρωσιν.*

Νὺξ ταῦτα· καὶ γὰρ ἥλιον κρύπτει σκότος,
ἀχλὺς δὲ πληροῖ πάντα καὶ βαθὺς ζόφος.
πῶς οὖν θεωρῶ, δημιουργὲ Χριστέ μου,
σταυρούμενόν σε; φεῦ· τί τοῦτο; καὶ πόθεν
| σωτῆρα κόσμου προσδοκῶν σε μακρόθεν, 5[1]
νῦν ὡς κακοῦργον εἰς ἀρᾶς ξύλον βλέπω;
ἀπῆλθεν εἶδος· κάλλος οὐκ ἔχεις ἔτι·

6 Deuteron 21, 23 | 7 Isaias 53, 2

μήτηρ δὲ θρηνεῖ καὶ σὺ ἠγαπημένος,
μόνοι παρόντες τῶν πρὸ μικροῦ σοι φίλων.
φροῦδοι μαθηταί· καὶ πατρῷοι δ' οἰκεῖοι,
μόνην προσφέρουσι μετὰ δακρύων·
οὐ γὰρ βοηθεῖν εὐποροῦσι τῷ πάθει.
μέγας δ' ἄπεστι σὸς πατὴρ παντοκράτωρ,
μόνον λιπών σε ταῦτα πάσχειν ὡς λέγεις,
καίτοι προεῖπας οὐ λειφθῆναι μόνος,
συνόντος αὐτοῦ καὶ τὰ νῦν πάσχοντί σοι·
ἀλλ' οὐκ ἄπεστι· πνεῦμα σὸν γὰρ λαμβάνει,
συνευδοκῶν τε καὶ συνών σοι, καὶ φέρων
υἱοῦ τελευτὴν ἠγαπημένου βλέπειν.
δεῖ γάρ με, δεῖ, σοὶ συνθανεῖν, εὐεργέτα,
ὡς συμμετασχῶ τῆς ἐγέρσεως πάλιν.
οὕτως ἔδοξε· τοῦτο τῆς εὐσπλαγχνίας
ὑμῶν πρὸς ἡμᾶς ἡ μεγίστη χρηστότης.
εὐγνωμονοῦμεν· πλὴν τάχυνον ἐκ τάφου.
σπεύσεις δὲ πάντως· ἥλιος γὰρ ἐνθάδε,
ὁ πρὶν ζοφωθεὶς καὶ κρυβείς, εἰς τὴν χάριν
ἔλαμψε φαιδρὸν αὖθις ἀνθ' ἑωσφόρου,
σὲ τὸν μέγιστον ἥλιον προμηνύων
ἐκ γῆς ἀνασχεῖν φῶς τε πέμψειν αὐτίκα. 5²
ἴδοιμεν οὖν λάμποντα καὶ σέ, Χριστέ μου,
ὥσπερ τὸ σὸν ποίημα, τὴν νῦν ἡμέραν,
δι' ἧς ὁρῶμεν τούσδε τοὺς θείους τύπους,
καὶ σοι συναστράψοιμεν ἐκ γῆς καὶ τάφων.

[illegible]. *Εἰς τὴν ἀνάστασιν.*

Σκόπει, σκόπει τὸ θαῦμα τοῦ τεθαμμένου,
ἕως θεατόν ἐστι, πρὶν παραδράμῃ,
μήπως ἀπιστῇς ὕστερον λαλουμένῳ,
θέλων προσάπτειν τοῖς ὑπὲρ φύσιν φύσιν.
σὺ τοίνυν, μαθητὰ τῶν ἀπορρήτων, ὅρα
καὶ ζῶντα Χριστὸν αὖθις· εἶγε τοῦ τάχους·
ὡς ὀξὺς εἰς ἔγερσιν ὁ ζωηφόρος,
τάφον κατοικεῖν νεκρὸς οὐκ εἰθισμένος.
τριήμερον γοῦν, οὐ τριέσπερον, βλέπεις,
κἂν ζωοποιῇ τετραημέρους φίλους.
νῦν δ' ἐξαναστὰς τοὺς γενάρχας ἑλκύει
χερσὶ κραταιαῖς ἐκ παλαιῶν μνημάτων.
πρῶτον δ' ἀνορθοῖ τὸ προπεπτωκὸς πάλαι·

14 Matthaeus 27, 46 | 15 Iohannes 8, 29 | 17 Psalm 31, 6

10 Iohannes 11, 39 | 11 Matthaeus 27, 52

ἔπειτα τὸν βρίθοντα τόνδε πρεσβύτην,
μεθ' ὧν ἅπασαν ἐξεγείρει τὴν φύσιν,
δι' ἣν κατελθὼν μέχρι σαρκὸς καὶ τάφου,
ᾅδην πατεῖ τύραννον ἀνθρωποφθόρον·
πλὴν ὡς ἀπαρχὴν τοῦ γένους τοῦ σοῦ δέχου
|'Αδάμ, Δαβίδ τε, καὶ σοφὸν Σολομῶνα· 6[1]
οὓς ἡ γραφή σοι ζῶντας ὧδε δεικνύει,
ὡς τοῦ διδόντος τὴν ἔγερσιν πατέρας·
αὐτὸς μὲν οὖν τοὺς ἄνδρας ἐκ νεκρῶν ἔχεις,
Εὔαν γυναῖκες, τὴν ἁπάντων μητέρα.
οὗτοι δὲ τυφλούσθωσαν ἐκ φόβου τέως
φρουροὶ μάταιοι, δυστυχεῖς ὑπηρέται·
βάλλει γὰρ αὐτοὺς ἀστραπαῖς ὁ δεσπότης.
ὡς μὴ θεαθῇ δυσσεβῶν ὄψει πάλιν.
σὺ δ' ἀξιωθεὶς ων ὁρᾷς θεαμάτων
ἐπικρότησον· σὴν ἀνάπλασιν βλέπεις·
καὶ χαῖρε, χαῖρε· πάσχα τοῦτο κυρίου.

19 δάδ codex

9. *Εἰς τὴν ψηλάφησιν.*

Χριστός, μαθηταί, Χριστός ἐστι καὶ πάλιν·
θαρσεῖτε. μὴ κλονεῖσθε τῇ ξένῃ θέᾳ,
μηδὲ πτοεῖσθε τὰς ἀδήλους εἰσόδους·
οὐδεὶς γὰρ ὑμᾶς ὄψεται κεκρυμμένους.
ἀλλ' αὐτὸς ἀκράτητον εἰληφὼς φύσιν
οὕτω διέδρα καὶ τάφον κεκλεισμένον.
ἀλλ' ὢ τί τοῦτο· νῦν γὰρ ὥσπερ ᾐσθόμην,
οὐχ οὗτος ὁ πρὶν εὔστομος δημηγόρος;
οἷον κάτω νένευκεν ἐκπεπληγμένος.
ἡ χεὶρ δὲ ναρκᾷ, καὶ παρειμένα τρέμει,
πλευρὰν φλέγουσαν ψηλαφᾶν ὡρμημένη.
| Χριστὸν προδήλως, ὦ φιλοπράγμον, βλέπεις, 6[2]
ὡς ἡ παροῦσα μαρτυρεῖ σοι δειλία.
νῦν οὖν πέπεισο, καὶ λιπὼν τοὺς πρὶν λόγους
θαύμαζε καὶ κήρυττε τὸν ζωηφόρον.

3 Lucas 24, 36 Iohannes 20, 19 | 8 Iohannes 20, 27

10. *Εἰς τὴν ἀνάληψιν.*

Οὐκ ἦν ὁ Χριστὸς σαρκικῶν ἐκ σπερμάτων,
κἂν σὰρξ προῆλθε μητρικῶν ἐξ αἱμάτων,
ἀλλ' ἐκ θεοῦ φύς. καὶ κατελθὼν ὑψόθεν,
εἰς οὐρανοὺς ἄνεισι πρὸς θεὸν πάλιν.
καὶ σῶμα θεῖον ἐκ ταφῆς ἀφθαρτίσας

1 Iohannes 1, 13 | 3 Iohannes 3, 13

[illegible]

11. [illegible]

[illegible]

12. [illegible]

1 [illegible]

[illegible] 3 Regn γ 17,6

ὅθεν διδαχθεὶς ὡς κακὸν λιμὸς μέγα,
ἄρδευε τὴν γῆν, καὶ τὰ γῆς ζῷα τρέφε·
χρήζεις τροφῆς γὰρ καὶ σὺ τοῖς ἄλλοις ἴσα.

13. *Εἰς τὴν κατὰ τὸν ἅγιον Παῦλον καὶ τὸν Χρυσόστομον ἱστορίαν.*

Σίγα, θεατά, καὶ βραχὺν μεῖνον χρόνον,
μήπως ταράξῃς τὴν καλὴν συνουσίαν,
καὶ ζημιώσῃς κόσμον ἐνθέους λόγους·
ἐξ οὐρανοῦ γὰρ ἄρτι τούτους τοῦ τρίτου — 4 Corinth β 12, 2
ἥκει κομίζων Παῦλος αἰθεροδρόμος·
κινεῖ δὲ χεῖρα πρὸς γραφῆς ὑπουργίαν
οἰκουμένης τὸ θαῖμα, τὸ χρυσοῦν στόμα.
ζήλου τὸ λοιπὸν ὃν πρὸ τῶν θυρῶν βλέπεις,
τούτῳ τε συνθαύμαζε καὶ συγκαρτέρει.

14. *Εἰς τὸν ἅγιον Χρυσόστομον.*

Ἡ γλῶσσαν εὑρὼν πῦρ πνέουσαν, ζωγράφε,
μόνην ἀφῆκας, εὐλαβηθεὶς τὴν φλόγα;
ἢ πάντα τολμῶν προσγράφεις καὶ τὸ φλέγον;
καὶ φθέγγεται μὲν καὶ λαλεῖ παραινέσεις,
ἀλλ' ἐστὶν ἰσχνόφωνος ἐξ ἀσιτίας.
ἐμὸν τὸ λεῖπον· οὐ γὰρ οὖς παρεσχόμην.
νῦν οὖν ὑποσχὼν γνώσομαι τί μοι λέγει.
βαβαῖ· καταφρονεῖν με πείθει τοῦ βίου.

|**15.** *Εἰς τὸν ἅγιον Γρηγόριον τὸν θεολόγον.* — 8^1

Τί σοι τὸ σύννουν βλέμμα βούλεται, πάτερ;
λέξειν τι καινὸν ἐκβιάζῃ μοι τάχα·
ἀλλ' οὐκ ἂν εὕροις· πᾶν γὰρ ἀνθρώποις ξένον
ἐγνώρισαν φθάσαντες οἱ σοί μοι λόγοι.

16. *Εἰς τὸν μέγαν Βασίλειον.*

Ἐπιπρέπει τις σεμνοποιὸς ὠχρότης
ἐξ ἐγκρατείας τῷ σοφῷ διδασκάλῳ.
ἀλλ' εἰ λαλήσει (ζῆν δοκεῖ γὰρ καὶ τύπος),
τρυφὴ τὸ χρῆμα, φαιδρότης καὶ τερπνότης.
οὐκοῦν τὰ χείλη πρὸς λόγους κίνει, πάτερ,
τοὺς καὶ λίθους θέλγοντας· ἀλλὰ μὴ λέγε
ἅπερ διδάσκων εἰς συναίσθησιν ἄγεις·
δάκνειν γὰρ οἶδε ταῦτα, κἂν στάζῃ μέλι, — 9 Euripides fragmentum 211 Beckii
τοὺς ἕλκεσι βρύοντας· ἐξ ὧν στυγνότης,

εὔχεσθε πᾶσιν εὐαρεστεῖν τὸν φίλον,
πλέον δὲ πάντων τῷ λογιστῇ καὶ λόγῳ,
ᾧ κἂν λόγος λέγοιτο, πραγμάτων λόγος·
ὃς ἔργα σῴζων ἐκ πυρὸς τὰ σὺν λόγῳ,
εἰς καῦσιν ἐκδίδωσιν ἀπράκτους λόγους
ὡς χόρτον, ὡς ἔρημον ἰκμάδος ξύλον.
ἔγωγε τοίνυν ἔργα τῷ λόγῳ φίλα
φέροιμι, καὶ λάβοιμι τὴν σωτηρίαν·
λόγων δὲ πολλῶν καὶ γραφῶν ἄλλοις μέλοι.

37 Corinth α 3, 13 | 39 Corinth α 3, 12

Εἰς πίνακας μεγάλους τῶν ἑορτῶν· ὡς ἐν τύπῳ ἐκφράσεως.

in margine inferiore folii primi denuo additur *ιωαννου του αγιωτατου μητροπολιτου ευχαιτων*

2. *Εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν.*

| *Τί τοῦτο; φῶς ἤστραψεν ὡς ἐξ αἰθέρος,* 2[1]
ἀὴρ δὲ μεστὸς μουσικῆς συμφωνίας·
πρόσσχωμεν ὡς μάθωμεν. ὢ μυστηρίου·
παρεμβολή τις ἀγγέλων κράζει μέγα,
»θεῷ« λέγουσα »δόξα τῷ σαρκουμένῳ«.
„καὶ πῶς θεὸς σάρξ; ποῦ τὸ θαῦμα, καὶ πόθεν;
τὸ θαῦμα ποῦ;“ βάδιζε σὺν τοῖς ποιμέσιν·
ἐκεῖ γὰρ αὐτοῖς ὡς ὁρᾷς ἠπειγμένοις
καταφρόνησις γί[γ]νεται τῶν θρεμμάτων·
τούτοις συνελθὼν ἐμφοροῦ μοι τοῦ πόθου.
ἄντρον θεωρεῖς, ἄντρον ἠμελημένον·
ἐν ᾧ φάτνη τις καὶ βρέφος καὶ παρθένος.
οὐκοῦν θεὸς σὸς τοῦτο τὸ βραχὺ βρέφος.
„θεὸς πένης; ἄοικος; ἐν φαύλῳ ῥάκει;
εἰς φῶς προελθὼν ἄρτι; φεῦ, τί μοι λέγεις;“
ψεῦδος μὲν οὐδέν, ἀλλ' ἀληθῆ μανθάνεις·
καὶ μάρτυς ἀστὴρ ὃν κατ' οὐρανὸν βλέπεις,
ἐκεῖθεν ἧκον τὸ βρέφος σοι δεικνύων,
οὗτοί τε, συντρέχοντες ὡς πρὸς δεσπότην,
ὧν καὶ τὸ τερπνὸν ᾆσμα τῆς εὐφημίας,
οἷς συμμελῳδεῖν, οὐκ ἀπιστεῖν σε πρέπον·
εἰς γὰρ χάριν σὴν ταῦτα πάντα συντρέχει —
θεὸς βροτωθείς, ὡς θεώσῃ σὴν φύσιν·
πένης ὑπὲρ σοῦ, πλούσιον σὲ δεικνύων·
| *ἐπικροτοῦντες ἄγγελοι ταῖς ἐλπίσι·* 2[2]
μήτηρ ἄνανδρος· παρθένος βρεφοτρόφος·
μάγων τὰ λαμπρὰ δῶρα· ποιμένων δρόμος·
χαρᾶς τὰ πάντα μεστὰ καὶ θυμηδίας.
τούτοις μὲν οὖν σύγχαιρε καὶ συμπροσκύνει.

5 Lucas 2, 14 | 12 Lucas 2, 7 | 17 Matthaeus 2, 9

ἔα δὲ τόνδε τὸν κατηφῆ πρεσβύτην·
δάκνει γὰρ αὐτὸν ἄλλο τι κρυπτὸν πάθος.
ἕξει δὲ τούτου μικρὸν ὑπνώσας λύσιν,
καὶ συγκροτήσει πᾶσιν ἡμῖν ἡδέως.

30 Matthaeus 1, 19 20: verum Iesu nato Iosephus de Mariae pudicitia iam securus erat

3. *Εἰς τὴν βάπτισιν.*

Ἀνὴρ κομήτης, αὐχμὸν ἄργιον τρέφων,
τρίχας καμήλου καὶ δορᾶς ζώνην φέρων,
ἄσαρκος, ἡμίγυμνος, ἀγγέλου τύπος,
ἥκει προφήτης καινὸς ἐξ ἐρημίας·
πρῶτον δ' ἑαυτοῦ Χριστὸν εἶναι μηνύων,
δείκνυσιν αὐτὸν πᾶσι τοῖς ἠθροισμένοις,
νέμει δὲ καὶ βάπτισμα τοῖς μυουμένοις.
τούτῳ προσελθὼν Χριστός, ὡς ἐγνωσμένος,
αἰτεῖ λαβεῖν βάπτισμα, τοῖς ἄλλοις ἴσα.
ὁ δ' εὖ γινώσκων ὅστις οὗτος καὶ πόθεν,
πεῖραν τὸ πρᾶγμα, πεῖραν ἡγεῖται μόνον,
ὅθεν κραταιῶς ἀντιτείνει τῷ λόγῳ.
πλὴν ἀλλ' ὑπείκει δεσπότου προθυμίᾳ,
τρέμει δ' ὅμως τὴν χεῖρα, καὶ ψαύει μόλις,
| ἄνω θεωρῶν, ὡς ἴλιγγον ἐκφύγοι· 3¹
μᾶλλον δὲ κἀκεῖ φρικτὸν ἄλλο τι βλέπει.
περιστερὰ κάτεισιν εἰς γῆν ὑψόθεν,
ἣν οὐρανοὶ πέμπουσιν ἐκ τῶν σχισμάτων·
φωνὴ δ' ἐκεῖθεν πατρικὴ βροντᾷ μέγα,
υἱὸν καλοῦσα Χριστὸν ἠγαπημένον.
καὶ μαρτυρεῖ τὸ πνεῦμα, τούτῳ προστρέχον
δι' ὃν κατῆλθεν, ᾧ σεμνῶς ἐφιζάνει.
πτηνῷ δ' ἔοικεν ὀξυκινήτῳ φύσει·
περιστερᾶς γὰρ εἶδος, ὡς ἁπλουστέρας.
συνεὶς δὲ ταῦτα καὶ ποταμὸς ἠρέμα
ἱστᾷ τὸ ῥεῖθρον τοῦ δρόμου καὶ προσμένει,
οὕτω γε τιμῶν τὴν θεοῦ παρουσίαν,
καὶ τὴν καλὴν κάθαρσιν ἀντιλαμβάνων,
ὡς πρῶτος αὐτὸς τὴν χάριν δεδεγμένος
ἀρχὴ γένηται τῷδε τῷ μυστηρίῳ.
τοῦτο βροτῶν φῶς, τοῦτο δευτέρα πλάσις·
χάρισμα καὶ σφράγισμα καὶ σωτηρία·
τοῦτο κροτοῦσιν ἄγγελοι, τοῖς γηΐνοις
ἥδιστα συγχαίροντες ὡς θεουμένοις.
ἀπευχαριστῶ πολλὰ τῷ λελουμένῳ·

1 Matthaeus 3, 4 | 8 Matthaeus 3, 13—17

31 Titus 3, 5 Iohannes 3, 5

τούτου γὰρ οὐδὲν εἰς ἀμοιβήν μοι πλέον.

4. *Εἰς τὴν μεταμόρφωσιν.*

Φρίξον, θεατά, τὴν ὁρωμένην θέαν,
|καὶ στῆθι μακράν, εὐλαβῶς κάτω βλέπων, 3[2]
μήπως καταστράψῃ σε Χριστὸς ἐγγύθεν,
καὶ ζημιωθῇς σαρκικῶν φῶς ὀμμάτων
ὡς Παῦλος ἄλλος, ἀστραπῇ βεβλημένος.
ὁρᾷς μαθητὰς ἐνθάδε προκειμένους;
οὐ γὰρ φέρειν ἔχουσι τὴν λαμπηδόνα.
βλέπει δὲ Μωσῆς τὴν χάριν σὺν Ἠλίᾳ·
γνόφος γὰρ αὐτοῖς προξενεῖ παρρησίαν.
σὺ δ' εἰ λαλούσης ἐκ γνόφου φωνῆς μόνον
θείας ἀκούσεις, εὐτυχεῖς, καὶ προσκύνει.

5 Actorum 9, 3 | 6 Matthaeus 17, 1—8

5. *Εἰς τὸν Λάζαρον.*

Ὁ τῆς γραφῆς νοῦς· ἀλλ' ἄκουε καὶ βλέπε.
ἦν τις δίκαιος Λάζαρος, Χριστῷ φίλος.
τοῦτον θανόντα γῆ καλύπτει καὶ τάφος.
αἱ σύγγονοι θρηνοῦσι τὸν τεθαμμένον·
τοῦ γὰρ φιλοῦντος ἀγνοοῦσι τὸ κράτος.
πάρεστιν αὐτός· αἱ δὲ συντονωτέρως
κλαίουσι· κωκύουσι, προσπίπτουσί τε,
καθυστερεῖν λέγουσι τὴν παρουσίαν.
„ὄψεσθέ“ φησί „τὴν ἐμὴν ἐξουσίαν“
ὁ δημιουργός· „ποῦ δ' ὁ τοῦ φίλου τάφος;“
‚ἰδοὺ σέσηπε· τὸν τεταρταῖον βλέπεις‘
ἀπεκρίθησαν. καὶ σκόπει τὸν δεσπότην·
ὑποκριτὴς ἄριστος ὁ ζωηφόρος.
|σχολῇ βαδίζων δυσφορεῖ καὶ δακρύει· 4[1]
ἐξ οὐρανοῦ τε δῆθεν αἰτεῖ τὴν χάριν.
σὸν ἔργον, ὦ κράτιστε. τί βλέπεις ἄνω;
ἐγγὺς δ' ὁ μάρτυς· εἰ κελεύσεις γὰρ μόνον,
τρέψεις τὸ πένθος εἰς ἑορτὴν αὐτίκα.
οὐκοῦν κελεύει. „δεῦρο“ δ' „ἔξω“ κραυγάσας
ζωὴν ἑτοίμως ἐμπνέει τῷ κειμένῳ·
τοιαῦτα Χριστὸς οἶδε ποιεῖν τοῖς φίλοις.
ἐξάλλεται γ' οὖν ζῶν ὁ νεκρὸς ἐκ τάφου.
καὶ δὴ βαδίζει, κειρίαις ἐσφιγμένος.
πλὴν ἀλλ' ἀνεῖται, καὶ λυθεὶς ἀποτρέχει,
τὸ δεῖπνον (οἶμαι) σκευάσων ὁ γεννάδας

2 Iohannes 11, 1—44

εἰς δεξίωσιν προσφιλοῦς εὐεργέτου,
δι' ὃν πάλιν ζῇ, καὶ τροφῆς δεῖται πάλιν.

6. *Εἰς τὰ βαΐα.*

Ἄνοιγε τὰς σάς, ὦ θεοῦ πόλις, πύλας·
ἃς ἠγάπησε κύριος παντοκράτωρ·
ἰδοὺ γὰρ αὐτὸς ἔρχεταί σοι δεσπότης,
πρᾶος, δίκαιος, μέτριος, ταπεινόφρων,
ἔχων ὄχημα πῶλον εὐτελοῦς ὄνου,
καὶ τοὺς μαθητὰς ἐκ ποδῶν ὁδοιπόρους.
παῖδες προπεμπέτωσαν αὐτὸν ἐν κρότοις·
δεῖ γὰρ τὸν ἁγνὸν ἐξ ἁγνῶν τιμὴν ἔχειν.
κλάδους προ[σ]σειέτω δὲ νικητηρίους
| ὃς τοῦ παρόντος χθὲς κατεῖδε τὸ κράτος. 4²
ὁ δ' ἄλλος ὄχλος τοὺς χιτῶνας στρωννύων,
ὕμνους προσᾳδέτωσαν ἱκετηρίους·
σωτὴρ γὰρ ἥκει πᾶσιν ὁ ζωηφόρος,
ὅσοι λαβεῖν θέλουσιν αὐτοῦ τὴν χάριν.
σὺ δ', ὦ ποθεινή, πρὸς τί τὰς σαυτῆς πύλας,
Σιών, ἀνοίξεις, ἔνδον ἐμπεπλησμένη
λῃστῶν ἀπηνῶν, δυσσεβῶν, μιαιφόνων,
οὓς οὐδ' ὁ νεκροὺς ἐξανιστῶν ῥᾳδίως
ᾅδην τε νικῶν οὗτος ἐντρέψει τάχα;
τοῖς γὰρ φόνον πνέουσιν αἰδὼς οὐκ ἔνι·
καὶ μᾶλλον, εἰ φθόνος τις αὐτοὺς ἐκφλέγει.
ὅμως δ' ἄνοιγε, καὶ δέχου τὸν δεσπότην·
καὶ γὰρ πάρεστι, τοῦ παθεῖν (οἶμαι) χάριν,
ἐπείπερ οἶδε καὶ παθὼν φεύγειν πάθος.
οὐ δή τις ἡμῖν ἐστιν ἐντεῦθεν φόβος·
ὠσαννὰ τοίνυν· σῶσον, εὐλογημένε,
οὕτω προσηνὴς εἰσελαύνων καὶ φέρων
βροτοῖς ἅπασιν ἐκ παθῶν ἀφθαρσίαν.

accentum posui ut vulgo solent: vocabulum ex aegyptiaco *βαι* manavit
2 Psalm *πϛ* 2 | 3 Matthaeus 21, 5
10 Lazarum de mortuis suscitaverat: Iohannes 12, 12 13
17 Isaias 1, 21 Matthaeus 21, 13

7. *Εἰς τὴν σταύρωσιν.*

Νὺξ ταῦτα· καὶ γὰρ ἥλιον κρύπτει σκότος,
ἀχλὺς δὲ πληροῖ πάντα καὶ βαθὺς ζόφος.
πῶς οὖν θεωρῶ, δημιουργὲ Χριστέ μου,
σταυρούμενόν σε; φεῦ· τί τοῦτο; καὶ πόθεν
| σωτῆρα κόσμου προσδοκῶν σε μακρόθεν, 5¹
νῦν ὡς κακοῦργον εἰς ἀρᾶς ξύλον βλέπω;
ἀπῆλθεν εἶδος· κάλλος οὐκ ἔχεις ἔτι·

6 Deuteron 21, 23 | 7 Isaias 53, 2

μήτηρ δὲ θρηνεῖ. καὶ σὸς ἠγαπημένος,
μόνοι παρόντες τῶν πρὸ μικροῦ σοι φίλων.
φροῦδοι μαθηταί· καὶ πτερωτοὶ δ' οἰκέται,
μάτην περιτρέχουσι μεστοὶ δακρύων·
οὐ γὰρ βοηθεῖν εὐποροῦσι τῷ πάθει.
μέγας δ' ἄπεστι σὸς πατὴρ παντοκράτωρ,
μόνον λιπών σε ταῦτα πάσχειν ὡς λέγεις,
καίτοι προεῖπες οὐχὶ λειφθῆναι μόνος,
συνόντος αὐτοῦ καὶ τὰ νῦν πάσχοντί σοι·
ἀλλ' οὐκ ἄπεστι· πνεῦμα σὸν γὰρ λαμβάνει,
συνευδοκῶν τε καὶ συνών σοι, καὶ φέρων
υἱοῦ τελευτὴν ἠγαπημένου βλέπειν.
δεῖ γάρ με, δεῖ, σοὶ συνθανεῖν, εὐεργέτα,
ὡς συμμετασχῶ τῆς ἐγέρσεως πάλιν.
οὕτως ἔδοξε· τοῦτο τῆς εὐσπλαγχνίας
ὑμῶν πρὸς ἡμᾶς ἡ μεγίστη χρηστότης.
εὐγνωμονοῦμεν· πλὴν τάχυνον ἐκ τάφου.
σπεύσεις δὲ πάντως· ἥλιος γὰρ ἐνθάδε,
ὁ πρὶν ζοφωθεὶς καὶ κρυβείς, εἰς σὴν χάριν
ἔλαμψε φαιδρὸν αὖθις ἀνθ' ἑωσφόρου,
σὲ τὸν μέγιστον ἥλιον προμηνύων
| ἐκ γῆς ἀνασχεῖν φῶς τε πέμψειν αὐτίκα. 5²
ἴδοιμεν οὖν λάμποντα καὶ σέ, Χριστέ μου,
ὥσπερ τὸ σὸν ποίημα, τὴν νῦν ἡμέραν,
δι' ἧς ὁρῶμεν τούσδε τοὺς θείους τύπους,
καὶ σοὶ συναστράψοιμεν ἐκ γῆς καὶ τάφων.

14 Matthaeus 27, 46 | 15 Iohannes 8, 29 | 17 Psalm 31, 6

8. *Εἰς τὴν ἀνάστασιν.*

Σκόπει, σκόπει τὸ θαῦμα τοῦ τεθαμμένου,
ἕως θεατόν ἐστι, πρὶν παραδράμῃ,
μήπως ἀπιστῇς ὕστερον λαλουμένῳ,
θέλων προσάπτειν τοῖς ὑπὲρ φύσιν φύσιν.
τοίνυν, μαθητὰ τῶν ἀπορρήτων, ὅρα
καὶ ζῶντα Χριστὸν αὖθις· εὖγε τοῦ τάχους·
ὡς ὀξὺς εἰς ἔγερσιν ὁ ζωηφόρος,
τάφον κατοικεῖν νεκρὸς οὐκ εἰθισμένος.
τριήμερον γοῦν, οὐ τριέσπερον, βλέπεις,
κἂν ζωοποιῇ τετραημέρους φίλους.
νῦν δ' ἐξαναστὰς τοὺς γενάρχας ἑλκύει
χερσὶ κραταιαῖς ἐκ παλαιῶν μνημάτων.
πρῶτον δ' ἀνορθοῖ τὸ προπεπτωκὸς πάλαι·

10 Iohannes 11, 39 | 11 Matthaeus 27, 52

ἔπειτα τὸν βρίθοντα τόνδε πρεσβύτην,
μεθ' ὧν ἅπασαν ἐξεγείρει τὴν φύσιν,
δι' ἣν κατελθὼν μέχρι σαρκὸς καὶ τάφου,
ᾅδην πατεῖ τύραννον ἀνθρωποφθόρον·
πλὴν ὡς ἀπαρχὴν τοῦ γένους τοῦ σοῦ δέχου
| Ἀδάμ, Δαβίδ τε, καὶ σοφὸν Σολομῶνα· 6[1]
οὓς ἡ γραφή σοι ζῶντας ὧδε δεικνύει,
ὡς τοῦ διδόντος τὴν ἔγερσιν πατέρας·
αὐτὸς μὲν οὖν τοὺς ἄνδρας ἐκ νεκρῶν ἔχεις,
Εὔαν γυναῖκες, τὴν ἁπάντων μητέρα.
οὗτοι δὲ τυφλούσθωσαν ἐκ φόβου τέως
φρουροὶ μάταιοι, δυστυχεῖς ὑπηρέται·
βάλλει γὰρ αὐτοὺς ἀστραπαῖς ὁ δεσπότης.
ὡς μὴ θεαθῇ δυσσεβῶν ὄψει πάλιν.
σὺ δ' ἀξιωθεὶς ὧν ὁρᾷς θεαμάτων
ἐπικρότησον· σὴν ἀνάπλασιν βλέπεις·
καὶ χαῖρε, χαῖρε· πάσχα τοῦτο κυρίου.

19 *δᾱδ* codex

9. *Εἰς τὴν ψηλάφησιν.*

Χριστός, μαθηταί, Χριστός ἐστι καὶ πάλιν·
θαρσεῖτε. μὴ κλονεῖσθε τῇ ξένῃ θέᾳ,
μηδὲ πτοεῖσθε τὰς ἀδήλους εἰσόδους·
οὐδεὶς γὰρ ὑμᾶς ὄψεται κεκρυμμένους.
ἀλλ' αὐτὸς ἀκράτητον εἰληφὼς φύσιν
οὕτω διέδρα καὶ τάφον κεκλεισμένον.
ἀλλ' ὢ τί τοῦτο· νῦν γὰρ ὥσπερ ᾐσθόμην,
οὐχ οὗτος ὁ πρὶν εὔστομος δημηγόρος;
οἷον κάτω νένευκεν ἐκπεπληγμένος.
ἡ χεὶρ δὲ ναρκᾷ, καὶ παρειμένα τρέμει,
πλευρὰν φλέγουσαν ψηλαφᾶν ὡρμημένη.
| Χριστὸν προδήλως, ὦ φιλοπράγμον, βλέπεις, 6[2]
ὡς ἡ παροῦσα μαρτυρεῖ σοι δειλία.
νῦν οὖν πέπεισο, καὶ λιπὼν τοὺς πρὶν λόγους
θαύμαζε καὶ κήρυττε τὸν ζωηφόρον.

3 Lucas 24, 36 Iohannes 20, 19 | 8 Iohannes 20, 27

10. *Εἰς τὴν ἀνάληψιν.*

Οὐκ ἦν ὁ Χριστὸς σαρκικῶν ἐκ σπερμάτων,
κἂν σὰρξ προῆλθε μητρικῶν ἐξ αἱμάτων,
ἀλλ' ἐκ θεοῦ φύς. καὶ κατελθὼν ὑψόθεν,
εἰς οὐρανοὺς ἄνεισι πρὸς θεὸν πάλιν.
καὶ σῶμα θεῖον ἐκ ταφῆς ἀφθαρτίσας

1 Iohannes 1, 13 | 3 Iohannes 3, 13

φέρει σὺν αὐτῷ, καὶ καλύπτεται νέφει.
οὗτοι δ' ἄνω βλέπουσιν ἐκπεπληγμένοι, 7 Actor 1, 9
καὶ χεῖρας ἐκτείνοντες ὡς πρὸς αἰθέρα,
ζητοῦσιν ὥσπερ τὴν σύναρσιν ἐκ πόθου
φίλοι μαθηταὶ καὶ τεκοῦσα παρθένος.
ὅθεν καταστέλλουσιν αὐτοὺς ἠρέμα
λόγοι προσηνεῖς ἀγγέλων εὐαγγέλων,
οὕτω λέγοντες, Χριστὸν ἥξειν καὶ πάλιν, 13 Actor 1, 13
ὥσπερ κατεῖδον ἄρτι γῆθεν ἠρμένον·
πέρας γὰρ εἶναι τοῦτο τοῦ μυστηρίου.
ταῦτα προδήλως ὁ γραφεὺς τῶν εἰκόνων
τύποις διδάσκει, τὴν ἀλήθειαν σέβων.

11. *Εἰς τὴν πεντηκοστήν.*
Τὴν ἐσχάτην τε καὶ μεγίστην ἡμέραν,
|γράφει πρὸς ἀκρίβειαν ἡ σοφὴ τέχνη. 7[1]
καθ' ἣν τὰ φρικτὰ θαυματουργεῖται τάδε.
διώροφόν τι τοὺς ἀποστόλους φέρει· 4 Actor 2, 1 seqq | 5 ειχος vel οιχος codex, posterioribus curis ηχος
ἄφνω δ' ἄνωθεν ἦχος ἐμπίπτει μέγας,
καὶ φῶς τε καὶ πῦρ συγκάτεισιν ὑψόθεν,
γλώσσας ἀπαρτίζοντα τὰς ὁρωμένας·
ἃς οὐκ ἔγνω τις γηγενῶν πλὴν ἐνθάδε·
τούτων δ' ἕκαστος προσλαβὼν αὐτῶν μίαν
φωνὰς δίδωσι τοῖς παροῦσι ποικίλας,
ἄλλως πρὸς ἄλλον ἐκλαλῶν τὴν νῦν χάριν.
ἡ συνδρομὴ δὲ πρὸς τὸ θαῦμα τῶν ὄχλων
διδασκάλους δείκνυσι τοὺς καθημένους
ἅπασιν αὐτοῖς προσλαλοῦντας γνησίως,
εἰ καὶ συνῆλθον ἐκ γενῶν ἀλλοθρόων·
πλήθη γὰρ ἐθνῶν εἰσὶ συμμεμιγμένων.
σὺ δ' εἰ ξενίζῃ πρὸς τὸ τῆς θέας ξένον,
ἄκουε καὶ πίστευε τοῖς λαλουμένοις,
καὶ δοὺς σεαυτὸν τοῖσδε τοῖς πυριπνόοις,
θεὸν τὸ πνεῦμα τοῦ θεοῦ δόξαζέ μοι,
τὸ ταῦτα πάντα θαυματουργοῦν ἐνθέως —
φῶς, πῦρ, πνοήν τε, καὶ σοφοὺς ἀγραμμάτους.

12. *Εἰς τὸν Ἡλίαν τρεφόμενον ὑπὸ κόρακος.*
Ζηλωτά, παιδεύθητι μακροθυμίαν,
καὶ μὴ τὸ πῦρ ἄνωθεν, ἀλλ' ὕδωρ βρέχε·
καὶ σὲ τρέφει κόραξ γάρ, οὐ καταφλέγει· 3 Regn γ 17, 6

ὅθεν διδαχθεὶς ὡς κακὸν λιμὸς μέγα,
ἄρδευε τὴν γῆν, καὶ τὰ γῆς ζῷα τρέφε·
χρῄζεις τροφῆς γὰρ καὶ σὺ τοῖς ἄλλοις ἴσα.

13. Εἰς τὴν κατὰ τὸν ἅγιον Παῦλον καὶ τὸν Χρυσόστομον ἱστορίαν.

Σίγα, θεατά, καὶ βραχὺν μεῖνον χρόνον,
μήπως ταράξῃς τὴν καλὴν συνουσίαν,
καὶ ζημιώσῃς κόσμον ἐνθέους λόγους·
ἐξ οὐρανοῦ γὰρ ἄρτι τούτους τοῦ τρίτου
ἥκει κομίζων Παῦλος αἰθεροδρόμος·
κινεῖ δὲ χεῖρα πρὸς γραφῆς ὑπουργίαν
οἰκουμένης τὸ θαῦμα, τὸ χρυσοῦν στόμα.
ζήλου τὸ λοιπὸν ὃν πρὸ τῶν θυρῶν βλέπεις,
τούτῳ τε συνθαύμαζε καὶ συγκαρτέρει.

4 Corinth β 12, 2

14. Εἰς τὸν ἅγιον Χρυσόστομον.

Ἡ γλῶσσαν εὑρὼν πῦρ πνέουσαν, ζωγράφε,
μόνην ἀφῆκας, εὐλαβηθεὶς τὴν φλόγα;
ἢ πάντα τολμῶν προσγράφεις καὶ τὸ φλέγον;
καὶ φθέγγεται μὲν καὶ λαλεῖ παραινέσεις,
ἀλλ' ἐστὶν ἰσχνόφωνος ἐξ ἀσιτίας.
ἐμὸν τὸ λεῖπον· οὐ γὰρ οὓς παρεσχόμην.
νῦν οὖν ὑποσχὼν γνώσομαι τί μοι λέγει.
βαβαί· καταφρονεῖν με πείθει τοῦ βίου.

|**15.** Εἰς τὸν ἅγιον Γρηγόριον τὸν θεολόγον. 8[1]

Τί σοι τὸ σύννουν βλέμμα βούλεται, πάτερ;
λέξειν τι καινὸν ἐκβιάζῃ μοι τάχα·
ἀλλ' οὐκ ἂν εὕροις· πᾶν γὰρ ἀνθρώποις ξένον
ἐγνώρισαν φθάσαντες οἱ σοί μοι λόγοι.

16. Εἰς τὸν μέγαν Βασίλειον.

Ἐπιπρέπει τις σεμνοποιὸς ὠχρότης
ἐξ ἐγκρατείας τῷ σοφῷ διδασκάλῳ.
ἀλλ' εἰ λαλήσει (ζῆν δοκεῖ γὰρ καὶ τύπος),
τρυφὴ τὸ χρῆμα, φαιδρότης καὶ τερπνότης.
οὐκοῦν τὰ χείλη πρὸς λόγους κίνει, πάτερ,
τοὺς καὶ λίθους θέλγοντας· ἀλλὰ μὴ λέγε
ἅπερ διδάσκων εἰς συναίσθησιν ἄγεις·
δάκνειν γὰρ οἶδε ταῦτα, κἂν στάζῃ μέλι,
τοὺς ἕλκεσι βρύοντας· ἐξ ὧν στυγνότης,

9 Euripides fragmentum 211 Beckii

πρὸς ἣν ἐπαρκεῖς καὶ γραφεὶς οὕτω μόνον.

17. *Εἰς τοὺς τρεῖς ἅμα.*

Τριὰς μὲν εὗρεν ἰσαρίθμους συμμάχους,
ὑπερμάχους δ' ἔστησε πίστις ἐνθάδε.
ἀνάξιον κρίνασα καὶ πόρρω λόγου
ὧν τοῖς λόγοις σύνεστι, μὴ καὶ τοῖς τύποις.
ὅθεν γραφέντες ζῆν δοκοῦσι καὶ λέγειν
ἅπερ φέρουσιν αἱ θεόγραφοι βίβλοι.
ταύτην ἀμοιβὴν τοῖς διδασκάλοις νέμει
| εὔνους μαθητὴς οἰκέτης Ἰωάννης. 8[2]

18. *Εἰς τὸν ἅγιον Νικόλαον.*

Αὐτόν, πάτερ, σὲ προσκυνῶ τε καὶ βλέπω,
αὐτὸν κρατῶ σε· σὸν δὲ θαῦμα καὶ τόδε.
ἀνὴρ ἐναργῶς πρεσβύτης. ἐκ χρωμάτων
σαφὲς τὸ σῶμα· πνεῦμα δ' ἄν σοι καὶ λόγον
ἐμὸν παρέσχον, εἰ λαβεῖν κατηξίους·
οὕτως ἔχειν πόθος με πείθει καὶ λέγειν.

19. *Εἰς τὸν ἅγιον Κωνσταντῖνον τὸν ἐν τῷ καμήλῳ.*

Κόσμῳ νεκρωθεὶς καὶ θεῷ ζήσας, πάτερ,
ἀπεκρύβης ζῶν, καὶ θανὼν ἀνευρέθης.
κράζεις δὲ σιγῶν, καὶ βοᾷς ἐκ τοῦ τάφου,
σάλπιγγα τὰς σὰς θαυματουργίας ἔχων.
ἐντεῦθεν ὁ πρὶν πᾶσιν ἠγνοημένος
νῦν καὶ βασιλεῖς προσκυνητὰς ἑλκύεις,
ὧν ἔργον ἡ στέφουσα τὴν σορὸν χάρις,
πᾶν τερπνὸν ὕλης καὶ τέχνης πᾶν ποικίλον
φέρουσα, καὶ τέρπουσα τοὺς θεωμένους.
δι' ἧς ἄριστα τὴν νοητήν σου δίδως
δόξαν θεωρεῖν, ἐν θεῷ κεκρυμμένην,
ἕως παρ' αὐτοῦ τὰ πρὸς ἀξίαν λάβοις.

καμηλῶ codex per scripturae compendium *Studemund*
11 Coloss 3, 3

20. *Εἰς τὴν θεοτόκον δακρύουσαν.*

Ὦ τοῦ πάθους δέσποινα, καὶ σὺ δακρύεις;
καὶ τίς βοηθὸς τῶν παρ' ἡμῖν δακρύων,
| εἰ καὶ σὺ πάσχεις ἄξια θρηνῳδίας; 9[1]
τίς ἐλπὶς ἄλλη; τίς παράκλησις; φράσον.
καὶ μὴν ἐχρῆν σε μᾶλλον εὐθύμως ἔχειν,
ἄνθρωπε, χρηστοῦ τοῦ τέλους προκειμένου·

ἄλλοις γὰρ ἄλλο φάρμακον σωτηρίας·
ἐμὸν δὲ πένθος κοσμικοῦ πένθους λύσις.

21. *Εἰς τοὺς ἁγίους ἀναργύρους.*

Ἰδού, τί τερπνὸν ἢ γέμον θυμηδίας
ὡς αὐταδέλφων φιλτάτων συνοικία;
ἣν ἡ παροῦσα μαρτυρεῖ τούτοις στάσις,
καθ' ἣν ὁμοῦ σύνεισιν οἱ γεγραμμένοι.
ἀνάργυρος μὲν ὁ τρόπος τοῖς συγγόνοις·
τέχνη δ' ἰατροί· θαυματουργοί τε πλέον.
ἣν οὖν θέλεις, ἄμισθον ἐξαιτοῦ χάριν·
θεία γὰρ ἐγγύς, εὐτυχὴς δὲ καὶ τέχνη.

o NNilles kalendarium manuale 88 198 | 1 Psalm ρλβ 1

22. *Εἰς τὸν ἅγιον Παῦλον ὑπαγορεύοντα, καὶ Λουκᾶν καὶ Τιμόθεον παρεστῶτας καὶ γράφοντας.*

Ὁ ζῶντα Χριστὸν ἐν μέσῃ ψυχῇ φέρων
ἐκεῖθεν ἕλκει τοὺς ἀπορρήτους λόγους,
οὓς καὶ διδαχθεὶς σκέπτεται πῶς ἐκφράσοι·
τοῖς ἀξίοις γὰρ πᾶσιν ἐξειπεῖν θέλει.
ἀλλ' οἱ παρόντες εὐφυεῖς ὀξυγράφοι
ὡς μυστικοὺς γράφουσι τοὺς λόγους τέως·
φθόγγος γὰρ οὔπω γῆν προῆλθεν εἰς ὅλην,
| κἂν πᾶσαν ἐπλήρωσεν ὕστερον κτίσιν. 9²

7 Psalm ιη 5

23. *Εἰς τὴν κηδίαν τοῦ Χρυσοστόμου καὶ τὴν κατὰ τὸν Ἀδέλφιον ἱστορίαν.*

Τὸν ἄγγελον μὲν ἐν βροτοῖς ὁ πρεσβύτης
ζητῶν ἔκαμνε, καὶ ποθῶν ἐδυσφόρει,
ἐπείπερ εἶδεν ὡς βροτὸν τεθνηκότα,
οὕτω τε νεκρὸν πρὸς ταφὴν ἀπηγμένον·
ἐν οὐρανοῖς δὲ τὸν ποθούμενον βλέπει,
τοῦ προσκυνητοῦ σφόδρα πλησίον θρόνου·
οὗτος πρέπων γὰρ ἦν Ἰωάννῃ τόπος,
σὺν τοῖς Χερουβὶμ ὡς ἐχρῆν τεταγμένῳ.

24. *Εἰς τὸν ἀρχάγγελον Μιχαήλ.*

Φῶς, πνεῦμα καὶ πῦρ οἴδαμεν τοὺς ἀγγέλους,
παντὸς πάχους τε καὶ πάθους ὑπερτέρους.
ἀλλ' ὁ στρατηγὸς τῶν ἀΰλων ταγμάτων
ἕστηκε γραπτὸς ὑλικῶν ἐκ χρωμάτων.
ὢ πίστις, οἷα θαυματουργεῖν ἰσχύεις·
ὡς ῥᾷστα μορφοῖς τὴν ἀμόρφωτον φύσιν·

1 Hebr 1, 7

πλὴν ἡ γραφὴ δείκνυσι τὸν γεγραμμένον
οὐχ ὡς πέφυκεν, ὡς δ' ἔδοξε πολλάκις.

25. *Εἰς τὸν ἀσπασμὸν Πέτρου καὶ Παύλου.*

Ἐξιστόρει μοι, Παῦλε, τὸν μέγαν Πέτρον·
λέγεις γὰρ ἐλθεῖν εἰς Σιὼν τούτου χάριν·
δίδου δὲ καὶ φίλημα, σύμβολον πόθου,
| περιπλακεὶς ἥδιστα τῷ ποθουμένῳ· 10[1]
ἀντάσπασαι δὲ καὶ σύ, Πέτρε, γνησίως
τὸν σὸν διώκτην, τοῦ πάλαι λυθεὶς φόβου,
ἐπείπερ οὕτως εἶδες ἠλλοιωμένον·
Χριστοῦ μαθητής ἐστι, καὶ ζῆλον πνέει,
ἀλλ' οὐκ ἀπειλῆς, ὡς πρὸ τούτου, καὶ φόνου.
ὅθεν συνεργὸν προσλαβὼν τὸν γεννάδαν,
σκέπτεσθε κοινὴν σκέψιν, ὡς σεσωσμένην
Χριστῷ παραστήσαιτε τὴν οἰκουμένην.

2 Galat 1, 18

9 Actorum 9, 1

26. *Εἰς τὸν σωτῆρα.*

Τοὺς οὐρανοὺς ἔχοντα, δέσποτα, θρόνον,
καὶ γῆν πατοῦντα, καὶ τὸ πᾶν πληροῦντά σε
ἐνταῦθα πίστις εὐσεβὴς περιγράφει·
ἣν σοι γεωργεῖ καρδία Γεωργίου,
ὃς αὐτάδελφον εὐτυχῶς αὐχεῖν ἔχει
πιστὸν Μιχαήλ, τὸν νέον γῆς δεσπότην.

1 Psalm ι 4 ρβ 19 | 2 Ieremias 23, 24 | 6 Michael quartus: Ede Muralt essai de chronographie byzantine 611, qui 613 Georgium Nicetae, Constantini et Michaelis imperatoris fratrem laudat | o Nilles II 245 |

27. *Πρόγραμμα εἰς τὸν τῆς κοιμήσεως λόγον.*

Σοὶ τοῦτο πλεκτὸν ἐξ ἀκηράτου στέφος
λειμῶνος, ὦ δέσποινα, κοσμήσας φέρω.
ἀλλότριον πρόσφθεγμα, σοὶ μάλα πρέπον.
ἅπαντα γὰρ σὰ δοῦλα, καὶ τὰ τῶν ξένων.
λόγων ὁ λειμών, τῆς Ἐδὲμ φυτὰ τρέφων,
βρύων τε πολλοῖς ἄνθεσιν καὶ ποικίλοις,
ὧν οὐ μαραίνει τὴν καλὴν ὥραν χρόνος,
| οὐδ' ἄλλος οὐδεὶς τὴν χάριν φθείρει τρόπος, 10[2]
ἀλλ' εἰς ἀεὶ θάλλει τε καὶ λάμπει πλέον
τῶν ἄρτι φαιδρὸν ἐξανισχόντων ῥόδων.
ἐκεῖθεν ἐδρέφθησαν ἡμῖν καὶ τάδε,
τοῖς νῦν γεωργεῖν αὐτὸν ἠξιωμένοις·
ἐκεῖθεν οὗτος ὁ στέφανος ἐπλάκη,
οὐκ ἀξίως μέν (καὶ γὰρ οὐδὲ πᾶν τόδε
ἐπάξιόν σου), τοῦ πόθου δ' ἐπαξίως,

1 Euripides Hippolytus 73 | 3 αλλοτριον quia Hippolytus haec Dianae dixerat

ὃς πᾶσαν εἰσήνεγκεν ἰσχὺν ἐνθάδε,
οἷς εἶχε, τιμᾶν τὴν ὑπέρτιμον θέλων.
σὺ δὲ πρὸς αὐτὸν εὐμενὲς βλέψασά μοι,
δέχου παρ' ἡμῶν, ὡς βασιλὶς μέν, στέφος,
ὡς τοῦ Λόγου μήτηρ δέ, τὸ πρὸς τῶν λόγων·
τῆς δουλικῆς τε χειρὸς ἀντειλημμένη
εὔθυνε πρὸς σέ, καὶ δίδου παρρησίαν,
ὡς ἄν σε λαμπρῶς ᾧ φέρει στέψῃ στέφει.
εἰ δ' οὖν, τὸ δῶρον δεξιᾶς σῆς ἄξιον,
αὐτή τε σαυτὴν εὐπρεπῶς τούτῳ στέφε·
ἢ μᾶλλον εὐπρέπειαν αὐτὴ τῷ στέφει
προσψαύσεως σῆς ἀξιουμένῳ δίδου.
ἡμᾶς δὲ τοὺς λόγοις σε τιμῶντας μόνοις
ἔργοις σὺ πάντως ἀντιτίμησον πλέον,
οἴκῳ τε τῷ σῷ γειτονοῦντας ἐνθάδε
καὶ τῆς ἐκεῖ σου στῆσον ἐγγὺς οἰκίας,
| ἣν ἀμφέπουσιν οἱ χοροὶ τῶν ἀγγέλων, 11[1]
ἣν προσκυνοῦσι πᾶσα τάξις τῶν ἄνω.
ταύτην ἀμοιβὴν τοῦ πόθου καὶ τοῦ λόγου
λάβοιμεν ἐκ σοῦ, καὶ τὸ τῆς δόξης στέφος,
κἂν ταῦτα μεῖζον ἢ καθ' ἡμᾶς ἐλπίσαι.

28. *Πρόγραμμα εἰς τὸν περὶ τῶν ἀγγέλων λόγον.*

Κἂν ἄλλο μεῖζον εὐπόρουν τι προσφέρειν,
ὡς οἱ ῥέοντες τὰς βαρυπλούτους δόσεις,
ἐφεισάμην ἂν οὐδαμῶς ὡς τιμίου·
ὡς τίμιον μᾶλλον δέ, σὺν προθυμίᾳ
ἤνεγκα δῶρον προσφιλὲς τοῖς τιμίοις.
ἀλλ' οὐδενὸς μὲν ἔσχον ἄλλου φροντίδα,
οὐδεὶς δ' ἔτρωσε τὴν ἐμὴν ψυχὴν ἔρως
τῶν γῆν ὁρώντων καὶ μενόντων ἐνθάδε,
πλὴν ἢ μόνων λόγων τε καὶ μαθημάτων,
ἅ μοι συνῆξαν οἱ μακροὶ μόλις πόνοι,
ὑμᾶς συνεργοὺς προσλαβόντες γνησίους,
ἀρχιστράτηγοι τῶν ἀΰλων ταγμάτων·
ὅθεν στενὸς μὲν εἰμὶ τἄλλα καὶ πένης.
τῆς δ' οὖν προσούσης κτήσεώς μοι μετρίαν
ἕλεσθε μοῖραν, ὦ θεοῦ παραστάται,
καὶ τὴν χάριν δέχεσθε τῆς συνεργίας·
λόγος γὰρ ὑμῖν οὗτος ἀντὶ τῶν λόγων
ἐκ γείτονος δώρημα μετριωτάτου,

| ὃς καὶ τὸν ἡμῶν οἶκον ἐκ τοῦ πλησίον 11[2]
κάλλιστον ἐντρύφημα προσβλέπειν ἔχων,
ὑμᾶς δι' αὐτοῦ — τοὺς ὑπὲρ θνητὴν θέαν —
δοκεῖ θεωρεῖν ἀστραπηβόλους ὅλους,
δεικνῦντας εἰς γνώρισμα τῆς παρουσίας
φωτὸς τὰ κύκλῳ πάντα πεπληρωμένα,
ὃ καὶ πρὸς ἡμᾶς τοὺς ἀναξίους φθάσαν,
εἰς τοῦτον ὡδήγησε τὸν βραχὺν λόγον.
ἀλλ' ἀντὶ τοῦ ῥέοντος εἰς αὔρας λόγου
τῷ ζῶντι καὶ μένοντι συστήσοιτέ με,
καὶ τὴν καθ' ὑμᾶς δόξαν ἀντὶ τῆς κάτω
ποθοῦντι μᾶλλον τὴν ἄνω δείξοιτέ μοι.

29. *Εἰς τοὺς λόγους τοῦ Θεολόγου τοὺς μὴ ἀναγινωσκομένους.*

Τίς ὁ θρασυνθεὶς πρῶτος εἰπεῖν τοὺς λόγους
ἥκιστα τούτους ἀναγινωσκομένους;
τίς κοσμολαμπὲς φῶς καλύπτει γωνίᾳ;
τίς ἀστέρας λάμποντας ἐγκρύπτει νέφει;
τίς μαργάρους στίλβοντας εἰς γῆν χωννύει;
φεῦ κλήσεως μὲν βασκάνου ψευδωνύμου,
εἰ δ' ἔργον εἶχε, ζημίας παγκοσμίου.
νῦν δ' οὐ γάρ ἐστιν ἔργον, ἀλλ' ἄλλως λόγος.
τὸ φῶς ὁράσθω φαῖνον ἐν τῇ λυχνίᾳ·
πᾶσι προκείσθω, πᾶσι κοινῇ λαμπέτω
| ὅσοι βλέπειν ἔχουσι τῶν ἄλλων πλέον· 12[1]
ὡς εἴθε πάντες εἶχον εἰδέναι τάδε,
εἴθε προσεῖχον τοῖσδε πάντες τοῖς λόγοις·
οὕτω γὰρ ἂν πρόχειρος ἡ σωτηρία
παρῆν ἅπασιν ἐκ μιᾶς ταύτης βίβλου·
ἐῶ γὰρ εἰπεῖν ὡς σοφοὺς ποιεῖ, μόνη
ἀρκοῦσα πρὸς παίδευσιν ἀνθρώποις ὅλην.
πλήρης μέν ἐστι δογμάτων ἀποκρύφων,
πλήρης δὲ θείων καὶ σοφῶν μυστηρίων,
πλήρης δὲ χρηστῶν ἠθικῶν διδαγμάτων,
πλήρης δὲ κομψῶν τεχνικῶν μαθημάτων·
μουσεῖον αὐτόχρημα, γνῶσιν ἐμπνέον.
ταύτης ἄμεμπτον τὴν γραφὴν καταρτίσας,
πολλοῖς τρυφὴν προὔθηκα μὴ κενουμένην.

30. *Πρόγραμμα εἰς τοὺς νόμους.*

Ὦ κόσμε, κόσμε, τῶν κακῶν τὸ χωρίον,

24 Regnorum δ 6, 17

28 Hebr 4, 12: Petr α 1, 25?

9 Matthaeus 5, 15 | 10 κοινῇ codex. de iota vide praefationem a me Tito bostreno praemissam, ubi quae de ϱϱ apicibus non distinguendis exposui Franciscus Delitzsch handschriftliche funde II vii lectu digna non iudicavit. si quando κοινῃ invenitur scriptum, id pluris non valet atque ἀποκτεινωι similia non raro obvia

πλῆρες ταμεῖον δαψιλοῦς μοχθηρίας,
θάλασσα μεστὴ συμφορῶν τρικυμίας·
ὅσης δεηθεὶς καὶ τυχὼν συνεργίας,
ὡς ὀψὲ γοῦν γένοιο σαυτοῦ βελτίων,
εἴληφας οὐδὲν εἰς διόρθωσιν πλέον.
ὦ πολλὰ μοχθήσαντες ἄνθρωποι μάτην
καὶ πολλὰ φροντίσαντες ἀνθρώπων χάριν,
ἵνα πρέποντα ζῶμεν ἀνθρώποις βίον,
| ὦ δογματισταὶ καὶ σεμνοὶ νομογράφοι, 12²
σύμπνοια κοινὴ πατρικῶν φρονημάτων,
φύσημα δήμων, ἀξίωμα συγκλήτων,
γνῶμαι σοφῶν τε καὶ νόμοι βασιλέων,
φαύλων κολασταί, τῶν καλῶν ἐπαινέται,
λύμης διῶκται, προστάται σωτηρίας,
οἷς ἠκρίβωται πᾶς προμηθείας τρόπος —
ὑμᾶς μὲν οὐδὲν ἐλλιπόντας ὧν ἔδει
πρὸς ὀρθότητα τῶν καθ' ἡμᾶς πραγμάτων,
ἔχει κρατήσας καὶ καλύψας ὁ χρόνος·
θνητοὺς γὰρ εὗρεν, εὐκατέργαστον φύσιν.
ἡ δ' ἐστὶν ἀκράτητον, ἡ πονηρία,
καθ' ἧς ἄπρακτοι καὶ κενοὶ πάντες πόνοι
ὑμῖν κατεβλήθησαν ἐν παντὶ χρόνῳ·
οὐ γὰρ πέφυκεν ἠρεμεῖν ἡ σχετλία.
ἀεὶ δὲ ποιεῖν μᾶλλον ἢ πάσχειν θέλει.
ἄτρωτός ἐστι πᾶσιν ὅπλων ὀργάνοις.
ἄτρεστός ἐστι τοῖς φόβοις τῶν δογμάτων.
ἄληπτός ἐστι τοῖς βρόχοις τῶν γραμμάτων.
μᾶλλον δὲ τοῖς μὲν γωνίας σκότος τόπος,
τῆς δὲ πρὸς ἄκρα γῆς τὸ πάντολμον θράσος.
οὐκ οἶδε κάμνειν. οὐ δαμάζεται πόνοις.
οὐκ οἶδε θνήσκειν. οὐ μαραίνεται χρόνῳ.
μᾶλλον μὲν οὖν ῥώννυσιν αὐτὴν ὁ χρόνος·
| τόλμης γὰρ ἤδη καὶ θράσους πεπλησμένη 13¹
ἕλκει, σπαράσσει καὶ ταράσσει τὸν βίον·
ἄγει τὰ πάντα καὶ φέρει, καὶ συστρέφει.
ἀμήχανόν τι δεινὸν ἀνθρώποις ἔφυ.
καὶ τῶν φοβήτρων τῶνδε καρπὸς ἡ βλάβη·
τὸ θηρίον γὰρ ἀγριαίνεται πλέον
ὥσπερ λέων τις ἐξ ἀμυδρῶν νυγμάτων.
τίς οὖν φυγή, τίς, συμφορᾶς ἀμηχάνου;
μία τις ὡς ἔοικε τοῦ κακοῦ λύσις —

7 Euripides Heraclidae 448

37 Euripides Medea 447

φεύγειν πρὸς ἄλλον ἡμερώτερον τόπον.
μᾶλλον δὲ κἀκεῖ — φεῦ πονηρῶν ἐλπίδων.
εἰ γὰρ τὰ νῦν μοι σπέρματα ζωὴν νέμει,
τῶν σπερμάτων ἐπειδὰν οἱ καιροὶ [illegible];
σὺ σῶζε, Χριστέ. σῶζε δή με, Χριστέ μου,
σὺ καὶ χάρις σή· ποῦ γὰρ ἀλλαχοῦ τρέχω;
τίς ἐλπὶς ἄλλη, τίς πόρος σωτηρίας,
εἰ μὴ σύ, πλάστα, ῥύστα τῶν ἐγκλημάτων;

33. Εἰς αὐτὸν εὐαγγέλιον ἐπίστευον.

Ὁ τῶν ἀπίστων καὶ ξένων θεαμάτων.
πάλιν λόγος σάρξ, καὶ βρωτὸς θεὸς πάλιν·
Χριστὸς γὰρ αὐτὸς ἦλθεν αὖθις ἄνωθεν.
ἢ δὶς παχυνθείς, ἢ τὸ πρὶν φορῶν πάχος·
οὐκ ἐξ ἁγνῆς μὲν (ὡς τὸ πρόσθεν) παρθένου,
οὐδ' εἰς Ἰουδαίαν τε καὶ Παλαιστίνην.
ἀλλ' ἐνθάδε, ξένην τε καὶ καινὴν πάλιν 13[2]
πλασθείς, ἀπ' ἄλλων χρωμάτων, οὐχ αἱμάτων.
ὁ τοῦ λόγου δ' ἔλεγχος ἐκ τῶν πραγμάτων·
ὁρᾶσθαι καὶ γὰρ θαυματουργοῦντα βλέπω
καὶ δρῶντα καὶ πάσχοντα καὶ νῦν ὡς πάλαι,
ἀκούεται καὶ λέγοντος ἃ πρὶν τοὺς φίλους
ἐμφανῶς ἀκούειν εἰς βροτῶν σωτηρίαν.
καινὸν τὸ θαῦμα. καὶ νέα γὰρ ἡ χάρις.
ἄνωθεν νεάζει καὶ θεόφθεγκτος βίβλος,
ὅταν χαράζῃ τοὺς τύπους τῶν γραμμάτων,
ὡς ἐν χρόνῳ φέρουσα τὸν πρὸ τοῦ χρόνου.
τίς οὖν τοσοῦτον ἀξιώματος βάρος,
τίς τὸν φέροντα πᾶσαν ἐν χειρὶ κτίσιν,
μόνην ποθοῦντα, καρτερήσει βαστάσαι;
οὐ γὰρ ξένος τις εἰς ξένους ἥκει πάλιν,
Ζακχαῖον αἰτῶν τὸν μικρὸν μικρὰν στέγην, 22 Lucas 19,5 |
ὡς οὐδὲ τρώγλης εὐπορῶν ἀλωπέκων, 23 Matthaeus 8, 20 = Lucas 9, 58
ἀλλὰ πρόδηλος τῶν ἁπάντων δεσπότης,
ἄψαυστος, ἀπρόσιτος, ἄσεκτος φύσει,
πληρῶν ἅπασαν ὡς ἀχώρητος κτίσιν.
ἀλλ' ὡς θεὸς μὲν ταῦτα καὶ τούτων πέρα·
ὡς σὰρξ δὲ καὶ νῦν οὐκ ἀπαξιοῖ στέγην.
οὐκοῦν ξενίζει δεσπότης τὸν δεσπότην,
ὁ καὶ θαλάσσης τὸ κράτος καὶ γῆς ἔχων 30 Matthaeus 8, 27
| τὸν δημιουργὸν οὐρανοῦ καὶ τῶν κάτω· 14[1]

οὐδεὶς δ' ἐρίζει τῷ ξενιστῇ τοῦ γέρως·
ἐξίσταται γὰρ πανταχοῦ τῶν τιμίων
τοῖς κρείττοσι πρόθυμος ἡττόνων φύσις.
ἥττων δὲ πᾶς τις τοῦ κρατοῦντος ἐννόμως,
ἄλλως τε, κἂν τύχοι τις οὐ δῶρον τύχης,
ἀλλ' ἐκ θεοῦ σχὼν τοῦ κράτους τὰς ἡνίας
ὡς ὁ κραταιὸς δεσπότης Κωνσταντῖνος
ὁ Μονομάχος, οὗ κρατήσας ὁ φθόνος
ἀντεκρατήθη καὶ νενίκηται πλέον,
θεοῦ κραταιὰν χεῖρα δόντος ὑψόθεν,
καὶ πρὸς μεγίστην δόξαν ἐξ ἀτιμίας
ἄραντος αὐτὸν μέχρι καὶ λαμπροῦ στέφους,
ἀεί τε συμπράττοντος ἃ πράττειν θέμις,
καὶ συνδιευθύνοντος αὐτῷ τὸ κράτος,
δέος μὲν ἐχθροῖς, ἡδονὴν δ' ὑπηκόοις,
καὶ θαῦμα παντὸς τοῦ βίου καὶ τοῦ χρόνου.
ἀλλ', ὦ κραταιὲ δέσποτα στεφηφόρε,
δέχου τὸν ἐξάγοντα φῶς ἀπὸ σκότους,
τὸν ἐξ ἀναγκῶν δόντα σοι σωτηρίαν
καὶ πρὸς τοσοῦτον ὕψος ἐξάραντά σε·
δέχου τε πιστῶς, καὶ σέβε πρὸς ἀξίαν,
βλέπων, ἀκούων, προσκυνῶν, κρατῶν, φέρων
αὐτὸν θεόν τε καὶ θεοῦ φρικτοὺς λόγους,
| τὸ τῶν βροτῶν φῶς, τὴν τρυφὴν τῶν ἀγγέλων, 14²
τὸν καὶ βασιλεύσαντα καὶ στέψαντά σε
καὶ συμβασιλεύοντα καὶ σκέποντά σε·
ᾧ συγξένιζε καὶ φίλους καὶ μητέρα,
αὐτόν τε τὸν σὸν σύμμαχον καὶ προστάτην,
ᾧ τὰ τρόπαια κλῆσιν ἀξίαν ἔθου·
πάντες γὰρ εἰς ἓν συνδραμόντες ἀθρόοι,
σύνεισι Χριστῷ, καὶ δέονται σοῦ χάριν·
πάντες σὲ λαμπρύνουσι· πάντας οὖν δέχου.
οὗτοι στέφος σοι, μάργαροι, λαμπροὶ λίθοι,
κοσμοῦντες ὡς κάλλιστα τὴν ἁλουργίδα.
οὗτοι κατ' ἐχθρῶν ὅπλα σοι νικηφόρα,
μεθ' ὧν κρατεῖς τε καὶ κρατήσεις εἰς τέλος,
ἐν οἷς φυλάξεις εὐτυχές σου τὸ κράτος,
καλὴν παρ' αὐτῶν καὶ πρὸ τῆς ἐν ἐλπίσι
τῆς εὐσεβείας τὴν ἀμοιβὴν λαμβάνων.

55 Psalm οζ 25 Swete ad Theodorum Mopsuhestenum I 48 Basilius 133, 34 188, 49 347, 21 355, 35 Frobeni ²

32. *Εἰς σταύρωσιν χρυσῆν.*

φεύγειν πρὸς ἄλλον ἡμερώτερον βίον.
μᾶλλον δὲ κἀκεῖ — φεῦ πονηρῶν ἐλπίδων.
εἰ γὰρ τὰ νῦν μοι σπέρματα ζωὴν λύει,
τῶν σπερμάτων ἐκεῖθεν οἱ καρποὶ τίνες;
σὺ σῷζε, Χριστέ. σῷζε δὴ σύ, Χριστέ μου,
σὺ καὶ χάρις σή· ποῦ γὰρ ἀλλαχοῦ τόπος;
τίς ἐλπὶς ἄλλη, τίς πόρος σωτηρίας,
εἰ μὴ σύ, πλάστα, ῥύστα τῶν ἀγνωμόνων;

31. *Εἰς λιτὸν εὐαγγέλιον ἐνίστορον.*
Ὢ τῶν ἀπίστων καὶ ξένων θεαμάτων.
πάλιν λόγος σάρξ, καὶ βροτὸς θεὸς πάλιν·
Χριστὸς γὰρ αὐτὸς ἦλθεν αὖθις ὑψόθεν,
ἢ δὶς παχυνθείς, ἢ τὸ πρὶν φέρων πάχος·
οὐκ ἐξ ἁγνῆς μὲν (ὡς τὸ πρόσθεν) παρθένου,
οὐδ' εἰς Ἰουδαίαν τε καὶ Παλαιστίνην.
| ἀλλ' ἐνθάδε, ξένην τε καὶ καινὴν πλάσιν 13[2]
πλασθείς, ἀπ' ἄλλων χρωμάτων, οὐχ αἱμάτων.
ὁ τοῦ λόγου δ' ἔλεγχος ἐκ τῶν πραγμάτων·
πάρεστι καὶ γὰρ θαυματουργοῦντα βλέπειν
καὶ δρῶντα καὶ πάσχοντα καὶ νῦν ὡς πάλαι.
πάρεστι καὶ λέγοντος ἃ πρὶν τοῖς φίλοις
τρανῶς ἀκούειν εἰς βροτῶν σωτηρίαν.
καινὸν τὸ θαῦμα. καὶ νέα γὰρ ἡ χάρις.
ὅθεν νεάζει καὶ θεόφθεγκτος βίβλος,
κἂν ἀρχαΐζῃ τοὺς τύπους τῶν γραμμάτων,
ὡς ἐν χρόνῳ φέρουσα τὸν πρὸ τοῦ χρόνου.
τίς οὖν τοσοῦτον ἀξιώματος βάρος,
τίς τὸν φέροντα πᾶσαν ἐν χειρὶ κτίσιν,
μονὴν ποθοῦντα, καρτερήσει βαστάσαι;
οὐ γὰρ ξένος τις εἰς ξένους ἥκει πάλιν,
Ζακχαῖον αἰτῶν τὸν μικρὸν μικρὰν στέγην, 22 Lucas 19,5 |
ὡς οὐδὲ τρώγλης εὐπορῶν ἀλωπέκων, 23 Matthaeus
ἀλλὰ πρόδηλος τῶν ἁπάντων δεσπότης, 8, 20 = Lucas 9, 58
ἄψαυστος, ἀπρόσιτος, ἄστεκτος φύσει,
πληρῶν ἅπασαν ὡς ἀχώρητος κτίσιν.
ἀλλ' ὡς θεὸς μὲν ταῦτα καὶ τούτων πέρα·
ὡς σὰρξ δὲ καὶ νῦν οὐκ ἀπαξιοῖ στέγην.
οὐκοῦν ξενίζει δεσπότης τὸν δεσπότην,
ὁ καὶ θαλάσσης τὸ κράτος καὶ γῆς ἔχων 30 Matthaeus
| τὸν δημιουργὸν οὐρανοῦ καὶ τῶν κάτω· 14[1] 8, 27

οὐδεὶς δ' ἐρίζει τῷ ξενιστῇ τοῦ γέρως·
ἐξίσταται γὰρ πανταχοῦ τῶν τιμίων
τοῖς κρείττοσι πρόθυμος ἡττόνων φύσις.
ἥττων δὲ πᾶς τις τοῦ κρατοῦντος ἐννόμως,
ἄλλως τε, κἂν τύχοι τις οὐ δῶρον τύχης,
ἀλλ' ἐκ θεοῦ σχὼν τοῦ κράτους τὰς ἡνίας
ὡς ὁ κραταιὸς δεσπότης Κωνσταντῖνος
ὁ Μονομάχος, οὗ κρατήσας ὁ φθόνος
ἀντεκρατήθη καὶ νενίκηται πλέον,
θεοῦ κραταιὰν χεῖρα δόντος ὑψόθεν,
καὶ πρὸς μεγίστην δόξαν ἐξ ἀτιμίας
ἄραντος αὐτὸν μέχρι καὶ λαμπροῦ στέφους,
ἀεί τε συμπράττοντος ἃ πράττειν θέμις,
καὶ συνδιευθύνοντος αὐτῷ τὸ κράτος,
δέος μὲν ἐχθροῖς, ἡδονὴν δ' ὑπηκόοις,
καὶ θαῦμα παντὸς τοῦ βίου καὶ τοῦ χρόνου.
ἀλλ', ὦ κραταιὲ δέσποτα στεφηφόρε,
δέχου τὸν ἐξάγοντα φῶς ἀπὸ σκότους,
τὸν ἐξ ἀναγκῶν δόντα σοι σωτηρίαν
καὶ πρὸς τοσοῦτον ὕψος ἐξάραντά σε·
δέχου τε πιστῶς, καὶ σέβε πρὸς ἀξίαν,
βλέπων, ἀκούων, προσκυνῶν, κρατῶν, φέρων
αὐτὸν θεόν τε καὶ θεοῦ φρικτοὺς λόγους,
| τὸ τῶν βροτῶν φῶς, τὴν τρυφὴν τῶν ἀγγέλων, 14[2]
τὸν καὶ βασιλεύσαντα καὶ στέψαντά σε
καὶ συμβασιλεύοντα καὶ σκέποντά σε·
ᾧ συγξένιζε καὶ φίλους καὶ μητέρα,
αὐτόν τε τὸν σὸν σύμμαχον καὶ προστάτην,
ᾧ τὰ τρόπαια κλῆσιν ἀξίαν ἔθου·
πάντες γὰρ εἰς ἓν συνδραμόντες ἀθρόοι,
σύνεισι Χριστῷ, καὶ δέονται σοῦ χάριν·
πάντες σὲ λαμπρύνουσι· πάντας οὖν δέχου.
οὗτοι στέφος σοι, μάργαροι, λαμπροὶ λίθοι,
κοσμοῦντες ὡς κάλλιστα τὴν ἁλουργίδα.
οὗτοι κατ' ἐχθρῶν ὅπλα σοι νικηφόρα,
μεθ' ὧν κρατεῖς τε καὶ κρατήσεις εἰς τέλος,
ἐν οἷς φυλάξεις εὐτυχές σου τὸ κράτος,
καλὴν παρ' αὐτῶν καὶ πρὸ τῆς ἐν ἐλπίσι
τῆς εὐσεβείας τὴν ἀμοιβὴν λαμβάνων.

55 Psalm οζ 25 Swete ad Theodorum Mopsuhestenum I 48 Basilius 133, 34 188, 49 347, 21 355, 35 Frobeni[2]

32. *Εἰς σταύρωσιν χρυσῆν.*

Κἀνταῦθα Χριστός ἐστιν ὑπνῶν ἐν ξύλῳ.
φέρει δὲ χρυσὸς τοῦ πάθους τὴν εἰκόνα,
ἀνθ' οὗ πραθείς, ἔσωσε τοὺς κατ' εἰκόνα.

33. Πρὸς τὸν ἐπιλαβόμενον τοῦ ἰάμβου τοῦ »ἀνθ' οὗ πραθείς« ὡς τῆς προθέσεως οὐ καλῶς προσκειμένης.

Εἰ Χριστὸν ἐχθροῖς ὤνιον μιαιφόνοις
| ἐχθρὸς μαθητὴς ἀντέδωκε χρυσίου, 15[1]
τί νῦν ἁμαρτάνουσιν οἱ πεπεισμένοι
πάλαι πραθῆναι Χριστὸν ἀντὶ χρυσίου;
πῶς δ' οἱ λέγοντες καὶ γράφοντες τὴν πράσιν,
ὅπως συνέστη καὶ καθ' ὅντινα τρόπον,
ἔξω φέρονται τοῦ προσήκοντος λόγου,
σκάφην καλοῦντες τὴν ὑμνουμένην σκάφην;
τί δ' ἄν τις εἴποι τὴν πράσιν πλὴν ἢ μόνον
ὅπερ πέφυκεν, ἀντὶ λήψεως δόσιν,
μόνον προσέστω κέρμα τῷ πεπραγμένῳ,
ὡς ἂν πρὸς ἀντάλλαγμα μὴ συνεμπέσοι.
ἐγὼ μὲν οὕτω τὴν πράσιν μαθὼν λέγω·
ἄλλοι δ' — ἴσως βλέποντες ἡμῶν τι πλέον —
οὐκ »ἀντὶ χρυσοῦ« φασὶ πεπρᾶσθαι τόδε,
ἁπλῶς δὲ »χρυσοῦ« δεῖν γράφειν τε καὶ λέγειν.
τῆς ἀκριβείας τῶν διδασκάλων ὅση!
πῶς οὖν ἐκεῖνον τὸν Θαλῆν τις θαυμάσοι;
σοφοὶ μὲν οὗτοι, καὶ τὸ δόγμα τῶν πάνυ·
ὑπερφυῶς γάρ ἐστι τῶν ἀποκρύφων.
τί δ' ἡ πρόθεσις ζημιοῖ προσκειμένη;
ἐρήσομαι γὰρ τὸν δικαστὴν τοῦ λόγου·
ἢ πῶς παροῦσαν μακρὰν ἐξωθεῖς βίᾳ,
ἣν οὐ παροῦσαν αὖθις ἕλκεις εἰς μέσον;
πῶς γὰρ νοήσεις τὸ πραθῆναι χρυσίου,
| μὴ προσλαβὼν ἔξωθεν αὐτὴν ἀγράφως; 15[2]
δεῖ γάρ με πάντως πρὸς σὲ τῶν σῶν τι φράσαι.
ἀλλ' ὡς ἔοικε τῆς σαφηνείας χάριν
ἄχρηστος ἢ δύστηνος ὑμῖν εὑρέθη·
τὸ γὰρ σαφές τε καὶ πρόδηλον ἐν λόγοις
λογογράφοις ἥδιστον, οὐ σχεδογράφοις,
καὶ ταῦτα κλῆσιν τὸ σχέδην κεκτημένοις.
γρίφους δὲ σοὶ πλέκοντι τοὺς ἐν τῷ σχέδει
ἐπαχθές ἐστι πᾶν πρόχειρον καὶ σχέδην.
ἀλλ' »εἵνεκεν« τε καὶ »χάριν« καὶ τοιάδε,

8 Lucianus *Ζεὺς τραγῳδὸς* [44] 32

14 ἴσως ex ἴσος correctum a manu posteriore *Studemund*

ἢ τὴν »ὑπὲρ« δεῖν ἀντὶ τῆς »ἀντὶ« φράσεις
εἰς συμπέρασμα τοῦ λόγου προσλαμβάνειν;
μάλιστα μέν πως· ἀντὶ γὰρ τούτου τόδε
ἄμεινον εἰπεῖν μᾶλλον εἶναι τὴν πρᾶσιν,
ἢ τοὺς τοσούτους ἐκπεριτρέχειν κύκλους.
ἔπειτα πολλὴ συγγένεια πρὸς τάδε
τῇ προθέσει πρόσεστι μαρτυρουμένη,
ἀνθ' ὧν πέφυκε λαμβάνεσθαι πολλάκις.
πῶς οὖν στερηθῇ τῶν ἑαυτῆς ἐνθάδε;
νικᾷ δι' ἀμφοῖν. ὥστε συγχωρητέα.
εἰ δ' ἄλλος αὐτὴν ἐξελαύνει τις λόγος,
ἢ δεῖξον, ἢ σίγησον, ἢ δόξεις μάτην
ἐπηρεάζειν τοὺς ἀνευθύνους λόγους.
οὐκ εὐλόγως δὲ τοῦ λόγου τὸν προστάτην
| λόγοις μάχεσθαι σφόδρα τῶν ἀνευλόγων. 16[1]

34. *Πρὸς τοὺς ἀκαίρως στιχίζοντας.*

Ἄριστον εἶναι πᾶν μέτρον προεῖπέ τις. 1 supra 1 1
κἀγὼ δὲ μετρεῖν πρᾶξιν εἰδὼς καὶ λόγον,
μέτροις ὁρίζω καὶ λόγους τοὺς ἐμμέτρους.
μέτρον δ' ἂν εἴη πᾶν τὸ συμμέτρως ἔχον.
μέτρον δ' ἄμετρον οὐδαμῶς μέτρον λέγω.
σκόπει τὸ ῥητόν, καὶ σύνες τί σοι λέγει.
ἐκ Πινδάρου σοι τοῦτο τοῦ σοφωτάτου.
καὶ μοὶ μέτρει μέν, ἀλλ', ἄριστε, σὺν μέτρῳ·
καὶ τὸν λόγον γὰρ σὺν λόγῳ χειριστέον.
κακῶς δὲ μὴ σὺ τῷ καλῷ κέχρησό μοι·
ἀμετρία γὰρ πανταχοῦ κακὸν μέγα,
μάλιστα δ' ἡ φθείρουσα τὴν μέτρου φύσιν.

35. *Ἐπιτύμβιοι εἰς τὸν φίλον Μιχαὴλ τὸν διάκονον.*

Ἡ τῆς μεγίστης ἡδύτης ἐκκλησίας,
τὸ τῆς κρατούσης νῦν ἀηδίας ἅλας,
ὁ πᾶς γλυκασμὸς τῆς καθ' ἡμᾶς πικρίας
ἀπῆλθε, τὸν δύστηνον ἐκλιπὼν βίον·
ἡμῖν δὲ τὸ ζῆν συμφορὰν ἀφεὶς μόνον,
αὐτὸς διαδράς, οἴχεται σεσωσμένος.
οὐ γὰρ δίκαιον ἦν τὸ φῶς ὑπὸ σκότους
ἔτι κρατεῖσθαι, καὶ διαυγάζειν μάτην,
πάντων φιλούντων οὐ τὸ φῶς, τὸ δὲ σκότος.
| ὅθεν μετέστη πρὸς τὸ συγγενὲς σέλας· 16[2]

Κἀνταῦθα Χριστός ἐστιν ὑπνῶν ἐν ξύλῳ.
φέρει δὲ χρυσὸς τοῦ πάθους τὴν εἰκόνα,
ἀνθ' οὗ πραθείς, ἔσωσε τοὺς κατ' εἰκόνα.

33. *Πρὸς τὸν ἐπιλαβόμενον τοῦ ἰάμβου τοῦ »ἀνθ' οὗ πραθείς« ὡς τῆς προθέσεως οὐ καλῶς προσκειμένης.*

Εἰ Χριστὸν ἐχθροῖς ὤνιον μιαιφόνοις
| ἐχθρὸς μαθητὴς ἀντέδωκε χρυσίου, 15[1]
τί νῦν ἁμαρτάνουσιν οἱ πεπεισμένοι
πάλαι πραθῆναι Χριστὸν ἀντὶ χρυσίου;
πῶς δ' οἱ λέγοντες καὶ γράφοντες τὴν πρᾶσιν,
ὅπως συνέστη καὶ καθ' ὅντινα τρόπον,
ἔξω φέρονται τοῦ προσήκοντος λόγου,
σκάφην καλοῦντες τὴν ὑμνουμένην σκάφην;
τί δ' ἄν τις εἴποι τὴν πρᾶσιν πλὴν ἢ μόνον
ὅπερ πέφυκεν, ἀντὶ λήψεως δόσιν,
μόνον προσέστω κέρμα τῷ πεπραγμένῳ,
ὡς ἂν πρὸς ἀντάλλαγμα μὴ συνεμπέσοι.
ἐγὼ μὲν οὕτω τὴν πρᾶσιν μαθὼν λέγω·
ἄλλοι δ' — ἴσως βλέποντες ἡμῶν τι πλέον —
οὐκ »ἀντὶ χρυσοῦ« φασὶ πεπρᾶσθαι τόδε,
ἁπλῶς δὲ »χρυσοῦ« δεῖν γράφειν τε καὶ λέγειν.
τῆς ἀκριβείας τῶν διδασκάλων ὅση!
πῶς οὖν ἐκεῖνον τὸν Θαλῆν τις θαυμάσοι;
σοφοὶ μὲν οὗτοι, καὶ τὸ δόγμα τῶν πάνυ·
ὑπερφυῶς γάρ ἐστι τῶν ἀποκρύφων.
τί δ' ἡ πρόθεσις ζημιοῖ προσκειμένη;
ἐρήσομαι γὰρ τὸν δικαστὴν τοῦ λόγου·
ἢ πῶς παροῦσαν μακρὰν ἐξωθεῖς βίᾳ,
ἣν οὐ παροῦσαν αὖθις ἕλκεις εἰς μέσον;
πῶς γὰρ νοήσεις τὸ πραθῆναι χρυσίου,
| μὴ προσλαβὼν ἔξωθεν αὐτὴν ἀγράφως; 15[2]
δεῖ γάρ με πάντως πρὸς σὲ τῶν σῶν τι φράσαι.
ἀλλ' ὡς ἔοικε τῆς σαφηνείας χάριν
ἄχρηστος ἡ δύστηνος ὑμῖν εὑρέθη·
τὸ γὰρ σαφές τε καὶ πρόδηλον ἐν λόγοις
λογογράφοις ἥδιστον, οὐ σχεδογράφοις,
καὶ ταῦτα κλῆσιν τὸ σχέδην κεκτημένοις.
γρίφους δὲ σοὶ πλέκοντι τοὺς ἐν τῷ σχέδει
ἐπαχθές ἐστι πᾶν πρόχειρον καὶ σχέδην.
ἀλλ' »εἵνεκεν« τε καὶ »χάριν« καὶ τοιάδε,

8 Lucianus *Ζεὺς τραγῳδὸς* [44] 32

14 *ἴσως* ex *ἶσος* correctum a manu posteriore *Studemund*

ἢ τὴν »ὑπὲρ« δεῖν ἀντὶ τῆς »ἀντὶ« φράσεις
εἰς συμπέρασμα τοῦ λόγου προσλαμβάνειν;
μάλιστα μέν πως· ἀντὶ γὰρ τούτου τόδε
ἄμεινον εἰπεῖν μᾶλλον εἶναι τὴν πρᾶσιν,
ἢ τοὺς τοσούτους ἐκπεριτρέχειν κύκλους.
ἔπειτα πολλὴ συγγένεια πρὸς τάδε
τῇ προθέσει πρόσεστι μαρτυρουμένη,
ἀνθ' ὧν πέφυκε λαμβάνεσθαι πολλάκις.
πῶς οὖν στερηθῇ τῶν ἑαυτῆς ἐνθάδε;
νικᾷ δι' ἀμφοῖν. ὥστε συγχωρητέα.
εἰ δ' ἄλλος αὐτὴν ἐξελαύνει τις λόγος,
ἢ δεῖξον, ἢ σίγησον, ἢ δόξεις μάτην
ἐπηρεάζειν τοὺς ἀνευθύνους λόγους.
οὐκ εὐλόγως δὲ τοῦ λόγου τὸν προστάτην
| λόγοις μάχεσθαι σφόδρα τῶν ἀνευλόγων. 16[1]

34. Πρὸς τοὺς ἀκαίρως στιχίζοντας.
Ἄριστον εἶναι πᾶν μέτρον προεῖπέ τις. I supra I I
κἀγὼ δὲ μετρεῖν πρᾶξιν εἰδὼς καὶ λόγον,
μέτροις ὁρίζω καὶ λόγους τοὺς ἐμμέτρους.
μέτρον δ' ἂν εἴη πᾶν τὸ συμμέτρως ἔχον.
μέτρον δ' ἄμετρον οὐδαμῶς μέτρον λέγω.
σκόπει τὸ ῥητόν, καὶ σύνες τί σοι λέγει.
ἐκ Πινδάρου σοι τοῦτο τοῦ σοφωτάτου.
καὶ μοὶ μέτρει μέν, ἀλλ', ἄριστε, σὺν μέτρῳ·
καὶ τὸν λόγον γὰρ σὺν λόγῳ χειριστέον.
κακῶς δὲ μὴ σὺ τῷ καλῷ κέχρησό μοι·
ἀμετρία γὰρ πανταχοῦ κακὸν μέγα,
μάλιστα δ' ἡ φθείρουσα τὴν μέτρου φύσιν.

35. Ἐπιτύμβιοι εἰς τὸν φίλον Μιχαὴλ τὸν διάκονον.
Ἡ τῆς μεγίστης ἡδύτης ἐκκλησίας,
τὸ τῆς κρατούσης νῦν ἀηδίας ἅλας,
ὁ πᾶς γλυκασμὸς τῆς καθ' ἡμᾶς πικρίας
ἀπῆλθε, τὸν δύστηνον ἐκλιπὼν βίον·
ἡμῖν δὲ τὸ ζῆν συμφορὰν ἀφεὶς μόνον,
αὐτὸς διαδράς, οἴχεται σεσωσμένος.
οὐ γὰρ δίκαιον ἦν τὸ φῶς ὑπὸ σκότους
ἔτι κρατεῖσθαι, καὶ διαυγάζειν μάτην,
πάντων φιλούντων οὐ τὸ φῶς, τὸ δὲ σκότος.
| ὅθεν μετέστη πρὸς τὸ συγγενὲς σέλας· 16[2]

τῷ πατρὶ τῶν φώτων γὰρ ἡνώθη πάλιν,
ἐξ οὗ τέλειον δῶρον ἦλθεν εἰς βίον.
ἀλλ' αὐτόθεν με, τῶν ἐμῶν φῶς ὀμμάτων,
φώτιζε τὸν σόν, Μιχαήλ, Ἰωάννην.

12 Iacobus 1, 17

36. Ἐπιτύμβιοι εἰς τὸν πρωτεύοντα.

Ἓν ἦν τὸ κοσμοῦν τὸν ταλαίπωρον βίον,
ὁ νεκρὸς οὗτος, πρὶν νεκρὸς πεφηνέναι,
ἕως ἔτι ζῶν, φῶς ὑπῆρχε τοῦ κόσμου,
ἕως ὑπὲρ γῆς εἶχε τὴν λαμπηδόνα,
ὑφ' ἧς ὅλην ηὔγαζε τὴν οἰκουμένην
ὁποῖα φαιδρὸς λύχνος αὐχμηρὸν τόπον·
θεοῦ γὰρ οὗτος δῶρον ἦν φερωνύμως,
ἤθει, λόγῳ, τρόπῳ τε καὶ λαμπρῷ βίῳ
τὴν εὐγένειαν τὴν ἄνωθεν δεικνύων.
οὗτος λόγοις ἄριστος ἐκ μαθημάτων,
οἷς ἐτράφη τε καὶ συνῆν καθ' ἡμέραν.
οὗτος κράτιστος ἐν νόμοις ἐκ τοῦ τρόπου,
λέγων δίκαια καὶ κατευθύνων κρίσεις
καὶ ταῖς πάγαις ἄληπτος ὢν τῶν λημμάτων,
ὑφ' ὧν πέφυκε πᾶς μαλάσσεσθαι τόνος.
οὗτος γένει τε καὶ τύχῃ φρονεῖν ἔχων
εἰς γῆν ἑώρα καὶ ταπεινὸν ἐφρόνει
ὡς ἄν τις οἰκτρὸς εὐτελέστατος πένης·
| καὶ γὰρ πένης ἦν· ἀλλὰ πολλοὺς πλουσίους 17[1]
ἀντλῶν ἐδείκνυ χερσὶ δαψιλεστάταις.
οὗτος ξένην ὥδευσεν ἀνθρώποις τρίβον,
καὶ μίξιν εὗρε τῶν ἀμίκτων πραγμάτων,
ἄσκησιν εἰς ἓν καὶ πολιτείαν ἄγων,
καὶ τὴν μὲν ὡς ἄσαρκος ἐκπονῶν λάθρα,
τῇ δὲ προδήλως, εἴ τις ἄλλος, ἐμπρέπων·
νύκτωρ διαθλῶν ἐν προσευχαῖς ἀγρύπνοις,
καὶ πρὸς τὰ κοινὰ συντελῶν τὴν ἡμέραν·
μένων ἄχραντος ἐν μέσῳ τῶν πραγμάτων
ὡς μάργαρός τις ἐν μέσῳ ῥυπασμάτων·
πρᾷος, γαληνός, ἐγκρατής, σώφρων πλέον,
ἡδύς, προσηνής, ἵλεως, πᾶσιν φίλος·
θείου φόβου τε καὶ πόθου πεπλησμένος,
οὐδὲν κάτωθεν οὐδὲ τῆς ὕλης φέρων,
ἀεὶ δ' ἑαυτὸν τοῖς θεοῦ δούλοις νέμων
δοῦλον, ξενιστὴν καὶ ποριστὴν καὶ φίλον.

7 Theodorus vocabatur

14 Sophocles Electra 125 ex mea et Augusti Nauckii emendatione: Lagarde anmerkungen zur griechischen übersetzung der Proverbien vii 95 Basilius 300, 41 648, 21 Frobeni[2] Theodoretus ad Philipp 2, 2—4 III[1] 453 editionis halensis = III 329[2] Sirmondi

οὗτος — τί μὴ τάχιστα συντεμὼν λέγω;
ἔμψυχος εἰκὼν ἀρετῆς ἦν καὶ τύπος,
καὶ τοῖς καλοῖς ἅπασι πρωτεύων μόνος
τὴν κλῆσιν ἐκράτυνεν ἐκ τῶν πραγμάτων.
καὶ ταῦτα μὲν χθές. νῦν δὲ τί; σκιᾶς ὄναρ. 40 Pindarus Pyth η 95 TyMommseni
τὰ πάντα φροῦδα, πάντα φάσμα φασμάτων,
φανέν τι μικρὸν καὶ παρελθὸν αὐτίκα.
| ἢ μᾶλλον εἰπεῖν, ταῦτα μὲν ζῇ καὶ πάλιν· 17[2]
οὐ γὰρ πέφυκεν ἀρετὴ θνήσκειν ὅλως.
ἔχει δὲ τὸν χοῦν ἡ φθορὰ πάλιν μόνον
ἀφ' ἧς ὑπέστη καὶ πρὸς ἣν ὑποστρέφει. 46 Genesis 3, 19
οὐκ οὖν τι δεινὸν ἔσχεν ὁ κρυβεὶς τάφῳ,
ἀλλ' ὁ στερηθεὶς τοῦ καλοῦ τούτου βίος,
τοιοῦτον οὐδὲν ἄλλο τι βλέπειν ἔχων,
καίτοιγε πολλῶν ἄρτι χρῄζων εἰκότως,
ἐπικρατούντων πανταχοῦ τῶν χειρόνων.
ὅθεν τὸ πρᾶγμα πένθος ἡγεῖται μέγα,
καὶ τὸν θανόντα κόπτεται καὶ δακρύει,
εἰδὼς μεγίστην ἣν ὑπέστη ζημίαν.

37. Ἐπιτύμβιοι εἰς τὸν χαρτοφύλακα.
Πένθους ὁ καιρός· συμφορᾶς τὸ χωρίον·
καὶ δυστυχοῦσιν ἀρετή τε καὶ λόγοι·
τὸ σφῶν γὰρ αὐτοῖς οἴχεται μέγα κράτος,
ἤδη πεσόντος (ὡς ὁρᾷς) Ἰωάννου,
Ἰωάννου πεσόντος (οἴμοι) τοῦ πάνυ.
ὦ καρδία, σείσθητι καὶ θραύσθητί μοι,
πλήττοντος οὕτω καιρίαν σε τοῦ λόγου.
ἀνὴρ σοφὸς τέθνηκεν· ὢ τῆς ζημίας.
ἀνὴρ δίκαιος, εὐλαβής· φεῦ τοῦ πάθους.
ὁ χαρτοφύλαξ· ὢ στυγνῶν ἀκουσμάτων.
ὁ χαρτοφύλαξ, οὗ τὸ πρὶν μέγα κλέος,
| τὸ καὶ πρὸς αὐτὸν οὐρανὸν τρίτον φθάνον 18[1] 12 Corinth β 12, 2
καὶ τὴν ἄπειρον γῆν ὅλην περιτρέχον,
εἰ καὶ βραχεῖ νῦν συγκαλύπτεται τάφῳ.
τάφος γὰρ αὐτὸν ἔσχεν ὡς θνητῶν ἕνα,
κἂν οὐκ ἐῴκει τὴν φύσιν θνητὴν ἔχειν,
βροντῶν μὲν ὥσπερ ἐκ νεφῶν ἐν τοῖς λόγοις,
ἔργων δὲ λαμπρότησιν ἀστράπτων πάλιν,
καὶ πρὸς θεοῦ μίμησιν ἠκριβωμένος,
τοσοῦτον ἡμᾶς τοὺς χαμαὶ λείπων κάτω,

ὅσον συνῆπτε πλησιάζων τοῖς ἄνω
λαμπροῦ βίου τε καὶ λόγου κοινωνίᾳ.
τὰ νῦν δὲ ταῦτα μικρὸς ἤλεγξε χρόνος,
διαρρυέντων ἀθρόον πάντων ἅμα,
καὶ τὸν χθὲς αὐγάζοντα φαιδρὸν ἀστέρα,
δύντα πρόωρον, οὗτος ἔκρυψεν τόπος.
ἀστὴρ μέν, ἀλλ' ἤστραπτεν ἡλίου πλέον,
πρόσγεια λάμπων, ἀλλὰ νικῶν τοὺς ἄνω,
καὶ τὸ κράτιστον, νοῦν τε καὶ λόγον, φέρων,
οἷς ἦγεν, οἷς ἔθελγε καὶ λίθων φύσιν.
τοιοῦτον ἦν τὸ θαῦμα τῆς χθὲς ἡμέρας,
τοσοῦτον εὐτύχημα τοῦ παντὸς βίου
καὶ τοῦ καθ' ἡμᾶς εἶδεν ἥλιος χρόνου.
νῦν δ' ὡς ἔβλεψε τὴν ἐναντίαν τύχην,
καὶ τὴν κάτω σβεσθεῖσαν ἔγνω λαμπάδα,
| οὐδ' αὐτὸς ἡμῖν καρτερεῖ λάμπειν ἔτι, 18²
ἀλλὰ σκυθρωπός ἐστι καὶ πάθους γέμει·
δεῖ γὰρ στυγνάζειν πᾶσαν ἄρτι τὴν κτίσιν
ὡς τὴν ἑαυτῆς δόξαν ἐστερημένην.
ὁμώνυμός σοι ταῦτα, δοῦλε κυρίου,
ψυχῆς ἐμῆς μέλημα, φῶς τῶν ὀμμάτων,
μαθημάτων κοινωνὲ καὶ διδασκάλων,
ᾧ καὶ συνέζης καὶ συνέπνεις ἐν βίῳ,
πρὸς ὃν τὸ φίλτρον εἶχες ἐξῃρημένον,
ὁμώνυμός σοι τήνδε τὴν μονῳδίαν,
θρηνῶν ἑαυτὸν οἷς τὸ σὸν θρηνεῖ πάθος.
πέπτωκε κέδρος; ἡ πίτυς στεναζέτω.
εἰ γὰρ σὺ θᾶττον ἡρπάγης ἐκ τοῦ βίου,
σώφρων, ἄμεμπτος, ἐγκρατής, ἁγνός, νέος,
τί χρή με τὸν δύστηνον ἐλπίζειν ἔτι;

38. *Εἰς τὸν βεστάρχην Ἀνδρόνικον ἐπιτύμβιοι.*

Ἐκεῖνος οὗτος, ὁ χθὲς ἐν βίῳ μέγας,
πλούτῳ, λόγοις, δόξῃ τε λάμπων καὶ νόμοις,
ὃν εἶχε κόσμος κόσμον ἐν μέσῃ πόλει,
ὃς φαιδρὸν ἀντέλαμπεν ἐκ γῆς ἡλίῳ,
Ἀνδρόνικος — φεῦ· πῶς προσείπω, καὶ τίνα,
οὗ μηδὲ κλῆσιν ἀξίαν ἄν τις φράσοι;
πλὴν ἀλλὰ κεῖται, καὶ τέλος ζωῆς ἔχει,
βίου τε τοῦ ῥέοντος, ἀλλὰ καὶ φθόνου.
| αὕτη δὲ μορφὴ τοῦ παρελθόντος μόνη, 19¹

26 in *εκρυψεν* addita *ν* posteriore tempore *Studemund*

40 Iohannes vocabatur

44 *ἐξῃρημένον* C¹, *ἐξηιρημένον* C² *Studemund*

τὸν τοῦ καλοῦ σῴζουσα σώματος τύπον.

39. *Ἕτεροι εἰς τὸν αὐτόν.*

Εἰ καὶ σοφοὶ θνήσκουσι, τίς λόγων λόγος;
εἰ καὶ δυνάστας πτῶσις οὕτως ἀθρόα
φέρει συναρπάζουσα, τίς δόξης ἔρως;
τί πλοῦτος ἡδύ, τίς δυναστείας χάρις,
εἰ πάντα θνήσκει προσβολῇ μιᾶς νόσου;
τούτων ἁπάντων εἰς τὸ πρωτεῖον φέρων,
πρὶν ἐλπίσοι τις, πρὶν μάθοι τὸ πᾶν πάθος,
ἄφνω νεκρὸς (φεῦ) κρύπτεται βραχεῖ λίθῳ
Ἀνδρόνικος. τάλαινα, δυστυχεῖς, πόλις.
ὁ νοῦς ὁ λαμπρός, ἡ νοημάτων βρύσις,
τὸ τῶν λόγων ἄγαλμα, τῶν νόμων κράτος,
ἡ τοῦ κράτους εὔκλεια καὶ τῶν ἐν τέλει,
ὁ γοῦν τοσοῦτος ἁρπαγεὶς ἐκ τοῦ βίου,
τί τερπνὸν ἡμῖν οἴχεται λιπὼν ἔτι;
τί δ' ἄλλο χρηστόν; ἥλιε, στύγναζέ μοι,
τοιοῦτον οὐδὲν ἄλλο προσβλέπειν ἔχων.

40. *Εἰς τὸν ἑαυτοῦ τάφον.*

Θαύμαζε μηδέν, ἀλλὰ φρίσσε τὴν θέαν·
βλέπεις γάρ, ὢν ἄνθρωπος, ἀνθρώπου πάθος.
τὸ πτῶμα κοινόν, ἀλλ' ἄνισος ὁ χρόνος,
καὶ τὸν σὸν ἄλλοις ὕστερον δείξει τάφον.
| *ἕως δὲ μέλλει, γνῶθι τὴν σαυτοῦ φύσιν,* 19[2]
καὶ σωφρονίζου συμφοραῖς ἀλλοτρίαις.

41. *Ἄλλοι.*

Ζωῆς ἀπελθὸν φάσμα καὶ χθὲς ἡμέρα,
ψευδεῖς ὄνειροι καὶ πλάνοι, σῴζοισθέ μοι,
παίξαντες ἡμᾶς ἐν σκιαῖς βραχὺν χρόνον,
εἶτα προδόντες καὶ λιπόντες ἀθρόον·
οὐδὲν γὰρ ἦτε πλὴν ἐνυπνίων χάρις,
κλέπτουσα καὶ σφάλλουσα τοὺς πλανωμένους.

42. *Εἰς Πολυάνδριον.*

Ἄστοργε μῆτερ — ὢ πικρᾶς ἀσπλαγχνίας,
ὑφ' ἧς τὰ σαυτῆς τέκνα συγκατεσθίεις,
οὐδεὶς δ' ἔνεστιν οἶκτος. ἀλλ' ἐπ' ἐσχάτων
σάλπιγξ ἀπαιτήσει σε πάντας ἀγγέλου.

43. *Ἐπίγραμμα εἰς τὸν Πλάτωνα καὶ τὸν Πλούταρχον.*

Εἴπερ τινὰς βούλοιο τῶν ἀλλοτρίων
τῆς σῆς ἀπειλῆς ἐξελέσθαι, Χριστέ μου,
Πλάτωνα καὶ Πλούταρχον ἐξέλοιό μοι·
ἄμφω γάρ εἰσι καὶ λόγον καὶ τὸν τρόπον
τοῖς σοῖς νόμοις ἔγγιστα προσπεφυκότες.
εἰ δ' ἠγνόησαν ὡς θεὸς σὺ τῶν ὅλων,
ἐνταῦθα τῆς σῆς χρηστότητος δεῖ μόνον,
δι' ἣν ἅπαντας δωρεὰν σῴζειν θέλεις.

44. *Εἰς τὴν καθημερινὴν λειτουργίαν τῆς ἁγίας Σοφίας.*

Οὐκ ἦν δίκαιον τὴν σκιὰν μὲν τοῦ νόμου
| φέρειν ἄπαυστον τῷ θεῷ λειτουργίαν, 20[1]
σχολῆς δὲ καιρὸν τὴν ἀλήθειαν βλέπειν.
ὃ καὶ κατορθοῖ δεσπότης Μονομάχος.

45. *Ἄλλοι.*

Δαβὶδ μελῳδῶν εὐσεβῆ νόμον γράφει,
ἐν παντὶ καιρῷ τῷ θεῷ δόξαν νέμειν.
πληροῖ δὲ τοῦτον εὐσεβὴς Μονομάχος,
ἀεὶ τὸ θεῖον εὐλογεῖσθαι θεσπίσας.

1 hoc nomen in C nusquam perscriptum est, sed constanter *δαδ* notatum: hoc in posterum non amplius adnotabimus *Studemund* | 2 Psalm *ρμδ* 2?

46. *Εἰς χρυσόβουλλον τῆς λαύρας.*

Χρυσοῖς γραφῆναι γραμμάτων ἔδει τύποις
τὸν ἐν λόγοις κάλλιστον ὡς χρυσοῦν ὅλον.
εἴ τις δὲ τέχνῃ πρὸς τὸ καὶ μέλι γράφειν,
ἐκεῖσε βάπτων γραψάτω τις τὸν λόγον,
ὡς ἂν πρέπουσαν ὄψιν ἐντεῦθεν λάβοι
τὸ στίλβον αὐτοῦ καὶ γλυκάζον ἠρέμα.
ἀλλ' οὐ θεατός ἐστι τοῖς ἀναξίοις,
ἀλλ' οὐδ' ἀκουστὸς τοῖς ἀγροικικωτέροις·
ὅθεν φυλάξει τὴν χάριν κεκρυμμένην
χρυσοῦς φύλαξ κάτωθεν ἐμβεβλημένος,
μόνοις δὲ ταύτην ἐκφανεῖ τοῖς ἀξίοις,
σήμαντρα χειρὸς εὐγενοῦς δεδεγμένην.

47. *Εἰς τὴν ἑαυτοῦ οἰκίαν, ὅτε διαπράσας ταύτην ἀπέλιπεν.*

Μὴ δυσχέραινε σὺ πρὸς ἡμᾶς, οἰκία,
ἔρημος οὕτω καὶ κενὴ λελειμμένη·
| σὺ γὰρ σεαυτῇ πρόξενος τοῦ νῦν πάθους, 20[2]
ἄπιστος οὖσα τοῖς ἑαυτῆς δεσπόταις

καὶ μηδένα στέργουσα τῶν κεκτημένων
μηδ' εἰς τέλος σῴζουσα τὴν ὑπουργίαν·
οὐ γὰρ πέφυκας τοῖς ἔχουσι προσμένειν,
ἀεὶ δ' ἀμείβειν ἄλλον ἐξ ἄλλου θέλεις,
ἀποστατοῦντος οἰκέτου κακοῦ δίκην.
πρὶν οὖν προδῷς σὺ καὶ λίπῃς τὸν δεσπότην,
οὗτος σὲ φεύγει σωφρονῶν ὡς δραπέτιν.
πρὸ τοῦ παθεῖν ἄκων δὲ τὴν σὴν ζημίαν
ἑκὼν σε ῥίπτει, καὶ λιπὼν ἀποτρέχει.
πλὴν οὐ πάθους ἄμοιρος οὐδ' οἴκτου δίχα·
οἰκτίζεται γὰρ καὶ λίαν σε, φιλτάτη,
ὡς κτῆμα τερπνόν, ὡς πατρῴαν ἑστίαν,
ὡς ἐκ γένους δῶρόν τε καὶ κλῆρον μόνην.
καὶ μοὶ στρέφει τὰ σπλάγχνα καὶ τὴν καρδίαν
ὁ πρὸς σὲ θερμὸς ἐκ συνηθείας ἔρως·
σὺ γὰρ τιθηνὸς καὶ τροφός μοι, φιλτάτη,
σὺ παιδαγωγὸς καὶ διδάσκαλος μόνη·
ἐν σοὶ πόνους ἤνεγκα μακροὺς καὶ κόπους,
ἐν σοὶ διῆξα νύκτας ἀγρύπνους ὅλας,
ἐν σοὶ διημέρευσα κάμνων ἐν λόγοις,
τοὺς μὲν διορθῶν, τοὺς δὲ συντάττων πάλιν,
κρίνων μαθηταῖς καὶ διδασκάλοις ἔρις,
| *ἕτοιμος ὢν ἅπασιν εἰς ἀποκρίσεις,* 21[1]
καὶ προσιετηκὼς ταῖς γραφαῖς καὶ ταῖς βίβλοις.
ἐν σοὶ συνῆξα γνῶσιν ἐκ μαθημάτων,
ἐν σοὶ δὲ ταύτην τοῖς θέλουσι σκορπίσας,
πολλοὺς σοφοὺς ἔδειξα προῖκα τῶν νέων.
τούτοις ὅλον με, πατρική, θέλγεις, στέγη.
τούτοις με κάμπτεις καὶ κατακλᾷς, φιλτάτη.
λόγος δὲ νικᾷ πάντα καὶ θεοῦ πόθος·
τρίτον δ' ἀρίθμει τῆς τελευτῆς τὸν φόβον.
οἷς ὡς μύωψιν ἀθρόον πεπληγμένος,
ἄπειμι φεύγων ἔνθεν οὗ θεὸς φέρει,
ἄλλων πάροικος ἀντὶ τοῦ χθὲς δεσπότου,
προσήλυτός τις οἰκτρὸς ἀντ' ἐγχωρίου,
ἀνέστιός τε καὶ ξένης χρῄζων στέγης
ὁ τῆς ἑαυτοῦ μὴ φθονήσας τοῖς ξένοις.
ἐπεὶ δ' ἀπαίρειν καιρὸς εἰς ἀλλοτρίαν,
σὺ χαῖρε πολλά, χαῖρέ μοι σύ, γνησία,
ξένη δὲ μᾶλλον, ἔκ γε τῆς νῦν ἡμέρας.
ὅμως δὲ χαῖρε. χαῖρε, μῆτερ δευτέρα,

ἣ καὶ τιθηνήσασα καὶ θρέψασά με
καὶ πρὸς τέλειον μέτρον ἐξ ἔτι βρέφους
ἀπαρτίσασα καὶ καταρτίσασά με.
νῦν δ' ἄλλους ἕξεις οὓς παιδεύσεις καὶ θρέψεις.
ἄλλοις παρέξεις πρὸς λόγους εὐκαιρίαν,
| εἴπερ λόγους στέργουσιν, ἡμῖν δ' οὐκέτι. 21²
σῴζου δέ, σῴζου καὶ σύ, πιστὴ γωνία,
ἐν ᾗ λαθὼν ἔζησα τὸν πρὸ τοῦ βίον.
ὑμεῖς τε, χρηστοὶ γείτονες, σῴζοισθέ μοι,
καὶ τῷ μακρυσμῷ μὴ σκυθρωπάζοιτέ μου·
πάντων γὰρ ἡ χεὶρ τοῦ θεοῦ δεδραγμένη
ῥᾷον τίθησι καὶ τὰ μακρὰν πλησίον,
ἕως συνάξει πάντας εἰς κρίσιν μίαν.

47 Ephes 4, 13

49 C^m *ολοσπονδειος* per scripturae compendium *Studemund*

48. *Ὅτε τὴν οἰκίαν ἀπέλαβεν.*

Ἔχω πάλιν σε καὶ βλέπω τὴν φιλτάτην.
πλὴν οὐκέτι κλῆρόν σε πατρικὸν λέγω,
Χριστοῦ δὲ μᾶλλον δῶρον ἠγαπημένον
χάριν τε λαμπρὰν εὐσεβοῦς βασιλέως,
οἵ με γλυκεῖαν προστεθεικότες βίαν,
παλίντροπον στρέφουσιν αὖθις ἐνθάδε,
ὁ μέν, καθ' ὕπνους δεξιὰν θείαν νέμων
καὶ πρὸς τὰ τῇδε πολλάκις δοκῶν ἄγειν·
ὁ δέ, προδήλως τὴν ἀνάγκην προσφέρων
καὶ τῆς πατρῴας τὴν ἀνάκλησιν στέγης
σφοδρῶς ἀπαιτῶν ὡς ἀσύγγνωστον χρέος,
ἕως ἔπεισαν ἐγκατοικῆσαι πάλιν.
καὶ δὴ κατοικῶν ἐξ ὑπαρχῆς δευτέρας
οὐκ οἶδα μέχρι ποῖ τε καὶ πόσον χρόνον
νέος καλοῦμαι τῆς παλαιᾶς δεσπότης.
| καὶ θαῦμα τὴν ἄπιστον εὐκινησίαν, 22¹
ναὶ τὴν ἄπιστον! ἣν ἐκινήθην, ἔχω,
οὕτως θεοῦ στέφοντος οἷς οἶδε τρόποις
καὶ ποικίλως ἄγοντος ἡμῶν τὸν βίον,
εἰς ὃν πεποιθώς εἰμι καὶ θαρρεῖν ἔχω
ὡς καὶ τὸ λεῖπον εὐθετήσει τοῦ βίου,
τοῖς δεξιοῖς τούτοις με πρὸς σωτηρίαν
ὡς ἀσθενῆ τε καὶ μικρόψυχον φέρων·
τὸ καρτερεῖν γὰρ οὐκ ἐμὸν τἀναντία.
οὐκοῦν ἀποτρέποις γε ταῦτα, Χριστέ μου,
μόνοις δὲ τοῖσδε τὴν ἐμὴν ζωὴν ἄγοις,

16 de *απιστος* et *απειστος* PdeLagarde Symmicta I 18, 47

ὡς χρηστός, ὡς εὔσπλαγχνος, ὡς εὐεργέτης,
εἶτα πρὸς ἄλλον χειραγωγήσοις βίον
ἄλυπον, ἀστένακτον, ἔξω φροντίδων.
τίς γὰρ φόβος σοι τῷ κρατοῦντι τῶν ὅλων
ἓν πλάσμα σῶσαι δωρεὰν ἔργων δίχα;

49. *Εἰς τοὺς ἁγίους πατέρας ἱστορημένους, ἐν οἷς ἦν καὶ ὁ Θεοδώρητος.*

Ἀνιστορήσας τοὺς σοφοὺς διδασκάλους
καὶ τὸν Θεοδώρητον αὐτοῖς συγγράφω
ὡς ἄνδρα θεῖον, ὡς διδάσκαλον μέγαν,
ὡς ἀκράδαντον ὀρθοδοξίας στύλον.
εἰ δ' ἐκλονήθη μικρὸν ἔκ τινὸς τύχης,
ἄνθρωπος ἦν. ἄνθρωπε, μὴ κατακρίνῃς·
| οὐ γὰρ τοσοῦτον δυσσεβὴς ἦν ὁ κλόνος, 22[2]
ὅσον μετεῖχε τῆς ἐριστικῆς βίας.
τί γὰρ Κύριλλον πανταχοῦ νικᾶν ἔδει,
καὶ δογματιστὴν ὄντα καὶ λογογράφον;
ὅμως δὲ τοῦτο καὶ διώρθωται πάλιν.
τὰ δ' ἄλλα πάντα τῶν μεγίστων ποιμένων
βλέπων τὸν ἄνδρα μηδενὸς λελειμμένον
ἐνταῦθα τούτοις εἰκότως συνεγγράφω.

ο *θεοδωριτος* codex

ο legitur hoc carmen solum etiam in codice Vaticano-Palatino 214 chartaceo saec XVI miscellaneo in folio 203 verso, ubi inscribitur *»ἰωάννου εὐχαΐτων«*. huius codicis, quem V nominabo, discrepantes lectiones subscripsi. praecedunt in hoc codice Theodoreti scripta *Studemund* | 1 *ἐνιστορήσας* V | 2 *θεοδώρητον* an *θεοδώριτον* V, *Θεοδωριτον* codex 676 | 11 *τούτω* V | 14 in V subscriptum est: *μιχαῆλος ἀποστόλης βυζάντιος ἐξέγραψεν* *Studemund*

50. *Εἰς τὸ τυπικὸν τῆς Λαύρας.*

Δέδοικα μήπως θεσπίσας ἄλλοις τάδε,
αὐτὸς δὲ τούτων οὐδὲν ἐξειργασμένος
κατηγόρους εὕροιμι τοὺς ἐμοὺς νόμους.
ἀλλ' ὁ κριτής μου καὶ θεὸς καὶ δεσπότης,
μὴ τοῖς ἐμοῖς με, τοῖς δὲ σοῖς κρῖνον νόμοις·
οὐ τοὺς δικαίους — φεῦ γάρ· οἴχομαι τάλας —,
τοὺς συμπαθεῖς δὲ καὶ φιλανθρώπους λέγω,
οὓς προῖκα σῴζειν οἶδας ὡς εὐεργέτης.

51. *Εἰς τὸν διαρρήξαντα τὸ οἰκεῖον χειρόγραφον.*

Τὴν πάρδαλιν μὲν δυσμενῶς ἔχειν λόγος
πρὸς ὄψιν ἀνδρός, κἂν γεγραμμένην λάβοι,
εὐθὺς διασπᾶν καὶ γραφὴν μισουμένην.
οὗτος δ' ὁ δεινὸς τῆς Ἀραβίας λύκος
μορφὴν μὲν ἄλλην οὐ διέσπασε ξένην,
αὐτὸς δ' ἑαυτὸν ἔξανεν γεγραμμένον.
| ἓν οὖν τὸ λεῖπον· τὰς τομάς, θεία δίκη, 23[1]
ἃς ὁ γραφεὶς πέπονθεν, ὁ γράψας πάθοι.

e Busto carmen exscripsit AFabricius bibliothecae graecae VIII 309 Harless

4 Ambacum 1, 8

52. *Εἰς τὸ αὐτὸ χειρόγραφον, συγκολληθὲν πάλιν.*

Πιστευέτω πᾶς τῇ νεκρῶν ἀναστάσει.
ὀστᾶ πρὸς ὀστᾶ συντεθήσεται πάλιν,
καὶ πῆξιν αὖθις σωμάτων ἕξει λύσις,
ἐπεὶ τὰ λεπτὰ ταῦτα τῶν σπαραγμάτων
εἰς ἓν συνήφθη καὶ συνηρμόσθη πάλιν,
καὶ τὸν σπαράκτην θῆρα πᾶσι δεικνύει.

53. *Εἰς τὰς ἐγγράφους λοιδορίας τὰς κατὰ τοῦ βασιλέως καὶ τοῦ πατριάρχου.*

Ἄνθρωπε, ῥῖψον ἃ κρατεῖς τε καὶ βλέπεις·
δεινὸς γὰρ αὐτοῖς ἐγκάθηται σκορπίος,
ἰοῦ φέρων ὄλεθρον ἀνθρωποκτόνον.
τὸ κέντρον ἦρε· μή σε πλήξῃ καιρίαν.
καὶ πῶς γὰρ ἂν φείσαιτο τῶν ἐλαττόνων
ὃς οὐδὲ χριστοὺς εὐλαβεῖται κυρίου;
βάλλει βασιλεῖς, οὓς σέβονται καὶ λίθοι,
οὓς οἶδε τιμᾶν καὶ χορὸς τῶν ἀγγέλων,
ὧν ἡ περιττὴ καλλονὴ καὶ χρηστότης
καὶ θῆρας αὐτοὺς ἡμεροῖ τοὺς ἀγρίους.
βάλλει, τιτρώσκει πατριάρχας, ἀγγέλους,
ὧν δαίμονες φρίττουσι τὴν ἀυλίαν.
οἷς οὐδ' ὁ Μῶμος αὐτὸς ἂν μέμψαιτό τι.
| οὕτως ἀναιδής ἐστι καὶ φόνου πνέει. 23[2]
πλὴν τοῖς ἅπαξ παθοῦσι καὶ πεπληγόσι
θαυμαστός ἐστι τῆς ἰατρείας τρόπος·
εἰ γάρ τις αὐτὸν συλλαβὼν τέμοι μέσον,
ἐκεῖθεν ἕξει τοῦ κακοῦ θᾶττον λύσιν·
τὸν γὰρ βαλόντα καὶ βοηθεῖν τῷ πάθει
ἰατρικὸς λόγος τε καὶ παροιμία.
εἰ δὲ κρατήσας φείσεται τοῦ θηρίου,
ἄνθρωπον αὐτὸν οὐδαμῶς ἐγὼ λέγω,
θεὸν δὲ μᾶλλον καὶ θεοῦ καλῶ τύπον,
ὃς καὶ φονευταῖς οἶδε συγγνώμην νέμειν.

5 Paralip α 16. 22 = Psalm ρδ 15

20 Ed Leutsch corpus paroemiographorum graecorum II 763

54. *Ὅτε πρῶτον ἐγνωρίσθη τοῖς βασιλεῦσιν.*

Πάλαι μὲν ἦν μοι, δέσποτα στεφηφόρε,
ἄκουσμα φρικτὸν βασιλεὺς αὐτοκράτωρ,
γῆς καὶ θαλάσσης κύριος καὶ δεσπότης,
ἐξουσιαστὴς καὶ δυνάστης τοῦ βίου,
ὃν ἂν θέλοι κτείνων τε καὶ σῴζων πάλιν,
ὡς τῶν ἁπάντων τὸ κράτος κεκτημένος·

ἀφ' οὗ δὲ τῆς σῆς ἡμερωτάτης θέας
καὶ τῶν μελιχρῶν ἠξιώθην σου λόγων,
καὶ τὴν καλὴν ἔβλεψα τῶν ἠθῶν χάριν,
καὶ τοὺς πόθου γέμοντας ἔγνων σου τρόπους,
οὐκ ἔστιν εἰπεῖν ἡλίκος μοι καὶ πόσος
γλυκασμὸς ἐστάλαξεν εἰς τὴν καρδίαν.
| καί που με δεινὸς πρὸς τὸ πρᾶγμα νῦν ἔρως 24[1]
ἄφνω κατέσχε καὶ βιάζεται λέγειν
ὡς τερπνὸν οὐδὲν ἄλλο πλὴν βασιλέως,
ἀλλ' οὗτός ἐστι χρῆμα κάλλιστον μόνος
πάντων ἀκουσμάτων τε καὶ θεαμάτων.
οὕτως ἄρα, κράτιστε τῶν βασιλέων,
ἡ σὴ προσηνὴς καὶ φιλάνθρωπος θέα
ἔθελξεν, ἠλλοίωσεν, ἐξέστησέ με,
ἄλλα φρονεῖν ἔπεισεν ἀντὶ τῶν πάλαι,
ὅλως δὲ καινὸν ἐκ παλαιοῦ καὶ νέον
ἔδειξε, διπλοῦν ἔργον ἐξειργασμένη·
ὁμοῦ μὲν ἐπλήρωσεν ἡδονῆς ξένης,
ὁμοῦ δὲ λαμπρότητος ἐμπέπληκέ με·
ἄμφω γὰρ αὕτη τὰς ἐνεργείας φέρει,
λαμπηδόνος γέμουσα καὶ θυμηδίας.
καὶ Μωσέως μὲν τὸ πρόσωπον (ὡς λόγος)
ἐδόξασε πρὶν ἡ θεοῦ θεωρία,
ὡς καὶ κάλυμμα τὸν θεόπτην λαμβάνειν,
ἐπειδὰν αὐτὸν προσλαλεῖν ἄλλοις ἔδει·
οὐ γὰρ φορητὴν εἶχε τὴν αὐτοῦ θέαν,
εἰ μὴ καλυφθεὶς ἦλθεν εἰς ὁμιλίαν·
ἐμοὶ δὲ σύ, κράτιστε τῶν βασιλέων,
εἰς ὄψιν ἐλθὼν καὶ θεαθεὶς μετρίως
οὐ τὸ πρόσωπον οὐδὲ τὴν ὄψιν μόνον,
| ὅλον δὲ δόξης ἐμπέπληκας αὐτίκα. 24[2]
καίτοι μέγαν σε τῶν καθ' ἡμᾶς δεσπότην
ᾔδειν πρὸ τούτου καὶ θεοῦ θεῖον τύπον,
καλῶς στρέφοντα τοῦ κράτους τὰς ἡνίας
καὶ σὺν θεῷ σῴζοντα τὴν οἰκουμένην,
θεὸν δέ, πανσέβαστε, καὶ πλάστην νέον
ἢ δημιουργὸν ἄλλον οὐκ ἠπιστάμην.
νῦν δ' ὀψὲ μὲν νοῦν, ἀλλ' ὅμως ἐκτησάμην,
καὶ πρᾶγμα, θαῦμα, θαῦμα θαυμάτων πέρα,
εἰς δεῦρο λανθάνον με, μανθάνω μόλις.
σὺ γὰρ θεός τις (ὡς ἔοικε) τὴν φύσιν.

28 Exod 34, 29 seqq

45 περας Lagarde?

ἢ πῶς νεουργεῖς (εἰπέ) τοὺς κατ᾽ εἰκόνα,
καὶ ῥᾷστα πλάττεις καὶ μεταπλάττεις πάλιν,
γνώμας ἀμείβων, καὶ μεθαρμόζων τρόπους,
τρέπων λογισμούς, καὶ μεθιστῶν καρδίας,
ἄγων, φέρων, στρέφων τε πάντα ῥᾳδίως
ἐκ φθέγματός τε καὶ θέας τῆς σῆς μόνης;
καὶ τοὺς μὲν ἄλλους οὐ τοσοῦτον θαυμάσω,
οὓς ταῦτα ποιεῖς ἐν βραχεῖ καὶ συντόμως,
οὐκ ἀπροθύμους ὄντας οὐδ᾽ αὐτοὺς ἴσως·
ἡμᾶς δὲ πῶς ἤμειψας οὕτως ἀθρόον;
ἢ πῶς τοσοῦτον ἴσχυσε βραχὺς χρόνος;
ἅπαξ προσωμίλησας ἡμῖν ἐγγύθεν,
ἅπαξ προσεῖδες, μικρὸν ἀντώφθης πάλιν·
| ἀπῆλθες εὐθὺς συμμεθαρμόσας ὅλους· 25[1]
καινὴν γὰρ ἐντέθεικας ἡμῖν καρδίαν,
καὶ πνεῦμα καινὸν ἔκτισας τοῖς ἐγκάτοις.
ἄγροικος ἦν χθές, ἀστικὸς δὲ νῦν μάλα·
κάτω νενευκώς, ἀλλὰ νῦν ἄνω βλέπων·
ἄθυμος, ἀλλ᾽ εὔθυμος, ἡδονῆς γέμων·
μικρός, κατηφής, νῦν δὲ λαμπρὸς καὶ μέγας·
καὶ ταῦτα μηδὲν εἰς τροπὴν φέρον πάθος
παθεῖν ἀπ᾽ ἀρχῆς εὖ παρεσκευασμένος.
ὡς ἄν τι δώσω δεῖγμα τοῦ νέου πάθους,
ἄτυφος ὢν πρίν, νῦν δὲ κομπάζων τάδε,
οὕτω με παντάπασιν ἐξ ἄλλου τέως
ἔδειξεν ἄλλον ἡ παναλκής σου χάρις·
μικρὸν γὰρ αὕτη μικρὸν ἐλλάμψασά μοι,
εἶτα κρυβεῖσα θᾶττον ἐκ τῶν ὀμμάτων
ὡς ἀστραπῆς τις ὀξύτης καὶ λαμπρότης,
ὅμως κατεκράτησεν ἡμῶν εἰς τέλος,
καὶ τὴν καλὴν ἄμειψιν ἐξήμειψέ με.
τί δ᾽ ἂν πάθοι τις, εἰ πάλιν τούτου τύχοι,
καὶ τῆς ὁμοίας δεύτερον τύχοι θέας,
ὡς ἡ κέλευσις βούλεται τοῦ δεσπότου;
ἢ δῆλον ὡς ἄνθρωπος οὐ δόξειέ τις,
ἀλλ᾽ ἄγγελός τις, ἢ θεὸς παραυτίκα,
ὅλος θεωθεὶς τῇ θεοῦ κοινωνίᾳ.
| πειράσομαι δὴ καὶ πάλιν καὶ πολλάκις 25[2]
σοί τε προσελθεῖν καὶ τυχεῖν ὁμιλίας,
εἴ πως λάβοιμι τήνδε τὴν εὐκληρίαν.
ἀλλ᾽ ἓν δέδοικα (καὶ τὸ σὸν θεῖον κράτος

48 Genesis 1, 26

63 Psalm ν 12?

65 ἄνθρωπον se redditum gloriatur cum imperatore coram collocutum: Plato Cratyl 399 contra GCurtium[5] 307, de cuius ὄρωψ videatur PdeLagarde Symmictorum II 222 (cf 128)

82 vide quae ad 63 adscripsi

αἰτῶ βοηθὸν προσλαβεῖν εἰς τὸν φόβον),
μή που με δεινὸν ὄμμα Γοργοῦς ἀγρίας
πρὸ τῆς πύλης βλέψειεν ἠγριωμένα,
μὴ Κέρβερός τις ἐξυλακτήσοι μέγα,
μηδὲ Βριμώ τις ἐμβριμωμένη δάκοι·
καὶ πῶς γὰρ οἴσω δήγματος πληγὴν μίαν,
ἄνθρωπος ἰσχνόσαρκος ἐκτετηγμένος;
ἐγὼ δὲ δειλός εἰμι καὶ πρὸς ἄλλο τι.
λειτουργικῶν γὰρ πνευμάτων ὄψεις τρέμω, 97 Hebr 1, 14
καὶ τῶν πτερωτῶν ἀγγέλων σου τὴν θέαν·
ψυχὰς γὰρ ἁρπάζουσιν ἐκ τῶν σωμάτων.
ἐξ ὧν με ῥῦσαι, ψυχοσῶστα προστάτα,
καὶ μήτε τούτων ἐκταραξάτω μέ τι,
μηδ' ἄλλο μηδὲν προσβάλοι τῶν φασμάτων
ἢ τῶν φοβήτρων τῶν πρὸ τῶν προαυλίων.
ἐπὰν δὲ ταῦτα σὺν θεῷ διαδράσω,
καί που γένωμαι πλησίον τοῦ σοῦ θρόνου,
μηδὲν Χερουβεὶμ ῥομφαίαν πυρὸς φέρον 106 Genesis 3, 24
κατὰ στόμα τρώσοι με καὶ φλέξοι πάλιν,
ἀλλ' ὥσπερ αὐτὸς ἥμερον πλουτεῖς φύσιν,
| καὶ τὴν ὁδόν μοι πᾶσαν ἥμερον δίδου. 26[1]
ὡς εἴ γε ταύτην ἀσφαλῶς διαδράμω,
ὅρμος τις ἡδὺς τἄλλα πάντα καὶ φίλος,
τῆς σῆς γαληνότητος ἐμπεπλησμένα. 112 sic
τὰ νῦν δὲ Χριστόν, πιστὲ Χριστὲ κυρίου,
ἔχοις σύνοικον καὶ συνεργὸν τοῦ κράτους,
τὸν καὶ βασιλεύσαντα καὶ στέψαντά σε
καὶ συμβασιλεύοντα καὶ σκέποντά σε·
οὗτος γὰρ ὥσπερ τοῖς τρισὶν νεανίαις 117 Daniel 3, 25
συνῆν τέταρτος ἐν μέσῳ φλογὸς πάλαι,
οὕτω πάλιν τέταρτος ἔστω κἀνθάδε
δροσισμὸς ὑμῖν ἐν βασιλείοις μέσοις·
τὸν ἥλιον σὲ πρῶτα σῴζων, καὶ νέμων
ζωὴν ἄλυπον, εὐτυχῆ, νικηφόρον
καλοῖς τε τοῖς σύμπασιν εὐθηνουμένην·
ἔπειτα ταύτην τὴν σελήνην τοῦ κράτους,
τὴν κοσμολαμπῆ καὶ διαπρεπεστάτην,
τὴν οὐδὲν ἄλλο πλὴν ὃ κέκληται μόνον — 127 Michaelis quarti uxor Zoe Muralt 611 | 128 Theodora Muralt 603
ζωὴ γὰρ ὄντως ἡ Ζωὴ τοῦ νῦν βίου —·
τρίτην δέ μοι σύνταττε καὶ τὴν δευτέραν,
τὸ φαιδρὸν ἄστρον τοῦ πανολβίου στέφους,

ἢ τὴν ἐκείνης αὐταδέλφην ἀξίαν,
ὃ παντὸς ἄλλου μεῖζον εἰς εὐδοξίαν.
ὁ Χριστὸς οὖν τέταρτος ὑμῖν ἐν μέσῳ
|ἀεὶ παρέστω καὶ πρὸς ἀλλήλους μίαν 26[2]
σύμπνοιαν ἐργάζοιτο καὶ συμψυχίαν,
διδοὺς ἅπασι μακρὸν ἐνθάδε χρόνον,
δόξαν δ' ἐκεῖθεν τὴν ἑαυτοῦ προσνέμων
καὶ τὸ στέφος, κράτιστε, τῆς ἀφθαρσίας.

55. *Εἰς τὰς δεσποίνας.*

Δισσαῖς ἀνάσσαις αὐταδέλφαις Αὐγούσταις
δώρημα κοινὸν ἐξ ἑνὸς δούλου τόδε.
εἶς τὴν ἐμὴν δέσποιναν οὐ χωρεῖ τόπος,
ἀλλ' ἡ κατ' αὐτὴν δόξα καὶ τὸ νῦν κλέος
ἅπασαν ἐπλήρωσε τὴν οἰκουμένην,
καὶ πανταχοῦ φαίνει τε καὶ λάμπει πλέον
τῆς κοσμολαμποῦς πανσελήνου λαμπάδος·
ὥστε πρόδηλος πᾶσιν ἡ ταύτης χάρις,
κἂν ἔνδον αὐτὴ τῶν ἀνακτόρων μένῃ.
ἀλλ' ὦ μεγίστη κυρία τοῦ νῦν γένους
(πρὸς γὰρ σὲ τρέψω τὸν βραχὺν τοῦτον λόγον,
κἂν μὴ βλέπειν ἔχω σε, πῶς δέχῃ τάδε),
ὦ τῶν τοσούτων ἐκγόνη βασιλέων
ὅσους ἀριθμεῖν οὐκ ἔνεστι ῥᾳδίως,
τὸ σκῆπτρον ἡμῶν, ἡ πρόνοια, τὸ κράτος,
τῆς εὐγενείας λείψανον, τῆς πορφύρας
κάλλιστον ἄνθος, χρῶμα τῆς ἁλουργίδος,
ὀφθαλμὲ κόσμου, πλοῦτε, δόξα, λαμπρότης,
|πᾶν, εἴ τι τερπνὸν ἄλλο τῶν τιμωμένων, 27[1]
ὦ τῶν καθ' ἡμᾶς πραγμάτων σωτηρία,
ζωή τε τοῦ σύμπαντος εὐτυχεστάτη,
οὕτω πλατύνου γῆς ἀπ' ἄκρων εἰς ἄκρα,
φαίνουσα πᾶσιν, ἐγγύθεν καὶ μακρόθεν·
οὕτως ὁρωμένη τε καὶ κεκρυμμένη
πλήρου τὰ πάντα φωτὸς ἀκραιφνεστάτου·
οὕτω δὲ πυκνὰς πέμπε τὰς λαμπηδόνας,
ἔχουσα συλλάμπουσαν ἐκ τοῦ πλησίον
ἄλλην σεαυτήν, τὴν ἐμὴν μὲν δεσπότιν,
σὴν δ' αὐταδέλφην γνησίαν καὶ φιλτάτην,
ᾗ συμμετέσχες καὶ γένους καὶ τοῦ στέφους,
ᾗ συμμερίζῃ τοῦ κράτους τὰς ἡνίας.

3 εἰς codex

12 δέχηι ut videtur, sed iota litura deletum *Studemund*

ἐπεύχομαι δέ, πλεῖστον ἐνταῦθα χρόνον
ὑμῖν δοθῆναι καὶ τὸ συγχαίρειν ἅμα.
καὶ δὴ συνευφραίνοισθε, καὶ βλέποιτέ μοι
καὶ τὸν φαεινὸν ἥλιον καὶ φωσφόρον,
τὸ κοσμικὸν φῶς, τὴν γαλήνην τοῦ βίου,
ἔαρ τὸ φαιδρόν, τῆς χαρᾶς τὴν ἡμέραν,
τὸν εὐγενῆ μέν, εὐτυχῆ δὲ δεσπότην,
τὸν εὐτυχῆ μέν, εὐσεβῆ δὲ τὸ πλέον,
τῆς γῆς τὸ θαῦμα, τὸν μέγαν Μονομάχον,
ὃν ἡ πρόνοια κοσμικῶν κακῶν λύσιν
ἔδειξεν ἡμῖν καὶ καλῶν πάντων βρύσιν,
| οὕτως ἄλυπον ἐκπεράσαι τὸν βίον. 27[2]
ἔχοιτε τοῦτον λύχνον ἄλλον ἐν μέσῳ,
ἄσβεστον ἐκπέμποντα λαμπαδουχίαν,
πρὸς ὃν βλέπουσαι νύκτα καὶ μεθ' ἡμέραν,
ὁμοῦ τε συντέρποισθε, καὶ σῴζοισθέ μοι.

35 φανεινον apographum
43 ἐκπερῶσαι apographum

56. Ἐν τῇ μνήμῃ τῶν ἁγίων Σεργίου καὶ Βάκχου, ὅτε καὶ δῶρα ἔπεμψεν.

o Nilles kalendarium manuale 298

Οἱ γειτονοῦντες μάρτυρες τοῖς δεσπόταις
ὡς γείτονας στέργουσι τοὺς ἐν γειτόνων,
φιλοβασιλεῖς ἐκ μακρῶν ὄντες χρόνων,
καὶ συμφορὰς ἔλυσαν αὐτοῖς πολλάκις,
ἀφαρπάσαντες ἐξ ὀλέθρων ἐσχάτων·
ἐφ' οἷς παρ' αὐτῶν εὗρον ἀντιμισθίαν
τὸν πανσέβαστον τοῦτον οἶκον ἐνθάδε,
ὃς εὐπρεπὴς μὲν ἐστὶ δόξα τῷ κράτει,
πόλει δὲ κόσμος, τοῖς δ' ἀνακτόροις φύλαξ.
τοῦτον βασιλεῖς δεξιοῦνται πλουσίως·
τοῦτον σέβουσιν οἱ σεβαστοὶ δεσπόται,
ἄλλος παρ' ἄλλου τὸν τύπον δεδεγμένοι,
καὶ τὴν ἀμοιβὴν τῶν ἐπ' αὐτοῖς θαυμάτων
τοῖς μάρτυσιν νέμοντες ἐκ τοῦ πλησίον.
οὗτοι φιλοῦντες ἔκπαλαι τοὺς τοῦ κράτους,
μᾶλλον φιλοῦσι τοὺς καθ' ἡμᾶς δεσπότας
ὡς εὐσεβεστέρους τε καὶ σοφωτέρους·
| σοφώτεροι γὰρ εἰσὶν οἱ πρὸς ἀξίαν 28[1]
τὰ θεῖα τιμᾶν εἰδότες πάντων πλέον.
οὗτοι κατευθύνουσιν αὐτῶν τὸ κράτος,
αἴγλῃ περιστέφοντες εὐτυχημάτων·
οὗτοι κατ' ἐχθρῶν συμμαχοῦσι τοῖς φίλοις,
καὶ προσφιλεῖς τιθοῦσι τοῖς ὑπηκόοις,

πᾶσι προσηνεῖς, πᾶσιν ἠγαπημένους·
οὗτοι δὲ καὶ νῦν, οἷάπερ φίλοι φίλοις,
γνωρίσματα στέλλουσιν εὐνοίας τάδε,
καὶ τοῦτον αὐτοῖς μηνύουσι τὸν τρόπον
ἤδη παροῦσαν τὴν ἑαυτῶν ἡμέραν, 28 Octobris
καθ' ἣν θανόντες εὐκλεῶς οἱ γεννάδαι, dies septimus
δόξῃ κατεστέφθησαν ὡς νικηφόροι,
καὶ συγκαλοῦσιν εἰς μίαν θυμηδίαν,
οὓς ἐξ ἔθους ἔχουσι τιμᾶν γνησίως,
ὡς ἂν συνευφραίνοιντο τοῖς στεφηφόροις
κοινῶς ἑορτάζοντες οἱ στεφηφόροι.
πείθεσθε τοίνυν, ὦ φαεινοὶ δεσπόται,
καὶ τῆς χαρᾶς δέχεσθε τὴν κοινωνίαν.
ἐνταῦθα μὲν νῦν ὡς φίλοι καὶ πλησίον,
ἐν οὐρανοῖς δὲ μικρὸν ὕστερον πάλιν,
ὅταν λαβόντες ἄλλο βέλτιον στέφος,
τούτοις τε συγχαίροιτε καὶ τοῖς ἀγγέλοις.

57. *Εἰς τὴν ἐν Εὐχαΐτοις εἰκόνα τοῦ βασιλέως.*
| *Καὶ τὸν κραταιὸν δεσπότην Κωνσταντῖνον,* 28²
τῆς γῆς τὸ θαῦμα, τὸν μέγαν Μονομάχον,
ἐνταῦθα πρᾶξις εὐσεβὴς ἀναγράφει·
τὰς δωρεὰς γὰρ τῶν πρὸ τοῦ βασιλέων
σάλον παθούσας ἐξ ἐπηρείας μέγαν
χρυσῆς ὑπεστήριξε κίονος βάσει,
τὸν χρυσόβουλλον ἀνταναστήσας λόγον
ὡς ἀντέρεισμα καρτερὸν πρὸς τὴν βίαν,
δι' οὗ τὸ μέλλον ἀσφαλέστερον νέμει
τῇ μάρτυρος πόλει τε καὶ παροικίᾳ· 10 Nilles 96
ὅθεν δίκαιον ἀντιλαμβάνει γέρας,
εἰς τοὺς καθ' ἡμᾶς ἐγγραφεὶς εὐεργέτας.

58. *Εἰς τὴν θήκην τοῦ τιμίου ξύλου τοῦ βασιλέως.*
Σταυροῦ πάλιν φῶς, καὶ πάλιν Κωνσταντῖνος.
ὁ πρῶτος εἶδε τὸν τύπον δι' ἀστέρων,
ὁ δεύτερος δὲ τοῦτον αὐτὸν καὶ βλέπει,
καὶ χερσὶ πισταῖς προσκυνούμενον φέρει.
ἄμφω παρ' αὐτοῦ τὸ κράτος δεδεγμένοι,
ἄμφω σέβουσιν αὐτὸν ὡς εὐεργέτην.

59. *Εἰς τὸν ἅγιον Θεοφύλακτον.*

Θεὸς φύλαξ σοι· τοῦτο γὰρ κλῆσιν φέρεις.
ἐμοὶ δὲ καὶ σὺ σὺν θεῷ φύλαξ, πάτερ,
σῴζων ἀσινῶς, ἀσφαλῶς διεξάγων
καὶ τὴν ζάλης γέμουσαν ἡμερῶν νόσον,
|ἣν εἰς τέλος πράϋνον εὐχῶν φαρμάκοις, 29[1]
καὶ πάντα μοι σύμπραττε πρὸς τὸ συμφέρον,
ἔργοις βεβαιῶν τὴν ἐπώνυμον χάριν,
ἐφ' ἣν πεποιθώς, ἱστορῶ σε καὶ γράφω.

60. *Αἴνιγμα εἰς πλοῖον, ὡς ἐξ ἑτέρου.*

Ζῷόν τι πεζόν· ἀλλὰ νηκτὸν εὑρέθη.
ἔμψυχον· ἀλλ' ἄψυχον. ἔμπνουν· ἀλλ' ἄπνουν.
ἕρπον, βαδίζον, καὶ πτεροῖς κεχρημένον.
ἄκουε καὶ θαύμαζε, καὶ δίδου λύσιν.

61. *Εἰς τὸν τὸ αὐτὸ δι' ἑτέρων ὡς ἕτερόν τι προβαλόντα.*

Ἐδεξάμην σε καινὸν οὐ φέροντά τι·
οὐ πρόσφατος γὰρ ὥσπερ αὐχεῖς, ἀλλ' ὅλος
ἕωλος, ἐξίτηλος ἐν λόγοις πάρει,
νηὸς λυθείσης τῷ χρόνῳ, σαπρὰ ξύλα
ὡς ναυαγός τις συλλέγων τε καὶ λέγων.
ἄνθρωπ', ἄπελθε. τὴν σκάφην ἀνατρέπεις·
φθείρειν γὰρ αὐτὴν μᾶλλον ἢ σῴζειν ἔφυς,
κάκιστα πηγνύς, ῥᾳδίως δ' ὅμως λύων,
ἢ — μᾶλλον εἰπεῖν — συνδιασπῶν τῷ χρόνῳ·
οὕτω σέσηπεν ἡ σοφή σου Πυθία.
χρησμὸς δὲ καινὸς οὐδαμῶς, κενὸς δ' ὅμως.
ἥρως δὲ δόξας, λῆρος εὑρέθης μόνον.

62. *Εἰς τὸ δεσποτικὸν αἷμα.*

|Ἐν οὐρανοῖς μὲν προσκυνητὰς ἀγγέλους 29[2]
ἔδει τὸ λύτρον τῆς ἐμῆς ψυχῆς ἔχειν,
ἀλλ' ἦν ἄμεινον τὸν δι' ὃν παρεσχέθη
τοῦτον τὸ δῶρον προσκυνεῖν ἐν γῇ κάτω.
ὅμως δὲ τοῦτο προσκυνοῦσι καὶ νόες,
ἐνταῦθα σεπτῶς νῦν τεθησαυρισμένον·
πρέπει γὰρ αὐτοὺς αἷμα τιμᾶν δεσπότου,
εἰς ἓν δι' αὐτοῦ τοῖς βροτοῖς συνημμένους.

63. *Εἰς τὴν θεοτόκον, ὡς ἐν ὕπνῳ ἀπεκαλύφθη.*

Οὐκ ἦν καθεύδειν τὴν φιλάνθρωπον κόρην,

τῶν εὐσεβούντων ἀγρυπνούντων ἐν φόβοις,
οὐδὲ προδοῦναι τοῦ κράτους τὰς ἡνίας
εἰς χεῖρας ἐχθράς, δουλικὰς καὶ βαρβάρους.
ἀλλ' εἰς δύσιν σπεύδουσα καὶ πρὸς τὴν ἕω
τῷ γῆς κρατοῦντι συμμαχεῖ στεφηφόρῳ,
εὔζωνον οὕτω τὸν δρόμον ποιουμένη.
καὶ μαρτυροῦσιν οὓς ἀφυπνίζει φίλους.

64. *Εἰς τὴν αὐτήν.*

Δραμοῦσα τὸ πρὶν ἐξ ἑῴας εἰς δύσιν,
καὶ σὺν δίκῃ κτείνασα τὸν μιαιφόνον,
πρὸς τὴν ἑαυτῆς αὖθις ἐκτρέχει πόλιν
ἡ παντάνασσα, καὶ τροποῦται βαρβάρους,
νίκην ἀεὶ νέμουσα τῷ στεφηφόρῳ,
ὅθεν παριστᾷ καὶ γραφεῖσα τὸν δρόμον.

|**65.** *Εἰς τοὺς δύο ἁγίους Θεοδώρους.* 30[1] o Nilles 96

Ὡς ἀγχίνους ἦν ὁ γραφεὺς τῶν εἰκόνων·
διπλοῦς γὰρ αὐτός, πνεῦμα σάρξ τε, τυγχάνων,
διττοὺς ἑαυτῷ τοὺς ὑπερμάχους γράφει,
τῷ μὲν τὸ σῶμα, τῷ δὲ τὴν ψυχὴν νέμων.

66. *Εἰς τινὰ τιμηθέντα ἐξαίφνης.*

Μυστογράφος χθὲς εὐγενὴς νεανίας,
καὶ σήμερον πάρεστιν ἐξάκτωρ νέος.
τὸ μὲν παρῆλθεν, ἄλλο δ' ἦλθεν ἀθρόον.
καὶ τοῦτο δ' αὖθις μακρὸν οὐ μενεῖ χρόνον.
ἀπῆλθεν ἡ χθές, ἡ δ' ἐνεστῶσα τρέχει.
καὶ τὴν παροῦσαν αὔριον χθές τις φράσει;
κἀνταῦθα τοίνυν νῦν μὲν ἐξάκτωρ φίλος,
δείξει δὲ τοῦτον ἄλλο τι χρόνος τάχα.
ταῖς κλήσεσιν δ' ἔπειτα συγκατασβέσει·
τοιοῦτόν ἐστι πᾶν τὸ θνητὸν καὶ ῥέον —
σκιὰ κρατούσαις χερσὶν οὐ κρατουμένη.
τίς οὖν παρατρέχοντα ῥοῦν παραδράμοι;

67. *Εἰς τάφον.*

Κοινὸς τριῶν εἷς φιλτάτων οὗτος τάφος.
μηδεὶς δὲ καὶ τέταρτον ἄλλον ἐμβάλοι·
ἕξει γὰρ οὗτος, ὅς τις ὢν που καὶ τύχοι,
τόλμης ἀμοιβὴν τὴν θεοῦ φρικτὴν δίκην.

68. *Εἰς σχέδος.*

| *Τεσσαράκοντα συμμάχους θείους ἔχω,* 30[2]
τεσσαράκοντα φράσσομαι παραστάταις·
τίς πρὸς τοσούτους χεῖρας ὁπλίτας ἄροι;
τίς πρὸς φάλαγγα μαρτύρων στήσοι μάχην;
ὅρα, σχιδευτά, πρὸς τίνας μοι συμπλέκῃ,
πόσῳ στρατῷ δὲ συμβαλεῖν τολμᾷς μάχην.

1 martyres Sebasteni Lagarde Orientalia I 5 Potthast 810

69. *Εἰς τὸ λοῦμα τῶν Βλαχερνῶν.*

Ἔβλυζε καὶ πρὶν νᾶμα τῷ λαῷ πέτρα·
Χριστὸν δὲ ταύτην μυστικοί φασιν λόγοι,
ὃς καὶ ποτίζει νέκταρ εἰς ἀφθαρσίαν.
μήτηρ δὲ Χριστοῦ δευτέρα πάλιν πέτρα·
ζηλοῖ τὸν υἱόν, καὶ ῥέει ζωῆς ὕδωρ.
πάντες δέχεσθε συντρέχοντες τὴν χάριν.

2 Corinth α 10, 4

70. *Εἰς τὴν διὰ κινναβάρεως χαραγὴν τῶν σχεδῶν.*

Ἡ δεσπότου χεὶρ τοῦ σοφοῦ Μονομάχου
ἀληθινὸν νοῦν ἐντίθησι τοῖς νέοις,
ἄνθει καταχρώζουσα πορφυροχρόῳ
βασιλικῆς γνώρισμα λαμπρὸν ἀξίας.

0 FDelitzsch handschriftliche Funde II 58—61 ZDMG XVII 673—681

71. *Εἰς τὸ βιβλίον τῆς διακονίας τοῦ τροπαιοφόρου.*

Πιστὸς βασιλεύς, εὐσεβὴς αὐτοκράτωρ,
σεβαστὸς ὀρθόδοξος ὁ Μονομάχος·
τὸ πρὸς σὲ φίλτρον οἷον ἐν ψυχῇ φέρω,
ἔργοις ἔδειξα, λαμπρὲ τροπαιοφόρε,
ἅπαντα ταῦτα σὴν ἀπαρτίσας χάριν
| *ὧν ἡ γραφὴ δείκνυσιν αὕτη τοὺς τύπους,* 31[1]
ἐμοὶ πρὸ πάντων μαρτυροῦσα τὸν πόθον
ἔπειτα ταῖς σαῖς πανσεβάστοις Αὐγούσταις.

72. *Εἰς τὸ αὐτό.*

Ἄλλων βασιλεύς, σὸς δὲ πιστὸς οἰκέτης,
ὁ τὸ κράτος σαῖς ἐκ θεοῦ λιταῖς ἔχων.
ἀδελφὸν οὖν δίδωμι τοῖς ὑπηκόοις
χαίρων ἐμαυτὸν εἰς τὸ σοὶ δόξαν φέρειν,
καὶ τὰς Αὐγούστας ὡς συνεργοὺς λαμβάνω
πρὸς τὴν ἴσην πρᾶξίν τε καὶ λειτουργίαν.
ἀλλ' ἀντίδος, μέγιστε τροπαιοφόρε,
ἅπασιν ἡμῖν τὴν ἄνω σκηπτουχίαν.

73. *Ἀμοιβαῖοι εἰς τὸν ἀσώματον.*

Τίς τὴν ἄμορφον ἐξεμόρφωσε[ν] φύσιν;
ἡ δοξάσασα τὸ στέφος Θεοδώρα.
καὶ πῶς ἀνιστόρησεν ἄγνωστον θέαν;
πίστις κατορθοῖ πάντα ταῦτα ῥᾳδίως.
ποῖον δὲ μισθὸν ἡ πανευσεβὴς θέλει;
ποθεῖ πρὸ πάντων ψυχικὴν σωτηρίαν.
ἀρχιστράτηγε, σπεῦδε, πλήρου τὸν πόθον.
ἡ πίστις αὐτῇ προξενήσει καὶ τόδε.

74. *Ἄλλοι εἰς τὸν αὐτόν.*

Ἔχουσα θερμὸν προστάτην ἐνταῦθά σε
ἡ πανσέβαστος Αὐγούστα Θεοδώρα,
| ἐκεῖ πλέον σε προστατεῖν αὐτῆς θέλει, 31[2]
ἀρχιστράτηγε τῶν ἄνω στρατευμάτων,
ὅταν βασιλεὺς οὐρανῶν κρίνων κάτω
τοὺς γῆς βασιλεῖς εἰς κρίσιν φρικτὴν ἄγῃ.
ὅθεν παρ' αὐτῆς νῦν λαβὼν δῶρον τόδε,
θερμῶς τότε πρόστηθι τῆς δωρουμένης.

75. *Εἰς δέησιν ὑπὸ τοὺς πόδας τοῦ Χριστοῦ κειμένου τοῦ βασιλέως. ὡς ἐκ τοῦ βασιλέως.*

o *κειμένου* compendio syllabarum secundae et tertiae scriptum *Studemund*

Σὺ δεσπότην με τῶν σεαυτοῦ κτισμάτων
καὶ τῶν ἐμῶν ἄρχοντα συνδούλων ἔθου.
ἐγὼ δὲ δοῦλος εὑρεθεὶς ἁμαρτίας,
τὰς μάστιγάς σου, δέσποτα κριτά, τρέμω.

76. *Ὡς ἐκ τῆς θεοτόκου.*

Μήτηρ σε, τέκνον, ἱκετεύει παρθένος·
σὸν οὗτος ἔργον, κἄν τι προσκέκρουκέ σοι,
σὸν πλάσμα, σὸν ποίημα· σοῦ πλὴν οὐδένα
θεὸν γινώσκει. δὸς σὺ τὴν σωτηρίαν.

77. *Ὡς ἐκ τοῦ προδρόμου.*

Ἄνθρωπος ἦν, εὔσπλαγχνε· συγγνώμην ἔχε·
ζῷον μὲν εὐόλισθον εἰς ἁμαρτίαν,
ὅμως δὲ τὴν σὴν πίστιν οὐκ ἠρνημένον.
ἡ πίστις αὐτόν, μακρόθυμε, σῳσάτω.

4 Matthaeus 9, 22

78. *Ὡς ἐκ τοῦ Χριστοῦ.*

Αἰδώς τε μητρὸς καὶ παράκλησις φίλου

| κάμπουσιν οὐκ ἄκοντα καὶ πείθουσί με. 32[1]
ὦ πιστὲ δοῦλε, τὴν χάριν τούτοις νέμων,
εἰς τὴν χαρὰν εἴσελθε τοῦ σοῦ κυρίου.

4 Matthaeus 25, 23

79. *Ἄλλοι εἰς τὸν σωτῆρα ὡς ἐκ τοῦ βασιλέως.*

Τῶν ἀστάτων μὲν οὐδὲν αἰτήσαντί μοι
ὅμως δέδωκας πάντα, δημιουργέ μου.
ζωὴν δὲ τὴν μένουσαν ἐξαιτουμένῳ
μᾶλλον παρακλήθητι, καὶ δὸς τὴν χάριν.

1 Regnorum γ 3, 11

80. *Εἰς τὴν ἐν τῷ Σωσθενίῳ εἰκόνα.*

Σὴ χεὶρ κραταιὰ τοὺς κραταιοὺς δεσπότας
ἔστεψε, Χριστέ, καὶ παρέσχε τὸ κράτος·
σὴ χρηστότης θάλασσαν οὐ κενουμένην
ἔδειξεν αὐτοὺς πλουσίων χαρισμάτων.
ὧν ἀφθόνως ἅπασα γῆ πληρουμένη,
σοὶ τῷ βραβευτῇ τοῦ κράτους δόξαν φέρει,
σὲ τὸν συνεργὸν ἱκετεύει τοῦ κράτους
ἀεὶ παρεῖναι, συμμαχεῖν, ἐνισχύειν,
ζωὴν χορηγεῖν καὶ χαρὰν τοῖς δεσπόταις.
μάρτυς δὲ τούτων ἡ γραφὴ τῆς εἰκόνος.
οἱ γὰρ μονασταὶ τῆς μονῆς τῆς τιμίας
τοῦ Σωσθενίου τοῦδε τοῦ πρωταγγέλου,
πολλῶν τυχόντες δωρεῶν καὶ πλουσίων,
ταύτην ἀμοιβὴν τοῖς καλοῖς εὐεργέταις
ἀντεισφέρουσιν, ἱστοροῦντες εὐτέχνως
| σέ, Χριστέ μου, στέφοντα τούτους ἐνθάδε. 32[2]

81. *Εἰς τὸν τοῦ βασιλέως τάφον ἐπιτύμβιοι.*

Ὄναρ τὰ θνητὰ πάντα καὶ ματαιότης,
εὔκλεια, δόξα, πλοῦτος, αὐτὸ τὸ κράτος·
ὁ γὰρ πρὸ μικροῦ βασιλεὺς κεκλημένος,
ὁ γῆς ἀκούων κύριος καὶ δεσπότης
καὶ ζῶν μὲν ἄλλον εἶχε μείζω δεσπότην,
καὶ νῦν τεθνηκὼς ὡς κριτὴν τοῦτον μένει,
λόγους ἀπαιτήσοντα τῶν πεπραγμένων.
τέως δὲ νεκρός ἐστι καὶ κωφὴ κόνις,
ἄφωνος, ἄπνους, χοῦς μόνον λελυμένος.
ἡ πρὶν δὲ δόξα καὶ τὸ τοῦ θρόνου κράτος,
τὰ σκῆπτρα, τὰ τρόπαια, τὸ στέφους κλέος —
ἅπαντα ταῦτα (φεῦ) παρῆλθεν ἀθρόα

ὡς καπνός, ὡς ὄνειρος, ὡς ἄνθος χλοῆς.
ἀλλ' ὦ χορηγὲ τῶν καλῶν Θεοῦ Λόγε,
ὁ δοὺς τὰ ῥευστὰ ταῦτα τῷ τεθαμμένῳ,
σὺ καὶ τὰ κρείττω τῶν ἀπελθόντων δίδου·
θεὸν γὰρ ἄλλον οὐκ ἔγνω πλὴν σοῦ μόνου,
καὶ πρὸς σὲ πάσας ἔστρεφεν τὰς ἐλπίδας.
κἂν αὐτὸς ὡς ἄνθρωπος ἡμάρτηκέ σοι·
ἡ πίστις οὖν, εὔσπλαγχνε, τοῦτον σωσάτω.

18 ἔστρεφε C cum rasura, in qua ν fuisse videtur *Studemund* | 20 Matthaeus 9, 22

82. Ἕτεροι ὡς ἐκ τοῦ βασιλέως.

Ἔδει με, Χριστέ, μηδὲ φῶς ἰδεῖν βίου,
| τὴν σὴν παροξύναντα μακροθυμίαν· 33[1]
ποία γὰρ ὠφέλεια κερδῆσαι κόσμον,
ψυχῆς δὲ πικρὰν δυστυχῆσαι ζημίαν;
ἧς οὐδὲ μικρὰν ἔσχον αὐτὸς φροντίδα,
ἀλλ' ὥσπερ ἄλλον οὐκ ἔχων βασιλέα,
οὕτω κατετρύφησα τῆς ἐξουσίας.
τῶν σῶν δὲ σεπτῶν, δέσποτα, προσταγμάτων
τὰ τῶν ἐμῶν προὔθηκα (φεῦ) θελημάτων,
ὑφ' ὧν παχυνθεὶς καὶ πλατυνθεὶς ἐν βίῳ,
ἄρτι στενοῦμαι τῷ βραχεῖ τούτῳ λίθῳ,
εἰς ὃν γυμνὸς νῦν ἀντὶ τῶν πάλαι θρόνων
καὶ τῶν ἀπείρων ὧν ἐπεκράτουν τόπων
ὥσπερ πένης τις δυστυχὴς ἀπερρίφην.
τῆς πρὶν δὲ λαμπρότητος ἀντηλλαξάμην
τὸ στυγνὸν (οἴμοι) τοῦτο τοῦ τάφου σκότος.
ὁ χθὲς βασιλεύς, ὁ χθὲς ἐν δόξῃ μέγας,
ὁ χθὲς δοκῶν γῆς καὶ θαλάσσης δεσπότης,
τοιοῦτον ἐτρύγησα τῆς ἁμαρτίας
ἐνταῦθα καρπόν, τῶν δ' ἐκεῖ πλείων φόβος.
ἐξ ὧν με ῥῦσαι, δημιουργὲ Χριστέ μου,
ῥῦσαί με τῇ σῇ δωρεὰν εὐσπλαγχνίᾳ,
ἥτις με θάλπει, καὶ πρὸς ἣν βλέπω μόνην·
ἄλλη γὰρ ἐλπὶς οὐδαμοῦ σωτηρίας.

3 Matthaeus 16, 26

83. Ἄλλοι.

Τί μοι τὸ κέρδος τοῦ ταλαιπώρου βίου;
ἔζησα μικρὸν ἐν πολυστρόφοις τύχαις·
εἶδον τὰ τερπνὰ πάντα καὶ τἀναντία·
πρὸς δόξαν ἤρθην, ἐκφυγὼν ᾅδου πύλας,
καὶ βασιλεὺς ἤκουσα (φεῦ) καὶ δεσπότης.

τὰ νῦν δ' ἐγὼ μὲν ἐν στενῷ κεῖμαι λίθῳ,
ἄψυχος, ἄπνους, εἰς κόνιν λυθεὶς μόνην.
ἐκεῖνα δ' ἦν ὄνειρος, οὐδέν τι πλέον.
ἀλλ' ὁ πλάσας με ταῖς ἀχράντοις χερσί σου,
ἀνάπλασον πάλιν με τὸν λελυμένον,
καὶ δὸς βοηθὸν χεῖρα, δός μοι κειμένῳ,
καὶ δεῖξον αὖθις φῶς τὸ σόν, πλαστουργέ μου.

84. *Ἄλλοι.*

Σὺ βασιλεύς, ὕψιστε, καὶ σὺ δεσπότης,
ζωῆς ὑπάρχων κύριος καὶ θανάτου,
ἐγὼ δὲ θνητὴν ἐκ φθορᾶς λαβὼν φύσιν,
μέλλων τε θᾶττον εἰς φθορὰν ὑποστρέφειν,
μάτην βασιλεὺς ὠνομαζόμην ἄρα,
χαίρων ὀνείροις καὶ σκιαῖς ἀσυστάτοις,
ἃ πρὸς μικρὸν τέρψαντα καὶ παίξαντά με
ἀπῆλθον, ἐξέπτησαν ἐν βραχεῖ χρόνῳ.
ἐμοὶ δ' ἀφῆκαν τὰς ἐπ' αὐτοῖς εὐθύνας
καὶ τοὺς λόγους (φεῦ) τῶν κακῶς πεπραγμένων·
οὓς μὴ βαρύνῃς, δημιουργέ μου, τότε,
ἀλλ' ὡς κριτὴς εὔσπλαγχνος ἱλάσθητί μοι.

85. *Ἄλλοι.*

Ὢ τῶν ματαίων καὶ κενῶν φρονημάτων!
| πρόσκαιρος ὢν ἄνθρωπος ἐφρόνουν μέγα, 34[1]
καὶ γῆς βραχὺς χοῦς γῆς ἐπεσκόπουν ἄκρα,
ζητῶν τὰ κύκλῳ τῆς ὅλης οἰκουμένης
εἰς ἓν συνάψαι τοῖς ὅροις τοῖς τοῦ κράτους.
ἀλλ' ἐκράτησεν ἡ πρὸ τοῦ κρατουμένη,
καὶ πρὸς στενὸν μέρος τι συγκλείσασά με,
ἐνταῦθα τέφραν ἀντὶ δεσπότου φέρει.
σὺ δ', ὁ πλάσας με ταῖς ἀχράντοις χερσί σου,
ἀνάπλασον πάλιν με πρὸς σωτηρίαν.
καὶ τοῖς βλέπουσι συμπαθῶς μου τὸν τάφον
φάνηθι καὶ σὺ συμπαθὴς ἐν τῇ κρίσει.

86. *Εἰς τὴν εἰκόνα τῶν τριῶν ἁγίων, ἣν ἐδωρήσατο τῷ ἀρχιερεῖ Γρηγορίῳ.*

o *α* superimpositis *χ* et accentu circumflexo = *αρχιερει*? codex ottobonianus 93 male *ἁγίω* *Studemund*

Ἐμοὶ τί μεῖζον τῶν ἐμῶν διδασκάλων;
ὧν οὐδὲ κόσμον πάντα προκρίνειν ἔχω.
ὅμως δὲ φίλτρον ἀνδρὸς ἡγιασμένου,
αἰδοῖ κρατῆσαν, οἴχεται τούτους ἄγον.

ἀλλ' ἐντρύφα μοι τῷ καλῷ δώρῳ, πάτερ,
ἥδιστα τόνδε τὸν συνώνυμον βλέπων
καὶ τοὺς συναυγάζοντας αὐτῷ φωσφόρους.
ἐμοὶ δ' ἀπ' αὐτῶν μικρὸν ἐξαιτοῖ σέλας,
ἀεὶ κατευθῦνόν με πρὸς σωτηρίαν·
τούτου γὰρ οὐδὲν βούλομαι λαβεῖν πλέον.

6 Gregorius Chrysostomus Basilius, vide supra carmina 14 — 17

87. *Εἰς τὴν εἰκόνα τοῦ βασιλέως καὶ τοῦ πατριάρχου.*

| Οἱ προκριθέντες τῇ σοφῇ θεοῦ κρίσει 34[2]
ἄρχοντες ἡμῶν καὶ γραφαῖς τιμητέοι·
ὁ μὲν γὰρ ἄρχει σωμάτων ἀνθρωπίνων,
ψυχῶν δὲ ποιμὴν οὗτος ἐκλελεγμένος,
ἄνωθεν ἄμφω τὸ κρατεῖν εἰληφότες.
ἄμφω καλῶς ἄρχουσι τῶν ὑπηκόων·
ὅθεν γραφέντες, τοῦ κράτους τοὺς αἰτίους
καὶ προστάτας ἔχουσι συγγεγραμμένους.

88. *Εἰς τὸν προφήτην Δανιήλ.*

Θῆρες λέοντες ἦσαν ἐχθροί σοι πάλαι,
ἀνὴρ Λέων δὲ νῦν σὸς οἰκτρὸς ἱκέτης.
ὡς οὖν παρ' αὐτῶν οὐδὲν αὐτὸς ἐβλάβης,
οὕτω, προφῆτα, τοῦτον ἐκ βλάβης ῥύου.

89. *Ὑπὲρ ἑαυτοῦ πρὸς Χριστόν.*

Πολλή χάρις σοι τῶν λόγων, θεοῦ Λόγε,
οἷς εὐδόκησας δωρεάν με πλουτίσαι,
ὑφ' ὧν λογισμοῖς σώφροσιν κεχρημένος,
ἔταξα ῥητὰ ταῖς ἐμαῖς χρείαις μέτρα,
ἀρκεῖν ἔμοιγε ταῦτα κρίνας τὰ τρία,
τροφήν, σκέπην στέγην τε, καὶ μηδὲν πλέον,
δι' ἃ κλονεῖται πᾶσα σήμερον κτίσις,
ἐπείπερ ἐξήμειψεν ἡ τρυφῆς βία
τὴν χρῆσιν αὐτῶν εἰς παράχρησιν πάλαι.
χρῆσιν δ' ἔγωγε τὴν ἀναγκαίαν ἔχων,
| ὑπερπερισσεύω τε καὶ χαίρω πλέον 35[1]
τῶν τοῖς ἀπλήστοις ἀντεπαντλούντων πίθοις.
τί γὰρ τὸ κέρδος τῶν ἀμετρήτων πότων
τοῖς εἰς ἄπαυστον δίψος ἐκκεκαυμένοις;
διαρραγεῖεν πρῶτον ἂν τῇ πλημμύρᾳ
ἢ τοῦ πάθους ἴαμα προσλάβοιντό τι·
ἐπεὶ δὲ τοῦτο συμφορὰ μισουμένη,

6 Timotheus α 6, 8 PdeLagarde deutsche schriften I 211

τὸ μηδὲ διψᾶν κρεῖττον ἢ τὸ μετρίως,
ἐφ' ᾧ λαβὼν ἄνωθεν αὐτὸς τὴν χάριν,
καὶ σύντομον σχὼν τῶν ὀρέξεων πέρας,
πολλὴ χάρις σοι τῶν λόγων, λέγω, Λόγε,
οἷς εὐδόκησας δωρεάν με πλουτίσαι.
πρὸς οὓς τὸ πλεῖστον ἀσχολῶν τῶν φροντίδων,
εἰς τἄλλα τὸν νοῦν δυσχερῶς ἐπιστρέφω·
οἷς ἐντρυφῶν νύκτωρ τε καὶ μεθ' ἡμέραν, 25 Iosue 1, 8 Psalm 1, 3
ἄλλης τρυφῆς ἥκιστα ποιοῦμαι λόγον·
ἀρκεῖ γὰρ αὕτη ψυχαγωγεῖν πλουσίως,
βρύουσα πᾶσαν ἡδονήν τε καὶ χάριν.
πλὴν ἀλλ' ἄγοις οὕτω με καὶ φέροις, Λόγε,
ἄτρεπτον, ἀκλόνητον, ἡδραιωμένον,
εἴσω μένοντα τῶν τεταγμένων ὅρων,
ὡς ἄνθεσιν μέλισσαν ἐν βίβλοις στρέφων,
ὡς τέττιγα δρόσῳ με τοῖς λόγοις τρέφων,
μόνοις τε πείθων τοῖς παροῦσιν ἐμμένειν,
| καὶ μηδὲν αἰτεῖν ἄλλο πλὴν σωτηρίαν, 35*
εἰς ἥν με θᾶττον προσλάβοις, εὐεργέτα,
κἂν μηδὲ τοῖς νῦν σφόδρα δυσκόλως ἔχω.
κρείττων γὰρ εὐπλοίας τε καὶ κούφων πόνων
ὅρμος ποθεινὸς καὶ τὸ τῶν πόνων τέλος·
ὧν μοι τυχεῖν γένοιτο ῥᾷστα, Χριστέ μου.

90. *Ἄλλοι περὶ ἑαυτοῦ πρὸς τὸν Χριστόν.*
Πολλὴ χάρις σοι τῶν λόγων, θεοῦ Λόγε·
οἷς εὐδόκησας δωρεάν με πλουτίσαι·
πολλὴ χάρις σοι τοῦδε τοῦ τερπνοῦ βίου
καὶ τῆς ἔμοιγε φιλτάτης ἀπραξίας.
ἴσως ἄδοξός ἐστιν, ἀλλ' ἐλευθέρα·
ἴσως κρότων ἄμοιρος, ἀλλὰ καὶ φθόνων·
κτῆσίς τις οὐ πρόσεστιν; οὐδὲ φροντίδες,
αἳ μᾶλλον ἐκτήκουσι σάρκας δεσπότου
ἢ τῶν προσόντων ἡ μετουσία τρέφει.
ἄπεστι κέρδος; ἀλλὰ καὶ μοχθηρία,
ἢ πάντα κέρδους ἐξανιχνεύει πόρον,
ἢ κερμάτων χνοῦν οἶδεν ἐκλείχειν μόνη.
οὐ προσκυνεῖ τις οὐδὲ θωπεύει τάχα;
οὐ προσκυνοῦμεν οἷα θῶπες οὐδένα,
ἀλλ' εὐγενῶς ἅπαντας ὡς κατ' εἰκόνα.
προεδρία ποῦ; καὶ προσεδρεία πότε;

ἧς πολλαπλῆν σύνοιδα τὴν ἀηδίαν
| πρὸς τὴν ἐκείνης ἡδονὴν μετρουμένην. 36[1]
πλοῦτος ῥέει; πῶς; οὐχὶ καὶ παραρρέει;
μάλιστα. καὶ τις ἀστάτου φίλου λόγος;
ἔα πλανᾶσθαι τοὺς θέλοντας εὐκόλως·
σὺ δ' εὖ βεβηκώς, κτῆμα τοιοῦτον πόθει,
ἀεὶ πεφυκὸς τῷ φιλοῦντι προσμένειν.
ἀλλ' ὄγκον αἴρει; καὶ καταστέλλει πάλιν
ὡς πνεῦμα φύσης ἀσκὸν ἐστερημένον.
ἀλλὰ τρυφὴν δίδωσιν; ἀλλὰ καὶ φθόην.
ὢ ποῖον εἶπας; καὶ γὰρ οὐ ψευδῶς ἔφην·
σὺ δ' ἐξέταζε τἄλλα τῶν κακῶν ὅσα,
ἐν οἷς ὁ πλοῦτος δεξιοῦται τοὺς φίλους.
τίς οὖν συνήσει, τίς διοπτεύσει τάδε;
πολλή χάρις σοι τῶν λόγων, θεοῦ Λόγε,
οἷς εὐδόκησας δωρεάν με πλουτίσαι,
οὓς ἀξίωμα, πλοῦτον, εὔκλειαν, θρόνον
καὶ πᾶν ὅ,τι κράτιστον, ἡγοῦμαι μόνους,
οἳ τὰς ὀρέξεις τῶν ἐμῶν θελημάτων
ῥεμβασμὸν οὐκ ἐῶσι πάσχειν ῥᾳδίως,
πίνοντες αὐτοὶ πάντα τῆς ψυχῆς πόθον,
ὡς τοὺς ποταμοὺς ἡ θάλασσα τοὺς πέριξ —
εἰ μή τι σαρκὸς ἀσθένεια προσλάβοι —,
ὡς τέλμα μικρὸν ἐκτραπὲν ῥεῖθρου μέρος·
ἐξ ὧν ἔγωγε τὰς ἀφορμὰς λαμβάνων,
| τούτους ἐμαυτῷ τοὺς νόμους ἔχω γράφειν, 36[2]
ἐν οἷς κρατοῦμαι, καὶ κρατῶ τῶν ὧν θέμις.

91. *Εἰς ἑαυτόν.*

»Πλουτοῦσι πολλοί« — παῦε. καὶ τίς μοι λόγος;
πτωχοὺς γὰρ ἕξει πάντας ἐξ ἴσου τάφος,
ἁβρούς, μέσους, ἥττους τε καὶ πενεστάτους.
τὰ νῦν δὲ παῖξαι μικρὸν αὐτοῖς ἐνδίδου,
ἕως κενὰς φέροντες αἴσθωνται χέρας.
»πολλοὺς θρόνοι φέρουσιν ὑψηλοὺς ἄνω.«
ἐγὼ δὲ γῆθεν ἔκπαλαι πεπλασμένος,
εἰς γῆν τε νεύω, καὶ κάτω ζητῶ μένειν,
πολλῷ δὲ τὴν ἔπαρσιν ἐκκλίνω φόβῳ,
μήπως σκοτωθεὶς ὑψόθεν χαμαὶ πέσω,
τῆς αὐθαδείας ἀξίαν διδοὺς δίκην·
ὅθεν ταπεινὴν ἀσφάλειαν ἐκλέγων,

30 *διοπτεύσει* C sed τ correctum a secunda manu ex π ut videtur *Studemund*

38 Anacreon 21, 3 *Lagarde*

5 *αἴσθωνται* C[2] *αἴσθονται* C[1] *Studemund*

11 *αὐταδείας* apographum

πεζῇ βαδίζω, πεζὸν ὢν ζῷον φύσει,
πᾶσιν μὲν οὐκ ἄποπτος ὡς ἐκ τῶν ἄνω,
πολλοῖς δὲ καὶ κάτωθεν ὢν ἐγνωσμένος,
ὃ μεῖζον οἶδα μᾶλλον εἰς εὐδοξίαν,
ὅταν τις αὐτὸς ἐκ ταπεινοῦ χωρίου
πρὸς ὕψος ἐκτείνοιτο καὶ δοκῇ μέγας
ὥσπερ κολοσσός, μῆκος οἰκεῖον φέρων,
καὶ μηδὲν εἰς δίαρμα, χρήζων τοῦ τόπου.
ὅσοι δὲ κομπάζουσι βαθμοῖς καὶ θρόνοις,
οὗτοι κολοιῶν οὐδέν εἰσι βελτίους
| μέγα φρονούντων ἐν πτεροῖς ἀλλοτρίοις, 37[1] 22 fabulae aesopicae Halmii 200
ὧν ἡ πάλιν ψίλωσις αἰσχύνει πλέον·
τῶν προσθέτων γὰρ χρωμάτων τῇ συγκρίσει
εἰς μεῖζον ἐξάγουσι τὴν ἀμορφίαν.
»ἀλλὰ κροτοῦσι πᾶς ὄχλος τοὺς ἐν μέσῳ.«
εἰπὼν ὄχλον, βέλτιστε, μὴ ζήτει πλέον·
ὄχλος γὰρ οὐδὲν ἄλλο πλὴν ὄντως ὄχλος,
βοὰς ἀτάκτους τοῖς κρατοῦσι προσνέμων
ὡς πρόσφορον μείλιγμα τῆς ἐξουσίας,
πλέον δὲ μηδὲν συντελῶν τῶν χρησίμων,
μᾶλλον μὲν οὖν μέγιστα καὶ βλάπτειν ἔχων·
φυσᾷ γὰρ αὐτοὺς τοῖς ἐπαίνοις πολλάκις,
πείθων ἀκούειν ὡς ἀληθεῖς τοὺς λόγους·
οἱ δ' εἰσὶν οὐδέν, πλὴν μόνον κενοὶ ψόφοι,
ἐπηρεασταὶ τῶν κενῶν φρονημάτων,
ψεῦσται, πλάνοι, γόητες, ἀνδράσιν γέλως,
βόθρος δ' ἀνάνδροις· οἷς ὁ πιστεύων ἄνους.
κραυγῆς δὲ πολλῆς οὐ πάνυ φροντιστέον.
καὶ ψῆρες ὀξύφωνον, ἀλλὰ κουφόνουν.
τούτοις ἔγωγε τοῖς λογισμοῖς καὶ λόγοις
ἄγων ἐμαυτὸν ἐκπεραίνω τὸν βίον.

92. *Εἰς ἑαυτόν.*

Ἕλκουσι βαθμοί· πρόσσχες. ἀθρόα ζάλη.
ψῆφοι φέρονται· συστροφὴ καταιγίδων.
θρόνοι καλοῦσιν· ὦ κυβερνῆτα, βλέπε.
| ὁρᾷς ὅσος κύκλωθεν ἠγέρθη κλύδων; 37[2]
σπεῦσον βοήθει. κλύζεταί σοι τὸ σκάφος.
λαβοῦ, τάλαν, τάχιστα τῶν σῶν οἰάκων,
λαβοῦ, λογισμέ, πρὶν παραχθῶμεν βίᾳ.
»ἤ που τι κἀμὲ συμπονεῖν ἐπιτρέπεις;

ὡς οὖν κελεύεις πείθομαι.‹ καὶ δὴ λέγε.
›σὺ τὴν σεαυτοῦ κοσμίως βάδιζέ μοι·
ἀρκεῖ γάρ, ἂν κάλλιστα καὶ ταύτην δράμοις·
βαθμῶν δ' ἐκείνων καὶ θρόνων πρὸς οὓς πτύρῃ,
πολλοὶ μὲν ἦσαν ἐγκρατεῖς χθὲς καὶ πάλαι,
πολλοὶ δ' ἔσονται, συρρέοντες τῷ χρόνῳ,
ᾧ καὶ συνεκλείπουσι πάντες ἐν μέρει,
ἕως καταντήσουσιν εἰς κοινὸν τέλος,
μηδὲν παρ' αὐτῶν κερδάναντες ἄλλο τι
πλὴν τὰς ἐπ' αὐτοῖς εὐθύνας καὶ τοὺς λόγους,
πλέον πικραίνειν ὕστερον πεφυκότας
ἢ σήμερον τέρπουσι τοὺς κεκτημένους·
τέρπουσι καὶ γὰρ ὥσπερ ἄνθρακες βρέφη,
τοὺς πρὸς μόνον τὸ στίλβον ἐκθαμβουμένους
καὶ μὴ σκοποῦντας ὡς ἔχει καὶ τὸ φλέγον,
πρὶν ἂν παθών τις νοῦν ἐνέγκοι καὶ μάθοι.‹
‚ἔστω, καλῶς εἴρηκας. ἀλλὰ γὰρ πόθεν
τὸ σὸν τάλαντον ἐμπορεύσῃ τοῦ λόγου;‘
ποῖον λόγου τάλαντον; οὐκ ἔχω λόγον,
| οὕτω καμνόντων (ὡς ὁρᾷς) τῶν ὀργάνων, 38[1]
ὡς μηδὲ λεπτὸν φθέγμα πέμπειν εὐκόλως·
τοσοῦτον ἐκράτησε τῶν πρώην ὕθλων
ἡ νῦν με συστέλλουσα παιδαγωγία,
ὑφ' ἧς πέπαυμαι τοῦ θεατρίζειν μάτην
καὶ πολλὰ ληρεῖν ἐν σχολαῖς καὶ συλλόγοις·
εἴσω δὲ νεύων μετριάζω πρὸς λόγους,
μηδὲν περιττὸν μηδ' ἄκαιρον ἐκφέρων,
μόνοις δὲ φωνὴν τοῖς ἀναγκαίοις νέμων,
οὕτω τε, σαίνων καὶ λεαίνων τὴν νόσον,
τὸ ζωτικόν μοι πνεῦμα συνθάλπω μόλις,
ἄλλως τε κἂν πάλαι τις ἦν εὐγλωττία,
καὶ καρπὸν οὐκ ἄχρηστον ἐξήνεγκέ σοι,
καλῶς γεωργήσασα πολλοὺς τῶν νέων —
πάντας γὰρ οὐ τίθημι, μὴ καὶ κομπάσω·
πλὴν ἀλλὰ πλείστους — ἦρεν ἐκ μαθημάτων,
πλείστοις δὲ καὶ πρὸς ἦθος εἰσήνεγκέ τι,
οὐ μᾶλλον ἡ παίδευσις εὐτυχεστέρα
τῆς τῶν περιττῶν ἐν λόγοις κομψευμάτων.
τούτους ἔγωγε τοὺς σοφισθέντας νέους
κέρδος μέγιστον τῷ ταλάντῳ προσφέρω,
ὧν νῦν θεωρεῖς ἔστιν οὓς διδασκάλους

βαθμοῖς τε λαμπροῖς ἐμπρέποντας ἀξίως.
ἀργοῦντα δ' ἄρτι μηδαμῶς μέμφου σύ με·
| ξηρὸς γάρ εἰμι τῇ πυρώσει τοῦ πάθους, 38[2]
καὶ πραγματείας ὡς γεωργίας ξένος,
ὅθεν σχολάζων προστέτηκα ταῖς βίβλοις,
εἶναι μαθητής, οὐ διδάσκαλος, θέλων·
ῥᾷον γὰρ οἶδα τοῦτο πολλῷ τῷ μέσῳ,
καὶ πᾶσιν ἄλλως ἀσφαλέστερον τρόποις·
‚κρύψεις δέ σου τὸν λύχνον ἐν τῇ γωνίᾳ;‘ 58 Matthaeus 5, 15
τί τοῦτό φης, ἄνθρωπε; πῶς καλεῖς λύχνον
τὸν οὐκ ἔχοντα τὸ προσῆκον φῶς λύχνῳ;
ἦν λύχνος, οἶδα (καὶ γὰρ οὐκ ἀρνητέον)·
ἀλλ' εἰς τροφὴν ἔλαιον ἀρκοῦν οὐκ ἔχων,
ἐψυγμένην δείκνυσι τὴν θρυαλλίδα,
ἧς τῷ μαρασμῷ καὶ τὸ τοῦ φωτὸς σέλας,
ἀμυδρὰ φαῖνον, οὐκ ἔχει λαμπηδόνα·
συνασθενεῖ γὰρ καὶ λόγος τῷ σαρκίῳ
ὥσπερ παθούσῃ μουσικὸν μέλος λύρᾳ.
τὸ φωτὸς οὖν μοι λείψανον τηρητέον,
μετ' ἀσφαλείας ἔνδον ἐγκλείσαντί που
καὶ τῶν ὑπαίθρων πνευμάτων ἀπωτάτω,
μὴ παντελῶς μοι σβεσθὲν ἐν βραχεῖ λάθοι.
αὐτὸς δὲ λύχνον ἄλλον ἐν μέσῳ τίθει,
ὅστις κύκλῳ τοσοῦτον ἐκπέμψει σέλας
ὅσον σὺ βούλει, μὴ δεδοικὼς τὴν σβέσιν·
ἴσον κακὸν γὰρ φῶς τε συγκλείειν μέγα,
| καὶ μικρὸν αὖθις εἰς ὕπαιθρον ἐξάγειν· 39[1]
ἅλις γὰρ ἂν σύμμετρον αὐγάζοι τόπον,
ἅλις δὲ (κἂν ζῇ) καὶ διαυγείας δίχα.
ἴσως γὰρ εἰς ἔναυσμα συμβάλοι τόπου,
κἂν αὐτὸ μηδὲν πρὸς τὸ νῦν φαίνειν ἔχοι,
ὡς ἡ καθ' ἡμᾶς ἀδρανεστάτη φάσις.
‚πῶς οὖν σε δόξα πρὸς μέγιστον ἐξάροι,
οὐκ ἐνδιδόντα τῇ φορᾷ τῆς ἡμέρας;‘
μέν', ὦ ταλαίπωρ', ἀτρέμας σοῖς ἐν τρόποις·
ὁρᾷς γὰρ οὐδὲν ὧν νομίζεις φασμάτων.
οὕτω δέ μοι σκόπησον, ὡς σαφῶς μάθοις.
τί δόξαν εἶπας; οὐχὶ τὴν πλήθους πλάνην,
ἣν καὶ πλανῶνται καὶ πλανῶσιν ἐξ ἴσου;
οὐδὲν πρὸς ἡμᾶς τοῦτο τοὺς ᾐσθημένους·
πάλαι γὰρ ἴσμεν τίς μὲν ἀκριβεστάτη,

τίς δ' αὖ ματαία δόξα καὶ ψευδεστάτη·
πρὸς οὖν ἐκείνην πάντα συντείνων πόθον,
ἥκιστα χαίρω τῇδε τῇ ψευδωνύμῳ.
δίκαια ποιῶν· τίς γὰρ εἰδώλου λόγος,
ἐξὸν πρὸς αὐτὴν τὴν ἀλήθειαν βλέπειν;
καθ' ἣν ἐγὼ μέγιστον εὑροίμην κλέος,
αἰωνίως τέρπον με καὶ πληρεστάτως·
τὸ νῦν δὲ μικρὸν τοῦτο καὶ πρὸς ἡμέραν
τοὺς ὡς μέγα στέργοντας αὐτὸ παιζέτω,
| ἕως ἀποπτὰν πάντας ἀθρόον φύγοι, 39[2]
πεισθέντας ὀψὲ ταῦτα κἀκείνους λέγειν.
Εὖγε. κρατοῦμεν. οὐκέτι τρικυμία.
ἐξημέρωται πόντος ἠγριωμένος,
ἐξ οὐρίας ὁ πλοῦς τε τῷ σκάφει πάλιν.
θάρρει, λογισμέ· σὺν θεῷ γὰρ ἐμπλέεις,
παρ' οὗ τὸ νικᾶν ἐν ζάλης καιροῖς ἔχεις.

98. *Παλινῳδία πρὸς ταῦτα, μετὰ τὴν χειροτονίαν.*
Οὐκ ἔστιν ἡμῖν ἀτρεκὴς οὗτος λόγος
(ποιητικῶς γὰρ λάζομαι μῦθον πάλιν)
οὐδ' ἐμπεδοῦμεν τὰ πρὸ τοῦ δεδογμένα,
ἐπεὶ βροτοῖς πᾶς εὐμετάβλητος λόγος.
ἐρῶ δὲ μᾶλλον ὡς ὁ μὲν λόγος μένει,
ἡ πραγμάτων φύσις δὲ τὴν τροπὴν ἔχει.
ἄνθρωπος ὤν, ἄνθρωπε, μηδὲν φῇς μέγα·
‚οὐ πείσομαι γὰρ τοῦτο' λῆρος κομπάσαι,
ἕως τις ἐμπνεῖ καὶ τὸν ἥλιον βλέπει.
μάρτυς δὲ τούτων αὐτὸς οὗτος ὁ γράφων,
παθών, μαθών τε καὶ παλιλλογῶν τάδε,
ὃς χθὲς μὲν ἄλλα καὶ φρονῶν ἦν καὶ γράφων,
ὄναρ θεωρῶν (ὡς ἔοικεν), οὐχ ὕπαρ.
τὴν μέχρι παντὸς ἐκτροπὴν τῶν πραγμάτων,
καὶ τὴν παροῦσαν εὖ καθεστῶσαν βλέπων,
τὴν αὔριον μάταιος οὐκ ἐπεσκόπει,
| μέσην τε τὴν θάλασσαν εἰσέτι πλέων, 40[1]
ὡς ἐντὸς ὅρμων ἐθρασύνετο φθάσας.
τοιοῦτον ἡ βλάπτουσα τὸν νοῦν κουφότης
πείθει νομίζειν ὡς ἑαυτοῦ τις κρατεῖ,
καὶ τὸν βίον τίθησιν ὡς αὐτῷ φίλον,
τὸν πάντα δὲ στρέφοντα πανσόφοις λόγοις
καὶ πάντας εὐθύνοντα πρὸς τὸ συμφέρον

1 alludit ad Stesichori illud quod est apud Platonem Phaedr 243[1] οὐκ ἔστ' ἔτυμος λόγος οὗτος

16 αὐτῷ codex

οὐκ ἐννοεῖν δίδωσιν ὡς οὐ φευκτέος,
ἕως λαθών τις ἐμπέσοι καὶ νοῦν λάβοι,
ὃς κἀμὲ πάντα τὸν πρὸ τοῦ γλυκὺν βίον
ἀπραγμόνως ζήσαντα καὶ γαληνίως,
πάλαι τε »χαίρειν« πᾶσι τοῖσδ' εἰρηκότα —
βαθμοῖς, προπομπαῖς, ἀξιώμασι, θρόνοις,
αὐτῇ κακῶν ζάλῃ τε καὶ τρικυμίᾳ,
ὧν ἐμπέπλησται πᾶσα δόξα τοῦ βίου —,
ἤδη τε νικᾶν εἰς τέλος πεπεισμένον
(ὡς ἄν τις ἔνθεν οἷς προγέγραπται τότε,
μᾶλλον δ' ἐκεῖθεν οἷς προπέπρακται μάθοι),
καὶ δὴ πρὸς ὕψος χεῖρας ἐξαίροντά με,
καὶ δὴ κροτοῦντα σύμβολον νίκης μέγα
φθάσας κραταιᾷ χειρὶ νῦν συλλαμβάνει,
καὶ τὴν ἄκαμπτον καρδίαν κάμψας βίᾳ,
ἄγει φέρει τε, καὶ τίθησιν εἰς μέσον
τὸν ἐκφυγεῖν δόξαντα πᾶν ἤδη μέσον.
| τῶν πρὶν δ' ἐκείνων ἀστάτων ἐνυπνίων
καὶ τῶν λογισμῶν οἷς ἐμαυτὸν ἐκράτουν,
κατεσκέδασται σύγχυσίς τις καὶ ζόφος,
οὕτω θεοῦ σφήλαντος αὐτοὺς ἀθρόον,
οὕτω θεοῦ φύραντος ἀρρήτῳ τρόπῳ
καὶ πάντα συγχέαντος, ὡς ἀγνωσίᾳ
σέβοιμεν αὐτόν, ὥς τις εἶπε τῶν πάλαι —
ἀλλότριος μέν, πλὴν καλῶς δοκῶν φάναι. 48 quis ille?
τοῦ θαύματος γὰρ ἔνθεν αὐτῷ τὸ πλέον,
ἐκ τῆς ἀβύσσου τῶν ἀδήλων κριμάτων,
ὧν οἶδεν οὐδεὶς τοὺς ἀπορρήτους λόγους,
οἷς εἶξα κἀγώ. καὶ τί γὰρ παθεῖν ἔδει,
εἰς τὸν δυνάστην ἐμπεσόντα τὸν μέγαν;
οὐκοῦν ἐκάμφθην. καὶ κρατηθεὶς εἰς ἅπαν,
ὑπῆλθον ἤδη τοῦ ζυγοῦ τὸ φορτίον,
καὶ μάρτυς εἰμὶ τοῦ πανισχύρου κράτους,
ὃ ῥᾷστα πᾶσαν ἐκβιάζεται φύσιν,
κἂν σκληρότης τις αὐτόχρημα τυγχάνοι.
ἀλλ' εἴ τις αὐχεῖ στερρὸς εἶναι τὰς φρένας
καὶ τοῖς λογισμοῖς ἀσφαλῶς βεβηκέναι,
ἐντεῦθεν ἂν παίδευσιν ἀρκοῦσαν λάβοι,
μὴ σφόδρα θαρρεῖν μηδὲ πιστεύειν ἄγαν,
ὡς τοῖς ἑαυτοῦ χρήσεται πάντως νόμοις·
ἄλλος γὰρ ἡμῖν ὃς τὸ πᾶν ἔχει κράτος,

| παρ' οὗ μόνου δεῖ προσφυὲς ζητεῖν πέρας 41[1]
ἅπαντας ἡμᾶς παντὸς ἔργου καὶ λόγου,
παντὸς σκοποῦ τε καὶ λογισμοῦ καὶ δρόμου,
ἐπεὶ καθ' αὑτὸν οἶδεν οὐδεὶς οὗ τρέχει,
πρὶν ἂν θανών τις πεῖραν ἕξοι τῶν ὅλων —
ἀρχῆς ὁμοῦ, τέλους τε καὶ τῶν ἐν μέσῳ —,
ἃ χρὴ σκοποῦντας, εὐλαβεστέρως ἔχειν,
ἀεὶ τὸ μέλλον χρηστὸν ἐξαιτουμένους.

94. *Εἰς τὴν τοῦ νομοφύλακος νεαράν.*

Αὐτὸς σκοπήσας πρᾶγμα κοινῇ συμφέρον,
αὐτὸς βασιλεῖ τὸ σκοπηθὲν γνωρίσας,
αὐτός τε πείσας, αὐτός ἐστιν ὁ γράφων.

95. *Εἰς τὸν δεύτερον λόγον τῶν εἰς τὸν τροπαιοφόρον.*

Μιᾶς ὁ μικρὸς ἔργον ἑσπέρας λόγος,
ὅθεν βραχύς τε καὶ τὰ πρὸς τέλει νόθος,
εἴπερ δίκαιον λοιδόρως καλεῖν νόθον
τὸν ἐξ ἀδελφοῦ μοῖραν ἠρανισμένον·
ἑνὸς γὰρ ἄμφω πατρὸς ὄντες οἱ λόγοι
ἀδελφικῶς θαρροῦσι τὴν κοινωνίαν.

96. *Ὅτε ἀπέστη τῆς συγγραφῆς τοῦ χρονογράφου.*

Ὁ συγγραφεὺς ψεῦδος μὲν οὐκ εἴρηκέ πω,
ψεύσαιτο μέντ' ἂν ἔν γε τοῖς λοιποῖς λόγοις,
οὕτω φιλούντων τῶν κελευόντων τάδε,
ὧν τοῖς ἐπαίνοις ἐντρυφῶν τὸ βιβλίον,
| ὅμως ἔδοξεν ἐνδεέστερον λέγειν· 41[2]
ἐξουσία κρότων γὰρ οὐκ οἶδε[ν] κόρον.
οὐκοῦν ἀφείσθω ταῦτα τοῖς ἐγκωμίοις,
ἡ συγγραφὴ δὲ μὴ προχωρείτω πλέον·
οὐκ εὐφυῶς γὰρ πρὸς τὰ τοῦ ψεύδους ἔχει,
νόμος τε ταύτην ἐκ τροπῆς ἀποτρέπει.
ἐνταῦθα τοίνυν τὸν δρόμον παύει τέως,
ἕως κατ' εὐθὺ δῷ τις αὐτῇ τὸ τρέχειν.

97. *Εἰς τὰ δωρηθέντα μηναῖα εἰς Εὐχάϊτα.*

Ὕμνων ἐπελθὼν ἡμερησίων βίβλους,
πᾶσάν τε τούτων τὴν γραφὴν ἐπιξέσας,
καὶ χεῖρα καὶ νοῦν ὡς ἐνῆν καταρτίσας,
δῶρον φίλον δίδωμι καὶ μάλα πρέπον

τῷ προστατοῦντι τοῦ τόπου στεφηφόρῳ,
ὃς ἔνδον οἰκεῖ τῇσδε τῆς ἐκκλησίας·
δι' οὗ τύχοιμι τῆς ἀκηράτου βίβλου,
τῇ χειρὶ τοῦ πλάσαντος ἐγγεγραμμένος.

98. *Εἰς τὰ αὐτά.*

Οὐ πολλὰ μέν, κράτιστα πάντα δ' ἐνθάδε·
οὐκ ἂν γὰρ εὕροις ἀλλαχοῦ τὰ βελτίω.
ἐβουλόμην δὲ ταῦτα μὲν τύπους μένειν,
ἀντιγράφων εἶναι δὲ τὴν ὑπουργίαν.

99. *Εἰς τὰ διορθωθέντα βιβλία.*

Καλὴν δεδωκὼς ταῖς βίβλοις ὑπουργίαν,
| αὐτὸς πονηρὰν ἀντιλαμβάνω χάριν· 42[1]
τῶν μὲν γὰρ ἤδη τὰς νόσους ἰασάμην,
ἐγὼ δὲ συντέτηκα καὶ κακῶς ἔχω,
κόπων τὸ σῶμα συντριβεὶς ἀμετρίᾳ.
ἀλλ' οἱ τρυφῶντες ἐν πόνοις ἀλλοτρίοις
καὶ ταῖς ἐμαῖς πλέοντες εὔδια ζάλαις,
πρὸς κύριον μέμνησθε τοῦ κεκμηκότος.

8 reliqua pars folii 42 abscissa est cultro. folium 42v scriptura antiqua vacat. manus multo recentior in fol 42v adscripsit nonnullas res sacri argumenti, quae nullius sunt pretii *Studemund*

| *Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων αἱ ἐπιστολαί.* 43[1]

100. *α.* 1 *Ἐγὼ δὲ τὴν ὥραν οὐ μὲν οὖν ὡς ἔαρ ἑώρων, ἀλλ' ὡς ἤδη μετόπωρον· πόθεν οὖν νυνὶ πρὸς ἡμᾶς ἐαρινὴ ἀηδών; οὐκ ἀπ' ἄλσους ποθὲν οὐδ' ἐκ δρυμοῦ φωνοῦσα μακρόθεν, ἀλλ' ἐν τούτῳ τὸ πλέον ἔχει τοῦ θαύματος, ὅτι πρὸς αὐτὰς πετασθεῖσα τὰς χεῖρας τὰς ἡμετέρας, κἀκεῖθεν ἡμῖν ἐαρινὰ κελαδοῦσα, τῷ τῆς μουσικῆς ἡδυφώνῳ τὰς ἀκοὰς ἐγγύθεν κατακηλεῖ.* 2 *δοκεῖ δ' ἡ πάντα βελτίστη (ἵνα τι μικρὸν καὶ παρακομψεύσωμαι) τὴν μὲν φωνὴν ἀηδών, τὴν δὲ μορφὴν χελιδών· τὸ μέν, ὅτι ᾄδει λιγυρόν τι καὶ μελιχρόν, τὸ δέ, ὅτι κέκραται θαυμαστῶς πως τὴν ὄψιν ἐξ ἐναντίων δύο χρωμάτων· τῇ γὰρ τοῦ χάρτου λευκότητι τὸ τῶν γραμμάτων μέλαν ἐμπρέπει, καθ' ἅπερ ὑφάσμασι λαμπρῷ καὶ διαφανεῖ πολυτελοῦς πορφύρας ποικίλματα.* 3 *εἴτε οὖν ἀηδὼν εἴτε χελιδὼν ἡ θεσπεσία γραφή, ἡδονῆς πάσης ἔπλησεν ἡμῖν τὴν ψυχήν, καὶ τὸν καιρὸν ἡ|μᾶς ἔπεισε δεύτερον ὄντως ἔαρ νομίσαι καὶ πιστεῦσαι τοῖς οὕτω τὴν ἰσημερίαν* 43[2]
ταύτην προσαγορεύουσι. 4 *τάχα δ' ἂν που καὶ πρῶτον ἄντικρυς ἔδοξεν, εἰ μὴ τὴν βάσκανον εὗρε παροιμίαν ἀνθισταμένην ὡς οὐκ ἐξὸν ποιεῖν ἔαρ χελιδόνι μιᾷ*, ἐπείτοι καὶ δευτέρας ἑτέρας ἐπικαταπτάσης αὐτῇ, καθαρῶς ἂν ἡμῖν ὁ καιρὸς ἐξενίκησεν εἰς τὸ πρῶτον καὶ μάλιστα καὶ κυριώτατον ἔαρ, ὃ πρωτοκαίριον λέγειν τοῖς πολλοῖς σύνηθες.*

4 Gregorius cyprius leidensis β 71 Apostolius ια 63 in Ernesti de Leutsch corpore paroemiographorum II 79 531: vide Leutschii adnotationes

[5] ἀλλ' ἐπεὶ πανταχοῦ τὰ καλά φασι σπάνια, καὶ τὸ νῦν καλόν, εἰ καὶ μόνον, ἀναγκαίως
ἀγαπητόν, ἄλλως τε, καὶ πᾶν εἴ τι κάλλιστον ἐν ἑαυτῷ περιέχον. [6] οὐ γὰρ δὴ τὸν
ἑαυτῆς ἔτι νόμον ἡ σοφὴ καὶ φιλτάτη πρὸς ἡμᾶς φθέγγεται, ἀλλ' ἔναρθρά τε φωνεῖ,
καὶ τὰ θέλγητρα πάντα, καὶ τὰς σειρηνείους ᾠδάς, καὶ τὴν τῶν ἰΰγγων ἀμήχανον εἴτε
βίαν εἴτε πειθώ, καὶ τοὺς ἁρμονικοὺς φθόγγους ἅπαντας ὁμοῦ συλλαβοῦσα, καθ' ἅπερ
εἰς ἅμιλλαν μουσικῆς καὶ ἐπίδειξιν καλῶς παρεσκευασμένη, τορόν τι καὶ μέγα καὶ
λαμπρὸν ἐξόχως ἠχεῖ, καὶ ὅλους ἡ|μᾶς ἤδη τῶν ὤτων, ἔτι δὲ καὶ τοῦ κόλπου καὶ 44[1]
τῶν χειρῶν ἐξαρτᾷ, οἷς τε τοῦ μέλους ἀκούομεν σὺν ἡδονῇ τοσαύτῃ καὶ θαύματι, οἷς τε
κρατοῦμεν ἡδέως καὶ περιφέρομεν τὸ καλλιφωνότατον τοῦτο καὶ ποικιλόφθογγον ὄργανον
τῆς οὕτω θαυμαστῆς ἁρμονίας. [7] εὐχόμεθα δὲ καὶ τὸν αὐτοῦ σοφὸν καὶ εὐμήχανον
δημιουργὸν καὶ τεχνίτην ὀφθαλμοῖς τε θεάσασθαι, καὶ ἀκοαῖς λαλοῦντος ἀκοῦσαι, ἵνα
γνῶμεν ἔτι σαφέστερον τὸ διάφορον ὅσον τῆς τε πηγῆς πρὸς τὸ ῥεῖθρον, καὶ τῆς
γλώττης πρὸς τὴν γραφήν, ὁμιλούσης ἀμέσως καὶ δίχα παντὸς διατειχίσματος καὶ
κωλύματος.

101. β. [1] *Περιττὸν μὲν λύχνος ἐν μεσημβρίᾳ, περιττὴ δὲ μέσου χειμῶνος ἡ ἐκ
φρεάτων ἀρδεία, περιττὰ δὲ τὰ γράμματα, πολυφώνου καὶ λάλου τυχόντα τοῦ κομιστοῦ.
[2] ὅτι δ' ἀληθῆ τὰ τῆς γνώμης, μαρτυρήσει σαφῶς ὁ τοῖς παροῦσι διακονῶν· οὐκέτι γὰρ
χώρα παρρησίας αὐτοῖς, ἐπειδὰν οὗτος ἄρξηται μακρηγορεῖν τὰ οἰκεῖα. [3] τῶν ἀφώνων
οὖν τούτων ἀποστὰς συλ|λαβῶν, τὰς ἐμψύχους δέχου φωνάς, καὶ τῷ θαυμαστῷ 44[2]
δημηγόρῳ τὰς ἀκοὰς ὅλας δίδου, ὡς μὴ μάτην τοσοῦτον ἀναλίσκοις τὸ ὕδωρ. [4] θέρους
ὥρα καὶ ταῦτα, καὶ τοσούτου πνίγους ἐπικειμένου, ὅταν ἡ τοῦ ὕδατος χρῆσις ἀναγκαιο-
τάτη πρὸς ἅπαντα, εἴγε δὴ καὶ πρὸς ὕδωρ, ἀλλὰ μὴ μᾶλλον πρὸς οἶνον δημηγορεῖν
αὐτὸς ἕλοιτο. [5] ὁ μὲν οὖν ἀρχέσθω τῆς συνήθους μακρολογίας, ἡμεῖς δ' ἄχρι τούτου
τὴν γραφὴν παρατείναντες, τὸ ἐντεῦθεν τῇ ῥύμῃ τῆς ἐκείνου γλώττης παραχωροῦμεν.*

102. γ. [1] *Ἀκοή τις ἄρα ματαία σοι τοὺς λογισμοὺς ἐθορύβησε, καὶ διὰ τοῦτο νῦν
παρὰ σοῦ γραμματοφόρος ἀνέλπιστος καὶ ἀπροσδόκητα γράμματα. [2] λέγω δὲ τεκμαιρό-
μενος, ἐξ ὧν πολλάκις ζητήσας, οὐδὲ μίαν ἐφώρασα διαβολὴν κατὰ σοῦ. [3] εἰ μὲν οὖν
μέλλοι τις ἔσεσθαι κατὰ τὴν σὴν ὑποψίαν (μὴ μελλήσοι δὲ μηδὲ γένοιτο), τοῦτο[ν] σὺν
θεῷ φυλαξόμεθα, καὶ καθ' ὅσον οἷόν τε, τὸ καθ' ἡμᾶς ἐξασφαλισόμεθα· νυνὶ δὲ τὸ
μάτην* πρὸς ἄνθρωπον φιλεχθρεῖν εἰδότες ἀπειρημένον, τό τε γράμ|μα** ἐπέσχομεν, 45[1]
*καὶ οὐδεμίαν ὑπόνοιαν οὐδενὶ τοιαύτην παρέσχομεν. [4] εἴη δὲ μέχρι τούτου σοι τὰ τοῦ
παροξυσμοῦ προελθεῖν, περαιτέρω δὲ μὴ χωρῆσαι, καὶ μᾶλλον, ὁπόσα πρὸς τὸν αὐτόθι
δυνάστην σου καὶ ἄρχοντα τείνει· ὃς τοῦτο δύναται παρὰ τοῖς νῦν κρατοῖσιν (εὖ ἴσθι)
ὃ καὶ παρ' ἀλλήλοις αὐτοί. [5] ὥστε μή μοι σὺ τόνδ' ἐρεθιζέμεν ἄγριον ἄνδρα, ἀλλ' ὃ
διδάσκεις αὐτός, ὑποταττόμενος πάσῃ ἐξουσίᾳ διὰ τὸν κύριον, τοῖς τε ἄλλοις οἷς ἔχεις
περὶ πάντα πλεονεκτήμασι, καὶ δὴ καὶ τῇ πρὸς τοὺς μείζονας εὐαρμοστίᾳ καὶ ἀνθυπείξει
τὰς τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίας σπεῖδε φιμοῦν, ἐξαγοραζόμενος τὸν καιρόν, ὅπερ
ἤκουσας· ὅτι πονηραὶ νῦν, εἴπερ ποτέ, κατὰ τὸ ῥητὸν αἱ ἡμέραι. [6] τἄλλα δὲ μελήσει
θεῷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, οἵ σε παρὰ πάντα τὸν βίον ἐπὶ χειρῶν αἴρουσι, καὶ*

3 Matthaeus 5, 22 legit *εἰκῇ* cum Chrysostomo suo | 3 *γρὰμμα* codex *Studemund* | 5 Odyssea 9, 494 | 5 Rom 13, 1 Tit 3, 1 | 5 Petr α 2, 15 | 5 Ephes 5, 16 = Coloss 4, 5

ἀροῦσιν (εὖ οἶδα) μέχρι παντός, μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου, μηδὲ
μάστιξ ἐγγίσῃ σοι τοιαύτης διαβολῆς.

103. δ. [1] Καὶ γειτονικοῖς δικαίοις πρὸς σὲ καὶ φιλικοῖς θαρρεῖν ἔχοντες ἐκ πατέ-
ρων ἤδη | καὶ ἄνωθεν, ἓν ἐπ' ἀμφοτέροις αἰτοῦμεν, ἀγαθὲ πλησίον καὶ γεῖτον, ὃν 45[2]
προσάγομεν τοῖτον διὰ γραφῆς, τοῖς ὑπογραφεῦσιν ἐνταγῆναι τῆς περιφανοῦς ἐξουσίας
σου. [2] τὴν δ' ἀντίθεσιν ὅρα σοι διαλυομένην ῥᾳδίως· ἐρεῖς γὰρ (εὖ οἶδα) ὅτι πολλοὺς
καὶ ἄλλους τοιούτους ὑπὸ τῆς δυναστείας ἐπεφορτίσθης. [3] ἀλλ' εἰ δυναστεία τοσαῦτα
παρὰ σοὶ δύναται, τῇ ἀγάπῃ, θαυμάσιε, χώραν μίαν οὐ δώσεις, καὶ ταῦτα βραχεῖαν,
ὁ θερμότατος ταύτης ἐραστής τε καὶ σπουδαστής; [4] δώσεις δηλαδὴ καὶ μεγάλην, κἂν εἰ
καὶ τοιαύτην ἐπιζητήσαιμεν. [5] εἰ οὖν οὐκ εἰς μάτην ἡμῖν ἡ περὶ σοῦ καὶ πίστις καὶ
μαρτυρία, τὸ παρὸν σαφῶς δείξει. [6] καὶ μοὶ χαίρων ὑγίαινε, καὶ πρὸς μείζους ἔτι βα-
θμοὺς περιφανείας καὶ δόξης ἀνυψοῦ καὶ ἀνάβαινε.

104. ε. [1] Τίς προσέβαλε φήμη παρ' ἐλπίδας ἡμῖν; ἡμᾶς χαρτοφύλακας ὁ καλὸς
ἑταῖρος χειροτονεῖ; ἡμᾶς εἰς πράγματα φέρει, καὶ τοῦ κοινοῦ προστάτας προβάλλεται;
τοὺς τὰ μέσα φεύγειν ἐσπουδακότας; τοὺς τὸ Λάθε βιώσας, εἴπερ τις ἕτερος, | τιμᾶν 46[1]
ἐγνωκότας; τοὺς οὐδ' ἄλλον ῥᾳδίως ἐπαινεῖν ἔχοντας ὅστις ἑαυτὸν εἰς ὀχλήσεις τοιαύτας
ἐπιρρίπτει καὶ πράγματα; [2] τὸν οὖν οὕτω μὲν ἔχοντα, τοιούτῳ δὲ βίῳ παρὰ μικρὸν
ἐγγηράσαντα ἔστι νῦν πρὸς ἀλήθειαν ὠθῶν τις εἰς μέσον, καὶ πράττειν νέας ἀρχὰς
καὶ πολιτείαν κελεύων ἐξ ὑπαρχῆς μετιέναι; [3] εὐφήμησον, ἄνθρωπε. ἄπαγέ μοι τούτου
καὶ τοῦ λόγου καὶ τοῦ σκοποῦ· ὁρᾷς γὰρ ὡς [οὐ] πάνυ φιλοδοξοῦμεν ἡμεῖς. ἢ τὴν ἐξουσίαν
θαυμάζομεν; ἢ πρὸς δυναστείας καὶ θρόνους καὶ τιμὰς ἐπτοήμεθα; οἷς τὸν πάντα βίον
ἐξήρκεσε βραχεῖα γωνία, καὶ τὸ πρὸς ἑαυτοὺς καὶ θεὸν διὰ παντὸς ἐπεστράφθαι.
[4] ἄλλως τε κἂν πάνυ τις ᾖ περικαῶς διακείμενος πρὸς ἔρωτα δόξης, πῶς ἂν ἐν το-
σούτῳ χειμῶνι καὶ ταράχῳ πραγμάτων μὴ ὅτι πιστευθῆναι πηδάλιον, ὡς αὐτὸς ἡμᾶς
ἀξιοῖς, ἀλλ' ἢ πρωρεὺς καταστῆναι ἢ καὶ ναύτης γενέσθαι τὸ τελευταῖον προθυμη-
θείη καὶ δέξαιτο, λογισμῷ τε σώφρονι χρώμενος, καὶ ἀσφαλείας ὅλως ἀντιποιούμενος,
δέον ἡσυχῇ κατακεῖσθαί που μᾶλλον, | συγκεκαλυμμένον καὶ τρέμοντα παρὰ 46[2]
τὴν ἀντλίαν αὐτήν, καὶ τοσοῦτον γοῦν ἐντεῦθεν παρακερδαίνειν, ὅσον τὰς ἐκτὸς τρικυμίας
καὶ τὸν ἐπικείμενον κίνδυνον τοῖς ὠσὶ μὲν ἀκούειν, μὴ καθορᾶν δὲ τοῖς ὄμμασιν.
[5] ἐπειδήπερ καὶ τοῦτο ῥᾳστώνην οἶδε φέρειν τινὰ καὶ κουφισμὸν ἐν δεινοῖς, τὸ πόρρω
τοῦ κακοῦ τὴν ὄψιν ἀπάγειν, κἂν μὴ καὶ τὴν ἀκοὴν δύνηταί τις, ἢ τὸν κλύδωνα τελέως
ἐκδὺς καὶ ῥίψας ἑαυτὸν εἰς γῆν ἔξω, ἢ καθεύδων ἐξ ἀκηδίας, ὡς τὸ πρὶν Ἰωνᾶς, καὶ
τὴν αἴσθησιν οὕτω τῆς ἀπειλῆς διαφεύγων. [6] τοῦτο δὴ καὶ ποιήσομεν ἐφ' ὅσον ἑαυτῶν
ἐσμὲν κύριοι· ἔξω σάλου καὶ ζάλης ὥσπερ ἔχομεν νῦν, διαμένειν πειρασόμεθα, καὶ καθ'
ὅσον οἷόν τε, τοῦ ἀσφαλοῦς ἀνθεξόμεθα. [7] ὁ βαθμὸς δὲ τὸν ἄξιον εὑρήσει παρὰ θεοῦ·
πάντως γὰρ οὐκ ἐξέλιπε καὶ νῦν εὐλαβὴς ἀπὸ τῆς γῆς, κατ' ἐκεῖνον τὸν πάλαι προφη-
τικὸν ὀδυρμόν, ἀλλ' ἔστι τις ἔτι συνιῶν ἐν ἀνθρώποις καὶ ἱκανῶς ἔχων ταύτην τὴν
καλὴν λειτουργίαν ἐκπληρῶσαι τῇ ἐκκλησίᾳ. [8] τοῦτον δὴ καὶ ζητείτωσαν οἱ ταύτην
οἰκονομοῦντες. ἡμεῖς | δὲ τὸ μέτρον ἑαυτῶν εὖ εἰδότες, καὶ τόν τε ζυγὸν ὑπὲρ 47[1]

6 Matth 4, 6 Psalm 90, 11 | 3 signum interrogationis ego codice invito posui | 7 Michaeas 7, 2
Psalm ιγ 2

τὸν αὐχένα τὸν καθ' ἡμᾶς τό τε φορτίον ὑπὲρ τὸν νῶτον γινώσκοντες, τούτων μὲν τοῖς ἡμῶν δυνατωτέροις παραχωροῦμεν, αὐτοὶ δ' ἀγαπῶμεν ἐλαφρὰν σωτηρίαν, ἴσως μέν που καὶ ἄδοξον, τὸ δὲ πλέον ἀκίνδυνον. [9]ταύτης τοιγαροῦν εὔχου μὴ διαπεσεῖν σοι τὸν φίλον, ἀλλ' ὑπ' αὔρᾳ πραείᾳ καὶ οὕτως ἡμέρῳ κύματι πρὸς τὸν λιμένα τῆς γαλήνης τοῦ θεοῦ καταντῆσαι, τὸ τραχὺ πέλαγος τοῦτο τοῦ παρόντος αἰῶνος — πολὺ μὲν ἀβρόχως εἰπεῖν· ἀκαταποντίστως δ' οὖν ὅμως — τῇ τῆς ὑψηλῆς χειρὸς κυβερνήσει δυνηθέντα περᾶσαι. [10]τῆς δ' ἐπισφαλοῦς οἶμαι πλέον ἢ ἐπικερδοῦς ἐμπορίας ἐκείνοις μελέτω, τοῖς τὰ κέρδη μεταδιώκουσιν, ὡς μηδὲν δυσχεραίνοιεν πρὸς τὰς καταιγίδας πυκτεύοντες καὶ τὴν ναῦν διὰ κλύδωνος πολλοῦ παραπέμποντες· ἱκανὴ γὰρ πρὸς ἅπαντα τοῦ κέρδους ἡ προσδοκία. [11]ᾧ δὲ λόγος οὐδεὶς χρηματισμοῦ τε καὶ πλούτου, ἄλογον ἐκτόπως καὶ
ἄγροικον | διακινδυνεύειν ἐπὶ ματαίῳ. [12]τοῦτον ἔχεις ἀπόλογον ὑπὲρ φίλου καὶ 47[2]
παρὰ φίλου· ταῦτα προετεινάμεθα καὶ πρὸς τὸ κράτος αὐτὸ καὶ πρὸς τὴν ἑτέραν ἀρχήν, τὴν ἱεράν τε καὶ θειοτέραν· ταῦτα διὰ σοῦ καὶ πρὸς ἅπαντας ἡμῖν ἀπολελογήσθω. [13]αὐτὸς δέ μοι χαίρων ἐμπρέποις ταῖς μεγίσταις ἀρχαῖς, καὶ ὡς δυνατὸς τοῖς δυνάσταις συνεξετάζοιο καὶ συντάττοιο, μέχρις ἂν ὁ μακάριος καὶ μόνος δυνάστης τῆς ἑαυτοῦ σε προσλάβοι μακαριότητος μέτοχον.

105. *ς. [1]Σοῦ καὶ ἀπὸ γλώσσης, ὦ βέλτιστε, μέλιτος ἡδίων ῥέει αὐδή*, καὶ ἀπὸ τῶν χειρῶν (οὐκ οἶδ' ὅπως) ὀρνίθων ἀγέλαι πρὸς ἡμᾶς ἵπτανται ὡς ἐκ καλιῶν τινῶν ἄλλων πολυγόνων καὶ πολυφόρων. [2]ὄψον αὐτόματον, ἀπραγμάτευτος πανδαισία — τὸ θεολογικὸν εἰπεῖν εὔκαιρον —, ὡς μὴ θαυμαστὸν ἡμῖν δοκεῖν ἔτι (καίπερ ὂν θαυμαστόν) τὸ τῆς ὀρτυγομήτρας ἐκείνης, ἣν καὶ προφητῶν θεῖαι γλῶσσαι διὰ θαύματος*
ἄγουσιν, ὡσεὶ ἄμμον ἔβρεξε, λέγουσαι, πετεινὰ πτερωτά· | τὸ γὰρ καθ' ἡμᾶς τοῦτο 48[1]
πρᾶγμα πιστὸν κἀκεῖνο ποιεῖ, τῇ ὁμοιώσει τοῦ θαύματος τὸ πολὺ καταλῦον τοῦ ἐκεῖ παραδόξου. [3]ὥστε σοὶ μὲν εἰ βούλει, μεταμελέτω τῆς τῶν τόπων ἀμείψεως· ὡς ἂν οἷς ποιεῖς, μᾶλλον δὲ δι' ὧν πάσχεις, τὸ τῆς παροιμίας πιστώσῃ, ἀεὶ τὰ πέρυσι βελτίω τιθείσης, καὶ τὸ παρελθὸν τοῦ παρόντος κρεῖττον ὁριζομένης· [4]τοιοῦτον γὰρ ὡς ἐπίπαν τὸ τῆς ἀνθρωπίνης ἀσθενείας ἀψίκορον καὶ δυσάρεστον· μεταβολὴν μὲν πάντων γλυκὺ κατὰ τὸν εἰπόντα νομίζει, ὅταν δὲ μεταβάλῃ πρὸς τὸ τέως ποθούμενον, συνεφέλκεταί πως κἀκεῖσε (τοῦτο δὴ τὸ πάθος καὶ τὸ ἀπόφθεγμα) καὶ οὐδὲν ἧττον πάλιν μεταβολὴν ζητεῖ τοῦ παρόντος, καὶ οὕτως εἰς ἄπειρον αὐτῇ τὸ φιλόκαινον τῆς τοιαύτης ὀρέξεως. [5]πλὴν ὅπερ εἴρηται, σοὶ μέν, εἴπερ δοκεῖ, μεταμελέτω τῆς Παφλογονόθεν ἐπὶ τὸν βουκελλάριον μεταθέσεως, παρ' ἡμῖν δ' οὐδεμίαν χώραν ἕξειν ἡγοῦμαι τὸν τοιοῦτον μετά-
μελον, τῆς σῆς ἀπορίας καὶ πενίας, ὡς φής, οὐ πενιχρῶς οὐγαροῦν, | ἀλλὰ καὶ 48[2]
λίαν πλουσίως καταιρυφῶσι, καὶ τοῖς αὐτόθεν πολλοῖς καὶ φιλοτίμοις δωροφορήμασιν ἐνευπαθοῦσιν οὕτω πολυτελῶς, ἵνα κἂν τούτῳ δόξῃς σεμνότερος αὐτὸς ἑαυτοῦ, λέγων μὲν εἶναι πένης, πλουτίζων δὲ ἄλλους, καὶ πρὸς μέγα παράδειγμα σαυτὸν ἀπεικάζων, εἴγε τὸν πτωχεύσαντα οἶδας, ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτίσωμεν. [6]εὔχομαι δὲ μᾶλλον τὸ ἕτερον ἐφ' ἡμῖν καὶ εἶναι καὶ λέγεσθαι, τὸ »ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς

1 Ilias α 249: nolebam *γλυκιων* scribere | 2 Psalm οζ 27 | 3 Apostolius ις 12 EdeLeutsch corpus paroemiographorum graecorum II 659 | 4 Apostolius ια 31[2] Leutsch II 523 | 5 Corinth β 8, 9 | 6 Iohannes 1, 16

*πάντες ἐλάβομεν«, μὴ μέντοι τοῦ ὑστερήματος, ὡς νῦν παρέχεις ὑπονοεῖν. [7]τοῦτο δὴ
καὶ μαντεύομαι (μάντις ἄριστος ὢν ὡς δεξιὸς εἰκαστής) καὶ μικρὸν ὅσον ὅσον κατε-
παγγέλλομαί σου τῇ ἀδελφότητι (σὺν θεῷ δὲ ὁ λόγος)· μὴ γὰρ δή που τὰ πρῶτά σε
τῆς ἀρχῆς θορυβείτω, ἀλλὰ θαλπέτω τὰ μέλλοντα, ἐπεὶ (καθ' ἅπερ ἀνέγνως) οὔτε ἦθος
ἀνδρὸς εὐθὺς ἁλωτὸν οὔτε χώρας φύσις καὶ ἀρετή, ὅτι μὴ χρόνῳ μακρῷ καὶ συνουσίᾳ
τελεωτέρᾳ. [8]ἃ καὶ σὲ πείσει πάντως οὐκ εἰς μακρὰν (εὖ οἶδ' ὅτι) τὴν παρὰ σοὶ
| νῦν ταύτην κενὴν μακαρίαν καινὴν τρόπον ἕτερον ἀνειπεῖν μακαρίαν, ἐπὰν* 49[1]
*ἁδροτέροις βαλλαντίοις ἐντύχοις καὶ πόλεσι καὶ οἴκοις εὐδαιμονεστέροις καὶ μείζοσι. [9]τῇ
δὲ Κλαυδίου μὴ πάνυ τὰ τῆς ἀπορίας ὀνείδιζε, ἡμιξήρῳ πως οὔσῃ καὶ ἡμιθνήτῳ
διὰ τὸ τοῦ ποιμένος ἡμίτυφλον, ὡς αὐτὸς εἴτε παίζων εἴτε πρὸς ἀλήθειαν γράφεις.
[10]τάχα δέ που καὶ τέλεον ἡ κακοδαίμων ἀποψυγήσεται, ἐπειδὰν ἢ γῆρας βαθύτερον
ἢ καὶ χεῖρες ἄλλαι σοφαὶ τὴν θεραπείαν τῆς ὀφθαλμίας κατὰ τὰς πρώτας ἐκείνας καὶ
τὸν ἕτερον* σβέσωσι τῶν δεσποτικῶν ὀφθαλμῶν. [11]σὺ δ' ἀεί μοι τοιαῦτα λάμποις καὶ
φαίνοις, ὁ τῆς πολιτείας λαμπρὸς καὶ διαυγὴς ὀφθαλμός, καὶ τὴν μεγαλόδωρον χεῖρα
καὶ πλουτοδότιν, εἰ δυνατόν, ἐπέχοις μικρόν, ἵνα μὴ τῶν δύο τὸ ἕτερον, ἢ τυγχάνων
λυπῇς ἢ — τὸ ἀντιστρέφον σιγήσομαι, φειδοῖ τοῦ βλασφήμου.*

106. *ζ. [1]Φιλικοῖς τε δικαίοις καὶ πολλοῖς ἑτέροις θαρροῦντες, ἔτι δὲ τῇ τοῦ λόγου
κοινωνίᾳ πιστεύοντες, ἐβουλόμεθα μέν σοι | φιλικῶς τι καὶ μέμψασθαι καὶ τὴν* 49[2]
*ἀφιλίαν προσονειδίσαι, ἧς εἰ καὶ μηδὲν ἕτερον, ἀλλ' ἥγε τηλικαύτη βαρύτης πρὸς τοὺς
μετιόντας αὐτόθι τὴν τῶν ἡμετέρων οἰκονομίαν ἀψευδὲς κατέστη μαρτύριον, εὐλαβούμενοι
δ' ὅμως αὐτά τε ταῦτα πρὸ πάντων δι' ἃ θαρρεῖν ἔχομεν ἐπιπλήττειν τῷ ἀδικοῦντι,
καὶ προσέτι τὴν ἐξουσίαν, ὡς μὴ μεῖζον τάχα τὸ τραῦμα ποιήσαιμεν ἑαυτοῖς, ἐπιξαίνοντες,
τοῦ μὲν ἐπιτιμᾶν ἀπεχόμεθα, κἂν ἀληθέστατα πάντων ᾖ τὰ θρυλούμενα, ὡς δεξιὰν δὲ
μακρόθεν τὴν ἐπιστολήν σοι ἐμβάλλομεν. [2]καὶ ἀμνηστίαν μὲν ὥσπερ τῶν ἀνιαρῶν
καταψηφιζόμεθα, συνθήκας δὲ ἀσφαλεῖς ὑπὲρ τοῦ μέλλοντος πράττομεν, καὶ τὰ πιστὰ
παρ' ἀλλήλων λαμβάνομεν ἰδοὺ καὶ διδόαμεν, σοὶ μὲν τὴν τῶν φθασάντων διόρθωσιν
ἔτι* καὶ τοιοῦτον γέγονεν ἐπισκήπτοντες, καὶ πρός γε, τὴν εἰς αὐτοὺς ἐκείνους παλινῳδίαν,
ἣν μὴ λόγοις, ἀλλ' ἔργοις (ὥσπερ καὶ τὰ χείρονα λέγεται) καταξίωσον ἐπιδείξασθαι,
ἑαυτοῖς δ' ἐπιβάλλοντες | τὴν τῶν εὐχῶν ὀφειλὴν καὶ τὸ χάριτας εἴσεσθαι τῆς θε-* 50[1]
*ραπείας σοι ταύτης. [3]ὧν καὶ ἤδη μετρίως διὰ τῆς γραφῆς ἀπαρχόμεθα. ἡ ἀπαρχὴ δὲ
τοιαύτη. ὁ τῆς ἀγάπης πατήρ, ἡ ἀγάπη, τοὺς ὑπὲρ αὐτῆς σοι μισθοὺς μεγαλοπρεπεῖς
ἀντιδοίη, δοξάζων μέν σε κἀνταῦθα πρὸς ἀξίαν ὡς δίκαιος, ἅτε καὶ δοξαζόμενος ἐν
σοί τε καὶ παρὰ σοῦ, καὶ μετὰ τὴν ἐντεῦθεν δὲ μεταχώρησιν τῷ τῶν χαρίτων στεφάνῳ
τὴν φιλτάτην ἐμοὶ κατακοσμῶν κεφαλήν σου.*

107. *η. [1]Καὶ πᾶσα μὲν εὐποιΐα τοῖς μὴ πάνυ φαύλοις τὴν γνώμην μηδὲ μικρο-
ψύχοις τὸν ἔλεον ἡδονὴν οὐ μετρίαν οἶδε χαρίζεσθαι, καὶ τοὺς ποιοῦντας οὐχ ἧττον ἢ
τοὺς πάσχοντας τέρπειν· φύσει γὰρ ἡδὺ τὸ καλόν*, καὶ συνδιατίθησιν οὕτω τὴν ἐνερ-
γοῦσαν ψυχήν· ἡ πρὸς τοὺς ἀξίους δὲ μάλιστα τοῦ ἀγαθοῦ κοινωνία τοσοῦτον εὖ ἴσθι
παρ' ἐμοὶ κριτῇ χαριέστερον, ὅσῳ καὶ τιμιώτερον. [2]τίς δ' ἂν ἀξιώτερος δόξειε πρὸς*

9 supra 5 ***Παφλαγονόθεν.*** erat ***Κλαυδίου πόλις*** si Hieroclis Synecdemo 34 fides, ***Ὀνωριάδος.***
vide etiam Nilum Doxopatrium § 247 | 10 ita apographum | 2 scribendumne ***εἴ τι?*** | 1 C[m] ***γνώμη***

τὸ καλόν τι παθεῖν τοῖ ἐν ἀνθρώποις καλλίστου — καὶ διὰ | τοῦτο τοῖς πᾶσι 50[2]
προσφιλοῦς — ἀκολούθου, ὑπὲρ οὗ τάδε γράφεται, κατ' ἐντολὴν αὐτοῦ καὶ παράκλησιν;
[3] *ᾧ καλῶς ποιήσεις προσσχὼν*, καὶ χαρισάμενος ἅπαν τὸ κατὰ γνώμην αὐτῷ· αἰτεῖ γὰρ*
οὐδὲν τῶν ἀδυνάτων ἢ φορτικῶν, ἀλλὰ τὴν τῶν οἰκείων οἰκείωσιν πρὸς σὲ τὸν καὶ
ἄλλως οἰκείως περὶ τὰ καλὰ διακείμενον. [4] *τά τ' οὖν ἄλλα τὸν ἄνδρα τῆς πρεπούσης*
ἀξίωσον αἰδοῦς καὶ τιμῆς, καὶ ὅτι τὸ καθ' ἡμᾶς τοῦτο μέγα πρᾶγμα καὶ σπανιώτατον,
τὴν πρὸς ἀλλήλας φημὶ τῶν ἡμετέρων ψυχῶν — ἀλλὰ πῶς ἂν εἰπεῖν τι προσφυὲς
δυνηθείην; — ἐκ φιλίας ἕνωσιν καὶ ἀνάκρασιν ὡς ἀγχίνους τὰ πάντα καὶ σοφὸς οὐκ
ἠγνόησεν· [5] *ὥστε πείθου, καὶ δίδου διὰ πάντα τὴν χάριν, ἵν' ἔχοις καὶ αὐτὸς οὐκ ἔλαττον*
ἥδεσθαι τῇ τε κατορθώσει τοῦ ἀγαθοῦ καὶ τῇ μαρτυρίᾳ τῆς συνειδήσεως. [6] *τοσοῦτον*
μὲν τὸ ἡμέτερον, ἐπεὶ παρ' ἡμῶν οὐδὲν πλέον ὁ ἀνὴρ ἐπεζήτησε· τὸ δὲ τῆς σῆς
ἀδελφότητος ὀψόμεθα πάντως οὐκ εἰς μακράν, εἰ μὴ προαπέλθοιμεν, καί γε τελεώτατον
ἴδοιμεν καὶ ὅσον ἡ ἐλπὶς | ἐγγυᾶται, ἣν ἐν μηδενὶ καταισχῦναι μηδὲ προδοῦναί 51[1]
σου τὴν εὐγένειαν, τῆς παρ' ἡμῶν εὐχῆς τὸ κεφάλαιον.

108. *ϑ.* [1] *Ὀψὲ μὲν καὶ μόλις καὶ τῆς ἐλπίδος βραδύτερον, ἐπανῆλθε δ' οὖν ὅμως*
ὁ πεμφθείς σοι παρὰ τοὺς πέμψαντας. [2] *χάρις τοίνυν πολλὴ καὶ τῆς ὁτεδήποτε τοῦ*
ἀνδρὸς ἐπανόδου· τὰ τῆς ἀπουσίας γὰρ κατορθώματα θαυμαστῶς ἡμῖν ἀνεπλήρωσε τὸ
τῆς βραδυτῆτος ὑστέρημα, ὧν τὰς ἀποδείξεις σαφεῖς ἀπὸ πλειόνων παρέστησε, μεστὴν
μὲν τὴν χεῖρα δεικνὺς πολυσυλλάβων τινῶν καὶ πολυστίχων γραμμάτων, μεστὴν δὲ τὴν
γλῶτταν καὶ τὸ στόμα φέρων διηγημάτων, ὧν τὸ κράτιστον μέρος αἱ ὑπερφυεῖς εὐφημίαι
καὶ τῶν ἐγκωμίων τὸ πλῆθος, ἃ πλουσίως ῥέει καὶ ἀεννάως ὑπὲρ τοῦ τῆς ἡμετέρας
πατρίδος ἡγεμόνος καὶ ἄρχοντος. [3] *μᾶλλον δὲ κακῶς ὑπεμνήσθην ἅμα λέγων ὑπὸ τοῦ*
λόγου. καὶ σοὶ τἆλλα παρείς, τῆς τε νέας ἀρχῆς καὶ τῆς μείζονος ταύτης ἐπαρχίας
συνήδομαι· οὐκέτι γὰρ Παφλαγόνων, ἀλλὰ Μαρυανδηνῶν ἡγεμόνα σε κλη|τέον καὶ 51[2]
νομιστέον. [4] *ἐῶ γὰρ εἰπεῖν ὅτι Παφλαγόνων καὶ οὕτω κατ' οὐδὲν ἔλαττον, ἅμα μέν,*
ὅτι κοινὸν ἀμφοτέροις τὸ τῆς προσηγορίας τοῖς ἔθνεσιν, ἅμα δ' ὅτι καὶ τούτους οἱ
ἀκραιφνεῖς ἡμεῖς Παφλαγόνες ὡς ἐκείνους ἐξοικειούμεθα. [5] *πλὴν ἀλλ' οὕτω μοι πρόβαινε*
πρὸς τὰ μείζω καὶ τελεώτερα, ἀεὶ τὰ παρόντα τῶν μελλόντων ἐπίβασιν ἐν τάξει ποι-
ούμενος, καὶ ἀπὸ τῶν ἡμετέρων εἰς τὰ ἡμέτερα — οἴκοθέν φασιν οἴκαδε — μεταβαίνων
ἐνδόξως ὁ τοῦ θεοῦ καὶ ἡμέτερος, ἵνα καὶ ἡμῶν τὸ δυσκίνητον — ἢ καὶ πάντῃ ἀκίνητον
— τῷ εὐκινήτῳ τῆς σῆς ἐπιφανοῦς προκοπῆς συμπεριφέρεσθαί πως δοκοίη, καὶ τῆς ἐπὶ
τούτῳ σοι δόξης καὶ χαρᾶς κοινωνοίη, ἣν ὁ κύριος τῆς δόξης ἐπὶ πλέον καὶ πλέον
ἐνδαψιλεύσαιτό σου τῇ τιμιότητι, καὶ τελευτῶν εἰς τὴν ἑαυτοῦ σε μακαρίαν χαρὰν —
ἅτε δοῦλον πιστὸν καὶ ἀγαθὸν — εἰσαγάγοι μετὰ δεξιᾶς καὶ τοιαύτης μαρτυρίας καὶ
ἀναρρήσεως.

109. *ι.* [1] *Ἄλλου μὲν ἄλλο γνώρισμα καὶ γένους καὶ ἀξιώματος, τοῦ δὲ νῦν εὐγε-*
νοῦς τε καὶ | σοφοῦ παραθαλασσίου πρᾳότης τὸ γνωριμώτατον. [2] *ἀπὸ ταύτης* 52[1]
οὖν ἀξιοῦμέν σε, καὶ τοῖς καθ' ἡμᾶς γνωρίζεσθαι πράγμασιν, ἀλλὰ μὴ τοὐναντίον ἀπὸ
τραχύτητος, ἐπειδὴ καὶ τὸ πρᾷον ἐν τοῖς πρώτοις (ὡς οἶσθα) τῶν μακαριζομένων*
ἠρίθμηται· ὧν πολλή τις ἐλπὶς ἀξιωθῆναι καὶ σέ, ὅτι σε βουλόμενον ἴσμεν ἐκ καλοκἀ-

3 Petr β 1, 19 | 7 Rom 5, 5 | 7 *κεφαλαινον* apographum | 5 Matthaeus 25, 21 | 2 Matthaeus 5, 5

*γαθίας τὸ πλέον ἢ δυναστείας θαυμάζεσθαι· [3]καὶ τοῦτο τάχα σοφώτερον ἢ κατὰ τοὺς
πολλοὺς ἐννοοῦντα· ἀγαπᾶται γὰρ* μᾶλλον τὸ πεῖθον ὑπὲρ τὸ βιαζόμενον, καὶ ἀρετὴ
πολλῷ πλέον ἐξουσίας αἰδεσιμώτερον.*

110. *ια.* [1]*Ναί, θεοῦ ἄνθρωπε, ἴσμεν ὅπως οἱ νόμοι τοῖς καθ' ὑμᾶς κλεπτοτε-
λωνήμασι καὶ ταῖς περὶ αὐτὰ κακουργίαις ἀπαραίτητοι κάθηνται καὶ βαρεῖς κολασταί,
ἀλλ' ἐκείνων αὖθις καὶ τοῦτο, τὸ ταῖς ἀγροικίαις ἐνίοτε τῶν πλημμελούντων συντρέχειν,
καὶ ταῖς τοιαύταις ἀγνοίαις συγγινώσκειν ὡς τὰ πολλά, διαφοράς τε προσώπων ἐπι-
σκοπεῖν καὶ ποιότητας, καὶ τίς μὲν ἐστὶ δόλου καὶ πανουργίας δεκτικός, | τίς* 52[2]
*δὲ τοιαύτην αἰτίαν ἀπίθανος ἀναδέξασθαι, ἐπὶ πᾶσι δὲ τὸ φιλάγαθον καὶ τὸ ἐπικλίνειν
ἀεὶ τὴν ὀρθὴν καὶ ἀπαρέγκλιτον πλάστιγγα τῆς δίκης τῷ κινδυνεύοντι. [2]διὰ ταῦτα
δεόμεθα μάλιστα μὲν τῇ τῆς ἀκριβεστέρας κρίσεως στάθμῃ καὶ νῦν ὑποβληθῆναι τὸ
πρᾶγμα, μήποτε ματαίως ἀποδειχθεῖεν οἱ ἄνθρωποι καὶ πρὸς ἐπήρειαν μᾶλλον ἢ κατά
τινα τρόπον ἐγκαλούμενοι δίκαιον· εἰ δ' οὖν, ἀλλὰ κἂν ἁλῶσιν, φιλανθρωπότερον μᾶλλον
ἢ δικαιότερον δι' οὕσπερ ἔφαμεν λόγους οἰκονομηθῆναι τὰ κατ' αὐτούς, οὕτως ὡς ὁρᾷς
ἔχοντας ἀκάκως καὶ ἀπονήρως. [3]τὸ γὰρ γένος τοιοῦτον, οἱ ἁπλοϊκοὶ Παφλαγόνες, οἳ
οὐκ ἔγνωσαν (καθ' ἅπερ ἀκούεις) δεξιὰν ἢ ἀριστεράν· τοσοῦτον ἀπέχομεν πανουργίας
καὶ δόλου, ἐπειδὴ τοῖς ὁμοεθνέσι συγκινδυνεύει καὶ τὸ ἡμέτερον. [4]Ἵν' οὖν συνέλω τὸ
πᾶν· εἰ μὲν φανεῖεν παντάπασιν αἰτίας ἐλεύθεροι, ἄφες, ὦ δίκαιε προστάτα τῶν νόμων,
τῷ τε νόμῳ καὶ τοῖς δικαίοις· εἰ δὲ μή, θεῷ τῷ οἰκτίρμονι, ὡς καὶ αὐτὸς ὢν οἰκτίρμων
καὶ τὴν τοῦ θεοῦ μιμεῖσθαι φιλανθρωπίαν | ὡς πατρικὴν κελευόμενος· ὀκνῶ γὰρ* 53[1]
*εἰπεῖν ὅτι καὶ ἡμῖν ὡς φιλάδελφος. [5]διὰ πάντα δ' οὖν ὅμως, εἰ συγχωρεῖς καὶ τὸ τρίτον,
ἀφεθήτω πάντως τὸ πᾶν, ἢ τὸ πλέον γ' οὖν, τοῖς ἀθλίοις, ἵνα καὶ τῇ σῇ εὐγενείᾳ
καθαρῶς ἀφεθείη χωρὶς ἀκριβολογίας καὶ τοιαύτης σφοδρᾶς καὶ αὐστηρᾶς ἐξετάσεως.*

111. *ιβ. Ἔχει φάναι βραχύ τι πρὸς τὴν σὴν ἀδελφότητα ὁ τῆς ἡμετέρας χρονίου
προσλαλιᾶς ὑπηρέτης· τούτῳ τοίνυν οἷς ὑποσχών, καὶ παρασχὼν ὃ ζητεῖ, ἡμῖν τε τοῖς
σοῖς ἐπιεικῶς χαριῇ καὶ πρὸ ἡμῶν τῷ θεῷ, ὃς ἀξίως παρέσχε σοι νῦν τε δύνασθαι μέγα,
καὶ τὸ μείζω δυνήσεσθαι πρὸς τὸ μέλλον παράσχοι.*

112. *ιγ. Εὐεργετεῖ καὶ θεός — καὶ τίς γὰρ ἄν, εἰ μὴ οὗτος; — ἀλλὰ τὰ πολλὰ μέν,
ταχύνων, ἐνίοτε δέ, τὴν ψυχὴν αἴρων πρότερον· σὺ δ' ἐφ' ἱκανὸν βασανίσας τὴν ἡμε-
τέραν, ὁ θεὸν πιστευόμενος ζηλοῦν οἷς ποιεῖς, καὶ σχεδὸν αὐτὴν ἄρας ταῖς ἀναβολαῖς
τῆς χρηστότητος, δὸς ἡμῖν ἤδη, κύριέ μου μακρόθυμε, δὸς τὴν χάριν ποτέ, πρὶν εἰς τέλος
ἐκλίπωμεν, ἐπεὶ τὸ ψυχῶσαι πάλιν θανόντας θεοῦ μόνου πάντως, οὐχὶ καὶ σόν.*

| **113.** *ιδ. [1]Μίαν ᾐτησάμην παρὰ σοῦ τοῦ κυρίου μου. ταύτην πάντως* 53[2]
*ζητήσω, καὶ οὐ πρὶν ἀνήσω παρενοχλῶν, ἄχρις ἂν καὶ ἀνύσω τι, θεοῦ συνεφαπτομένου.
[2]ἡ δὲ σὴ περιφάνεια τῶν δύο θάτερον τούτων· ἢ σπευσάτω τὴν δόσιν, τὰς προφάσεις ἀπω-
σαμένη, καὶ τῆς ἐπαχθείας θᾶττον ἀπαλλαγήτω, ἢ πρὸς τὴν αὐτῆς ἀηδίαν εὐγενῶς με-
γαλοψυχείτω. [3]πρὸς δὲ τούτοις ἢ καὶ* πρὸ τούτων δοθείη καὶ ταύτῃ παρὰ θεοῦ τὰ
αἰτήματα. πλὴν μὴ οὕτω βραδέως, ἵνα μὴ ἡ πίστις ἐκλίπῃ διὰ τὸ τῆς ἀνθρωπίνης ἀ-
σθενείας ὀλίγωρον.*

114. *ιε. [1]Βαρύνω μὲν ἴσως, ἀλλὰ καὶ ὠφελῶ τι βραχύ· ἵνα καὶ βραχύ τι καυ-*

3 *γνωμη* C^m | 1 Timoth *α* 6, 11 | 4 Ionas 4, 11 | 1 Regn *γ* 2, 20 | 3 *ἢ καὶ* C², ****ἢ* C¹? *Studemund*

*χήσωμαι. [2]τίς δὲ ἡ ὠφέλεια; ἀφορμάς σοι παρέχω τῆς πρὸς τὸν Θεὸν Θεραπείας· ἄλλας
μὲν ἄλλοτε, Θαρρῶν σου τῷ φιλαγάθῳ· τὰ δὲ νῦν, ταύτας δή, τόνδε προσάγω σοι καὶ
τόνδε καὶ τόνδε. οἷς πᾶσιν ἀναλόγως ἐκπληρώσας τὰ πρὸς τὴν χρείαν, καὶ αὐτὸς
ἀντιτύχοις παρὰ Θεοῦ τῶν αἰτήσεων.*

115. *ις. Δεξιάν σοι φιλίας τὴν γραφὴν ἐμβάλλω | μακρόθεν, καὶ βεβαιῶ* 54[1]
*τὰς συνθήκας, καὶ συνάγω τὴν εὔνοιαν. σὺ δέ μοι καὶ χαῖρε καὶ τοῖς ἴσοις ἀμείβου,
καὶ σαυτὸν ἀξίου χαρίζεσθαι τοῖς ὀφθαλμοῖς ἡμῶν εἰς καιρόν.*

116. *ιζ. [1]Ἦν μὲν ὡς ἔοικεν ἀγρυπ[ν]εῖν ἀναγκαῖον τὸν συνοικοῦντα χαλκεῖ κατὰ
τὸν δημόσιον λόγον, ἀλλὰ τὸν ἀνδρὶ φιλολόγῳ καὶ ζητητικῷ προσδιαλεγόμενον οὐκ
ἔνεστιν ἴσως οὐδὲ τὴν ἀρχὴν ἀπονυστάξαι καὶ ῥαθυμῆσαι, τοῖς πυκνοῖς προβλήμασι καὶ
ζητήμασιν οἱονεί τισι μύωψι τὰ ὦτα περιβομβούμενον, καὶ πρὸς ἕκαστον τούτων ὡσ-
ανεὶ πρὸς νύγματα κέντρων τὴν διάνοιαν ἐγειρόμενον. [2]ὅπερ πάσχοντες ἴσμεν καὶ
αὐτοὶ πρὸς τὰ σά· λάλον γάρ τι τὰς πεύσεις καὶ περιττὸν χρῆμα σύ (ἐπειδὴ λέγειν χρὴ
πρὸς τὸν φιλαλήθη σὲ τἀληθῆ), ὃς οὐ μόνον παρὼν συνεχῶς με τούτων τοὺς λόγους
ἀναγκάζεις ὑπέχειν, ἀλλὰ καὶ μακρόθεν οὐ παύῃ τὰς ἐν ἡμῖν ἐννοίας κινῶν καὶ πρὸς
ἀποκρίσεις καὶ λύσεις τῶν προτάσεων ἐκκαλούμενος, ὡς μὴ πάνυ τάχα σχο|λά-* 54[2]
*ζοιμεν ἠρεμεῖν καὶ καθεύδειν. [3]ἀκούοις οὖν ἤδη καὶ περὶ τῶν ἐν χερσὶν ἃ φρονοῦμεν·
τί γὰρ ἂν καὶ ἀναβαλλοίμεθα πρὸς τὸν οὐκ ἀνήσοντα πάντως, ἄχρις ὅτου καὶ λάβοι;
[4]τὸν μὲν οὖν πρῶτον λόγον ποιήσομαι καὶ αὐτὸς περὶ αὐτοῦ τούτου δὴ τοῦ Τὸν μὲν
πρῶτον λόγον ἐποιησάμην, εἶτα δὲ καὶ τῶν ἄλλων σοι τὰς εὐθύνας ἐκτίσω· ἀλλ' ἀνά-
σχου καὶ μῦθον* ἐπὶ τὴν συνηγορίαν με προσλαμβάνοντα. [5]ἤρετό τις ποτὲ τὸν ἐλέφαντα
ποῦ τὰ γόνατα ἔχει· ὁ δὲ μελλήσας οὐδέν, ἀλλὰ τὴν κάμηλον δείξας Ἐν τοῖς ὀπισθίοις,
εἶπεν, ἐκείνης· τὸ γὰρ ἐλλεῖπον ἐμοί, φησίν, ἐπλεονέκτησεν αὕτη, δυσὶν ἀνθ' ἑνὸς ἐν
τοῖς κατόπιν χρωμένη. [6]κἀμοί τι παραπλήσιον ἔπεισιν ἐπὶ τῷ ζητήματι τούτῳ χαριεν-
τίσασθαι. ὅτι ὁ σύνδεσμος οὗτος — ἤγουν ὁ »μὲν« — ἐκεῖ τὴν ἀνταπόδοσιν ἔχει, ἐν τῷ
»τί δὲ οἱ Μακκαβαῖοι«*, ἔνθα καὶ δοκεῖ περιττεύειν ὁ σύ[ν]δεσμος ὁ λείπων ἐνταυθα. δεῖ
τοιγαροῦν ἐκεῖνον τὸν »δὲ« παρὰ τὸν »μὲν« τοῦτον ἄγειν, ἵν' ἀλλήλοις ἀλλήλους ἀπο-
δόντες | τοὺς συγγενεῖς, τὴν συζυγίαν οὕτω συναπαρτίσωμεν, καὶ μὴ χωρὶς ἑκά-* 55[1]
*τερον χωλεύειν** ἐάσωμεν, μηδὲ παρίδωμεν ἔρημον τοῦ συζύγου καὶ προσδεᾶ. [7]ἀλλὰ
ταῦτα μὲν ὥστε καὶ παιδιᾷ τι χαρίσασθαι, τὰ τῆς σπουδῆς δὲ τοιαῦτα. ἔστι τι τοιοῦτον
ἐν σχήμασι, παρὰ ποιηταῖς τὰ πολλὰ καὶ λογογράφοις εὐδοκιμοῦν, ὃ τοὺς συνδέσμους
τούτους χωρίζει, καὶ ἑκατέρῳ χρᾶται καθ' ἑαυτόν· καλοῦσι δὲ τοῦτο ἀναπόδοτον καὶ
ἀμέριστον. ἅπερ οἶμαι καὶ ἄμφω τὸ αὐτὸ παριστᾶν. [8]ἐπεὶ γὰρ πολὺ τοῖς συνδέσμοις
πρὸς ἀλλήλους τὸ συγγενὲς, ὅτε μὲν συμπαράκεινται, δοκοῦσι καθ' ἅπερ ἐκ διαγράμ-
ματος ἀλλήλοις ἀντιδιαιρεῖσθαι καὶ πρὸς ἀλλήλους μερίζεσθαι καὶ συμμερίζειν τὸν
λόγον, εἶτα πάλιν ἀλλήλοις ὡς ἐκ χρέους ἀνταποδίδοσθαι· ὅταν δὲ καθ' ἅπερ ἐνταῦθα
χωρισθῶσιν ἀλλήλων, οὐχ οἷοί τε εἰσὶν ἔτι σῴζειν ἐνεργείᾳ ταύτην τὴν σχέσιν, εἰ καὶ
σῴζουσί πως δυνάμει, ἀλλὰ καθ' ἑαυτὸν ἑκάτερος μένει, μοναδικὸς καὶ ἀσύζευκτος·
ὅθεν ἀμέ|ριστοι καλοῦνται καὶ ἀναπόδοτοι, ὡς μηδέτερος ἔχων τὸν ἑαυτοῦ κοι-* 55[2]
νωνόν, πρὸς ὃν καὶ μερίζεσθαι καὶ συνάγεσθαι πέφυκε· καθ' ὃ καὶ δοκοῦσιν ἐλλιπεῖς

4 Act 1, 1 | 4 Cm *μῦθος* | 6 Gregor Nazianz I 286 Benedict | 6 Epiphan in PdeLagarde Symmictis II 158, 94

τε καὶ ἀτελεῖς, ὁ μὲν ἀναπαύσεως, ὁ δ' ἀναφορᾶς ἀμοιρῶν, καὶ ὁ μὲν οἷον ἄπους,
ὁ δὲ οἷον ἀκέφαλος θεωρούμενος. [9] καὶ διεζευγμένοι γε μέντοι κατορθοῦσί τι πλέον,
ὁ μὲν »δὲ« συνεισάγων ὑπόνοιαν ἑτέρων πραγμάτων ὡς ἤδη προλελεγμένων, ἐφ' ἃ
παραπέμπει τὴν διάνοιαν τοῦ ἀκούσαντος. [10] ἀμέλει τὸ προκείμενον τοῦτο »τί δὲ οἱ
Μακκαβαῖοι« συγγραφὴν ἑτέρων ᾐνίξατο θεολογικῶν ἐγκωμίων, διαπονηθέντων ἤδη τῷ
μεγάλῳ καὶ συνταχθέντων, ὡς εἶναι τοιοῦτον τῷ συνδέσμῳ τὸν νοῦν, εἴ τις ἀναπτύξαι
θελήσοι· Τὰ μὲν δὴ κατὰ τὸν θεῖον Κυπριανὸν (φέρε εἰπεῖν) ἢ τὸν μέγαν Ἀθανάσιον
τὴν προσήκουσαν ἀπέχει παρ' ἡμῶν εὐφημίαν· τί δὲ οἱ Μακκαβαῖοι; οὐκ ἄξιοι καὶ οὗτοι
τῶν ὁμοίων τυχεῖν; πᾶς τις ἂν εἴποι — ὥστε διανοίᾳ προείληπται τοῦ »δὲ« καὶ ὁ »μέν«,
κἂν μὴ καὶ τοῖς ῥήμασι συνεκ|φαίνηται· ὁ »μὲν« δὲ τὸ ἕτοιμον τῆς γνώμης 56[1]
παρίστησι, καὶ δηλοῖ σχεδιάζειν ἐξ ὑπογύου τὸν λέγοντα. [11] ἀρξάμενος γοῦν τινὰ περίοδον
δῆθεν ἢ καὶ ἄλλο τι σχῆμα τῶν τεχνικῶν ἐκτορνεῦσαι, πρὶν ἐκεῖνο περᾶναι, ἀπηνέχθη
πρὸς ἕτερον τῇ ῥύμῃ τοῦ λόγου· τοσούτων ἐμπέπλησται τὸ στῆθος ἐνθυμημάτων ὁ
γεννάδας ῥήτωρ ἐκεῖνος, καὶ οὕτω τὰ ἔνδον πλημμυρεῖ τοῖς νοήμασιν, ὅς γε τὴν μνήμην
τοῦ ἐν χερσὶ θεωρήματος τῷ τάχει τῆς ἐπιφορᾶς τοῦ δευτέρου ὥσπερ κύματος ἐπεκλύσθη.
[12] ὁρᾷς ὅση δύναμις ἔνεστι τοῖς ἀνὰ χεῖρα συνδέσμοις, κἂν μονοσυλλαβίᾳ στενοχωροῖντο.
[13] ἀλλ' οὐδὲν ἔτι ταῦτα πρὸς τὴν ἄλλην τῆς τέχνης σοφίαν καὶ θεωρίαν, ἣν ὁ ὑπερόπτης
σὺ πάντων ἀποπροσποιεῖσθαι τολμᾷς. [14] ἡμῖν δ' οὖν τοσαῦτα πρὸς τὸ πρῶτον ἐρώ-
τημα τὸ Δέ, πλεῖστα μὲν πράγματα τοῖς ἐξηγηταῖς παρασχόν, σοὶ δὲ καὶ κληθὲν καὶ
νομισθὲν ἀνακόλουθον, [ὃ] ἐμοὶ πραγματείας οὐδὲ μιᾶς δοκεῖ δεῖσθαι, ἀλλ' αὐτόθεν ἔχειν
τὴν δήλωσιν. [15] ἐρῶ δὲ καὶ πῶς »Ἢ βούλεσθε· καὶ γὰρ ἐγὼ σήμερον | ἑστιάτωρ 56[2]
ὑμῖν«. τοῦτο μὴ καλῶς διαιρούμενον, οὐ καλὴν ἀποδίδωσιν εἰκότως τὴν θεωρίαν, εἰς
πολύν τινα πλάνον τοὺς ἰχνηλατοῦντας ἐμβάλλον, ἐπειδήπερ ἅπαξ ὑπ' ἀπειρίας ἀπε-
σφάλησαν τῆς εὐθ[ε]ίας· οὐκ ἂν γὰρ (εἶπεν ὁ λόγος) ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς
δὲ μὴ διέλῃς, ἵνα προσηκόντως δανείσωμαι ῥητὸν οὐ προσῆκον. [16] ἄλλοι μὲν οὖν
ἄλλα φασί, καὶ οὐκ ὀλίγα πάντες, ὡς οἶσθα· τὸ παρ' ἡμῶν δὲ τοιοῦτον. οὔτ' ἐν
ἐπιρρήμασι τάττομεν τὸ προκείμενον »ἢ«, οὔτε περισπῶμεν δασύνοντες, κατὰ τοὺς πλείους
ἐκείνων, ἀλλ' ἄντικρυς λέγομεν διαζευκτικὸν εἶναι σύνδεσμον, ἀναγινώσκομεν δὲ καθ'
ὑπερβατὸν οὑτωσί· Ἢ βούλεσθε ἐγὼ τὸν περὶ τούτων παραθῶ λόγον ὑμῖν; τὸ δὲ »καὶ
γὰρ ἐγὼ σήμερον« ἐπεμβολὴν λογιζόμεθα κατασκευῆς ἐξ αἰτίας, τοῖς τεχνικοῖς ἑπομένην
ὅροις καὶ νόμοις. [17] ἐπεὶ γὰρ ἠξίωσεν ὁ πατὴρ τοὺς παρόντας ἐν θείοις τρυφῆσαι
λόγοις καὶ διηγήμασιν, ὥσπερ ἀποροῦντας αἰσθόμενος, πόθεν ἂν εὐπορήσαιεν τοιαύτης
τρυφῆς, ἐρωτῆσαι μὲν οὐκ ἀνέ|χεται »μή τι οὖν ὑμεῖς ἔχετε τοιοῦτον παρ' 57[1]
ἑαυτοῖς;«, ἐπιστρεφῶς δὲ μάλα καὶ ἀνδρικῶς ἀποκινδυνεύει πρὸς τὸ ἑξῆς »ἢ τοῦτο μὲν
ἀπαρνεῖσθε,« — δῆλον ὅτι κατὰ τὸ σιωπώμενον — »βούλεσθε δὲ τὴν παρ' ἡμῶν μᾶλλον
τράπεζαν;«. τοῦτο ἡ τόλμα καὶ τὸ κινδύνευμα· τὸ δὲ τοῦ βουλήματος εὔλογον »καὶ
γὰρ ἐγώ« φησι »σήμερον ἑστιάτωρ« ἤγουν διδάσκαλος. [18] εἶτα μεταξύ τι παρακομπάσας,
μᾶλλον δὲ πεποιθότως τὸ ἑαυτοῦ παραστήσας, καὶ τὴν κατὰ πάντων ὁ πάνσοφος ἀνα-
καλύψας ὑπεροχὴν ἐν τῷ δοκεῖν μετριάζειν (ταῦτα γὰρ αὐτοῦ τὰ σοφώτατα), ἐπεὶ τε-
θαμβημένους ἅπαντας εἶδε καὶ σιγῇ τὸν ἐκείνου λόγον προσδεχομένους, ὅ,τι δήποτε

10 Gregor Nazianz I 437 386 [anni 1778] | 12 μονοσυλλαβίαι codex | 15 Genesis 4, 7

*φθέγξαιτο, ἁρπάζει ταχὺ τὴν σιωπὴν ὡς κατάθεσιν, καὶ τόν τε λόγον ἑδράζει, τὴν
βάσιν ὑποθεὶς ἀσφαλῆ, καὶ ἀναπαύει θαυμαστῶς τὴν διάνοιαν τῇ ἐπαγγελίᾳ τῆς ἐγχει-
ρήσεως, »ἄρξομαι δὴ« λέγων »ἐντεῦθεν«. 19 τὸ δὲ κατὰ πεῦσιν ἐκφέρειν τὸ »η« καὶ
περισπᾶν, ὡς ἀντὶ τοῦ ἄρα παρειλημμένον, ἀπολογίας μὲν τινὸς ἔχεται, διασπᾷ δὲ τοῦ
λόγου τὸ συγκεκροτη|μένον καὶ συμφυές, καὶ δείκνυσί πως τὰ μέρη κεχηνότα καὶ* 57[2]
*ἀσυνάρτητα, ὡς νομίζεσθαί τινος ἔξωθεν ἐχεκόλλου δεῖσθαι φαρμάκου, οὕτως ἀνοικείως
ἐχούσης τῆς ἐπαγωγῆς πρὸς τὰ προηγούμενα. 20 ἐῶ γὰρ εἰπεῖν ὅτι καὶ καταβάλλει τὸν
ὄγκον λεληθότως εἰς ὑπτιότητα τῇ τοιαύτῃ μικροπρεπείᾳ, καὶ οὐδὲ τοῦ βιαίου παντά-
πασιν ἀπηλλάχθαι δοκεῖ· ἔτι δὲ μᾶλλον αὐτά τε ταῦτα καὶ τὸ ἀσαφὲς ἐπ' αὐτοῖς καὶ
ἀπερινόητον προσάπτουσι τῷ ῥητῷ οἱ καὶ περισπῶντες ἅμα τὸν σύνδεσμον καὶ δασύ-
νοντες, ὡς τὸ »καθ' ἃ« δηλοῦν θέλοντα, καὶ μέντοι καὶ ἀναπαύοντες τελείᾳ τὸ »βού-
λεσθε«, εἶθ' ὡς ἐξ ἑτέρας ἀρχῆς τὸ »καὶ γὰρ ἐγὼ σήμερον« ἀξιοῦντες ἐκδέχεσθαι.
21 ἔχεις οὖν ὡς ἐβούλου καὶ αὐτὸς τὸ »ἢ βούλεσθε« κατά γε τὸ ἡμῖν ἐφικτόν. 22 Ἡ δὲ
τοῦ Σόλωνος ἀπληστία κἀκείνου κατέψευσται, σαφῶς ἴσθι, πάτερ, καὶ τοῦ καταψεύσασθαι
ταύτην οὐκ ἐνδίκως ὑπειλημμένου· ὁμοίως γὰρ ἥ τε πρᾶξις τοῦ ἀνδρὸς ἀλλοτρία, καὶ
ὁ λόγος τοῦ λέγοντος, μᾶλλον δὲ τοῦ μὴ λέγοντος, συκοφαντουμένου δὲ λέγειν. 23 τίς
γὰρ ἄμεινον ἐκείνου | τὴν Σόλωνος ᾔδει περὶ χρήματα μεγαλοφροσύνην; τίς δὲ* 58[1]
*μᾶλλον ἠπίστατο τὸ κατὰ Σόλωνά τε καὶ Κροῖσον πρᾶγμα καὶ θαῦμα, ὃ καὶ ὄχλος δημώδης
περιφόρητον ἔχει πανταχοῦ καὶ ἀοίδιμον; 24 ᾔδει* μὲν οὖν καὶ ταυτα μάλιστα πάντων
ἐκεῖνος, ὁ πᾶσαν καὶ θείαν καὶ ἀνθρωπίνην γνῶσιν περιλαβὼν καὶ πολυμαθείᾳ καὶ
ἀκριβείᾳ τοὺς ἐλλογίμους πάντας παρενεγκών· ἀλλ' οὐ Σόλωνος ἐνταῦθα καθήψατο, οὐ
μὲν οὖν οὐδ' ἐμέλλησεν· ἴσον γὰρ ὑπελάμβανε Σόλωνά τε σκώπτειν εἰς ἀπληστίαν καὶ
Ἡρακλῆν*[sic] *εἰς δειλίαν. 25 ἀλλὰ τίνα τὸν ἄπληστον προθεὶς διασύρει; τὸν ταῖς ἀληθείαις
ἀπλήστως καταχρησάμενον τῷ λυδίῳ χρυσῷ, ὃν καλῶς στηλιτεύουσιν αἵ τε θύραθεν
ἱστορίαι καὶ αὐτὸς ἀλλαχοῦ, οὕτω λέγων ἐν τοῖς ἐμμέτροις*

Ἀλκμαίωνος δὲ τίς τόδ' αἰνέσει ποτέ;
ὃς πρῶτ' Ἀθηνῶν τῶν ἀοιδίμων φέρων
τοσοῦτον ὤφθη χρημάτων ἡττώμενος
ὅσῳπερ εἰκὸς ἦν φανῆναι κρείττονα·
Κροίσου γὰρ αὐτὸν πλέοσι δεξιουμένου*

καὶ ἐφεξῆς τὰ τῆς ἱστορίας· εὑρήσεις δὲ | τοὺς ἰάμβους ἐν τοῖς περὶ ἀρετῆς 58[2]
*αὐτῷ γεγραμμένοις. 26 οὐκ ἄρα Σόλων ἦν, ἀλλ' Ἀλκμαίων ὁ εἰς ἀπληστίαν κἀνταῦθα
παρὰ τοῦ πατρὸς κωμῳδούμενος· ἧττον γὰρ ἔγωγε προσέχω τοῖς ἀντιγράφοις ἢ τῇ ἀλη-
θείᾳ τοῦ πράγματος, ἐπεὶ καὶ ἄλλως οὐκ ἔχω συνορᾶν ἐν αὐτοῖς τὸ καθαρὸν καὶ ἀκί-
βδηλον ὑπὸ τοῦ χρόνου σῳζόμενον. 27 Τὸν τεσσαρεσκαιδέκατον* μέντοι καὶ ἡμεῖς οὕτω
γράφομεν, κατ' ἀναλογίαν μὲν οὐδεμίαν, κατὰ συνήθειαν δέ· ἦν μὲν γὰρ τὸ ἐντελὲς
τῇ συνθήκῃ τεσσαρασκαιδέκατον λέγειν· ἀλλ' ἐπεὶ τὴν λέξιν πολύτροπον ἔδει καὶ πο-
λυσχημάτιστον γίνεσθαι, βιαζομένην ἁρμόζεσθαι πρός ἑκάστην τε πτῶσιν καὶ πρὸς
ἕκαστον γένος, ὡς ποτὲ μὲν αὐτὴν τεσσαρακαίδεκα λέγεσθαι, ποτὲ δὲ τετρασικαίδεκα,*

21 Gregor naz I 110[4] | 23 *ᾔδει* C[2], *ἤδει* C[1] | 25 Gregor Nazianz carm 10, 294 = II 428 | 25 codex *πλειοσιν*, correxit Lagarde | 27 ex oratione ipsa sequitur *τεσσαρισκαιδέκατον* scripsisse Iohannem

*καὶ τεσσαρεσκαίδεκα πάλιν, διὰ τὴν τοιαύτην οἶμαι δυσχέρειαν παρεῶσθαι μὲν τούτους
τοὺς ποικίλους μεταπλασμούς, τὸ ἰῶτα δὲ μόνον τὴν τῶν πάντων χρείαν πεπληρωκέναι,
ἤτοι σημασίαν ἐπιρρημα|τικὴν ὑπεμφαῖνον, ὡς ἐκ τοῦ τετρακισκαίδεκα τάχα μετα-* 59¹
*πεπλασμένον εἰς τὸ τεσσαρισκαίδεκα, καθ' ἅπερ ἤδη τινὲς καὶ τὸ τρισκαίδεκα οἴονται,
ἢ ὡς τῶν ἄλλων συλλαβῶν καὶ στοιχείων ἁπλούστερον, καὶ διὰ πάντων ἰέναι φερωνύμως
διὰ λεπτότητα, καὶ πᾶσιν ἐμπρέπειν ὁμαλῶς καὶ συμβαίνειν οἷς προστίθεται πεφυκός·
[28] ἀλογώτερος δὲ τῆς συνηθείας ὁ καινισμὸς περὶ τὸ ἑκατονταπλάσιον φαίνεται· τί γὰρ
τοῦτο τὸ »τα«; πῶς ἐνταῦθα τὴν ἀρχὴν παρεισέδυ; οὐκ οἴδαμεν πόθεν ἐστίν*. ἴσμεν
γὰρ ἑκατόγχειρα, καὶ πόλεις ἑκατομπύλους, καὶ θυσίας ἑκατομβοίους, καὶ μαρτυροῦμεν
αὐτοῖς τὸ παρὰ τῆς ὀρθογραφίας ἀνάλογον· ἑκατοντάριθμος δὲ καὶ Τυφῶν ἑκατοντα-
κέφαλος τέρας εἶναι δοκεῖ, τοῦ καινοῦ τούτου »τα« καθ' ἅπερ ἑτέρας κεφαλῆς παρὰ
φύσιν ταῖς ἑκατὸν ἐκείναις συνεκφανέντος. [29] καὶ μὲν δὴ καὶ ἄλλα πλεῖστα τοιαῦτα
παρὰ γνώμην τῆς ἀκριβείας κεκαινοτόμηκεν ἡ συνήθεια, ἐφ' οἷς τυραννικῶς | ἐπε-* 59²
*κράτησεν, ἐκείνην παρωσαμένη. [30] ἀλλ' ἡμῖν ἄχρι τούτων· οἷα γὰρ καὶ ποιεῖς, ὁ μὴ
νόμον ἔχων ὡς δίκαιος; παρανομεῖν κἀμὲ πείθεις ἀφειδῶς ἐν τοῖς γράμμασι τοὺς
ὅρους τῶν τύπων τῶν ἐπιστολικῶν ὑπερβαίνοντα, καὶ λυμαινόμενον πήχει τηλικούτῳ τὴν
συμμετρίαν. [31] αὐτὸς μὲν οὖν ἔχοις ἀπλήστως περὶ τὸ ζητεῖν τὰ τοιαῦτα καὶ συνδιαπορεῖν
τοῖς σχολάζουσι (καλὸς γὰρ ὁ πόνος, καὶ πολυκερδὴς τῷ πονοῦντι)· τοσαῦτα δὲ μόνον
παρ' ἡμῶν λαβὼν τέως, ζήτει καὶ καιρὸν πάλιν ἄλλον ἐπὶ τοῖς ἄλλοις ζητήμασι· καὶ
μοὶ τὴν ὄντως ἐν κυρίῳ χαῖρε χαράν, αὐτοῦ τε τούτου κἀμοὶ διά τε τῶν ἡδίστων γραμ-
μάτων σου διά τε τῶν εὐχῶν μεταδίδου.*

117. *ιη.* [1] *Τί μοι κόπους παρέχεις, ἡγιασμένε πάτερ, οὐκ ἀναγκαίους, ἐκεῖνα παρ'
ἐμοῦ μαθεῖν ἀπαιτῶν, ἅπερ ἄμεινον οἶδά σε τῶν ἄλλων εἰδότα, καὶ περὶ τούτων
προσάγων συνεχεῖς μοι τὰς πεύσεις, ἃ πάντων μᾶλλον αὐτὸς ἐξεμελέτησας καὶ ἠκρίβωσας;
καὶ τίς γὰρ οὕτω σοφὸς τά τε θεῖα καὶ τὰ ἀνθρώπινα ὡς ὁ τοῦ θεοῦ καὶ ἐμὸς (οὐ
| γὰρ ὀκνήσω τοῦτο μεγαλαυχῆσαι) Γρηγόριος· ᾧ τὸ ζῆν οὐδὲν ἄλλο πλὴν γραφαὶ* 60¹
*τε καὶ βίβλοι καὶ τὸ κατατρυφᾶν ἀεὶ τῆς τῶν λόγων ἡδονῆς καὶ γλυκύτητος, τῶν τε ἄλλων
οἷς συνετράφης, καὶ μάλιστα δὴ τῶν θεοπνεύστων τούτων καὶ ἱερῶν, περὶ οὓς σοι τὸ
πλέον ἀπασχολεῖται τοῦ βίου· ὥστε περὶ τούτων ὁ λέγειν ἐπιχειρῶν τι πρὸς σὲ πλεῖν
διδάσκει τὸν Ἀττικὸν ἢ τὸν ἀετὸν ἵπτασθαι.* [2] *ὅμως (ἐντολὴν γὰρ ἐμάθομεν δεῖν
πληροῦν πατρικήν) ἀποκρινούμεθά σοι καὶ νῦν οὐκ ἀπροθύμως τὸ παριστάμενον.* [3] *τρία
δ' ἦν τὰ προβλήματα· ὧν τὸ πρῶτον καὶ μᾶλλον ἐπιστασίας δεόμενον ἡ παρὰ τῷ
θείῳ Λουκᾷ τῆς ἀληθείας φωνή, ἥτις »ἔσονται« φάσκει »πέντε ἐν οἴκῳ ἑνὶ διαμεμε-
ρισμένοι· δύο ἐπὶ τρισί, καὶ τρεῖς ἐπὶ δυσίν«· οὓς ἐν τοῖς ἑξῆς ἀπαριθμουμένη καθ'
ἕκαστον, οὐχ ἵστησιν ἔτι τὸν ἀριθμὸν ἐν τοῖς πέντε, ἀλλὰ καὶ τὸν ἕκτον προστίθησιν,
ὡς εἶναι τρεῖς συζυγίας, οὐκ ἐνδεεῖς, ἀλλ' ἀρτίους. πῶς οὖν φὴς προθεὶς πέν|τε* 60²
μόνους καὶ τὸν ἕκτον ἐπήνεγκε; [4] *πρῶτον μὲν οὖν οὔ μοι δοκεῖ πρὸς τοὺς πέντε τοὺς
προκειμένους τοὺς ἐπαγομένους ἓξ ἐπιφέρειν, οὐδὲ τὴν πεντάδα δὴ ταύτην ὑποδιαιρεῖν
καὶ πάλιν εἰς τὴν ἑξάδα, ἀλλ ἐκεῖ μὲν ἡγοῦμαι τὸν λόγον μυστικώτερόν τι δηλοῦν, τὸ
τῆς μάχης αἰνιττόμενον δύσλυτον καὶ τὸ πρὸς εἰρήνην δυσξύμβατον τῶν μαχομένων καὶ*

28 Lucas 13, 25 | 30 Timoth α 1, 9 | 3 Lucas 12, 52

*δυσκατάλλακτον· δύο μὲν γὰρ ἐπὶ δυσί τισι πράγμασιν ἀμφισβητοῦντας ἀλλήλοις οὐ
δυσχερῶς τις ἂν εἰς ὁμόνοιαν συνελάσοι καὶ συναγάγοι, καὶ τρεῖς αὖ πάλιν ὁμοίως ἐπὶ
τρισὶ διαφερομένους, ἕκαστον ἑκάστῳ προσαφορίσας καὶ ἀπονείμας τῶν περιμαχήτων
ἐκείνων καὶ ποιούντων τὴν ἀμφισβήτησιν, καὶ οὕτως ἐπ' ἴσης πάντα τοῖς πᾶσι κατὰ τὸ
ἰσάριθμον διελόμενος· ἔνθα δὲ ὡς τὸ λόγιον, τρεῖς ἐπὶ δυσίν, ἢ τὸ ἔμπαλιν δύο ἐπὶ
τρισὶ πρὸς ἀλλήλους ζυγομαχοῦσι — φύσει δύσκριτος ἐνταῦθα ἡ μάχη καὶ πρὸς τὴν
διάλυσιν ἄπορος, ἅτε μηδενὸς ἔχοντος προσφυῶς τῷ πράγματι χρήσασθαι· ἀνάγκη γὰρ
πάν|τως ἢ τὸ ἓν τῶν τριῶν τοῖς δυσὶ προσώποις ἐπιμερίζειν, ἢ τὰ δύο τέμνοντας* 61[1]
*πάλιν εἰς τὰ τρία βιάζεσθαι, ὡς ἂν κατὰ λόγον ἡ ἰσότης ἀποσωθείη. ἔνθα δὲ τομὴ
πράγματος, ἐκεῖ βία φύσεως· ἣν ὁ λόγος ἡμῖν ὑποδηλοῦν βούλεται, ὡς ἂν παραστήσῃ
τὴν δύναμιν τοῦ κηρύγματος καὶ τὴν τῆς βασιλείας ἰσχύν, βιαιοτάτην τε οὖσαν καὶ τὰ
πάντα δραστήριον, ἐπεὶ καὶ βιαστὰς ἁρπάζειν αὐτὴν ἐν ἑτέροις* ἄντικρυς ἀποφαίνεται,
καὶ τὰ ἀδύνατα** παρὰ ἀνθρώποις παρὰ τῷ θεῷ δυνατά φησι[ν].* [5]*τὴν δ' ἐπιφερο-
μένην ἑξάδα μὴ πρὸς τοῦτο συνάπτειν εὐλογώτερον ἴσως, ἀλλ' οἷον παραδείγματος ἕνεκεν
προστεθειμένην ἐκδέχεσθαι, εἰς τὴν τῆς ἀνάγκης παράστασιν (ὅπερ ἔφαμεν ἤδη) καὶ
πρὸς τὸ γνωρίσαι τὸ ῥαγδαῖον καὶ ἀνυπόστατον τῆς εὐαγγελικῆς ἐξουσίας, ὑφ' ἧς καὶ
τοὺς ἀρρήκτους δεσμοὺς τῆς φυσικῆς σχέσεως ῥηγνυμένους ἔστιν ὁρᾶν.* [6]*ἀλλὰ τοῦτο μὲν
ἀληθέστερον (κατά γε δόξαν ἐμήν), ἐκεῖνο δὲ προχειρότερον*· δύο ἐπὶ τρισί, δηλαδὴ
δύο σχέσεις ἐπὶ συζυγίαις τρισίν. ἔ|χει γὰρ (ὥσπερ οἶσθα) πρὸς μὲν τὸν υἱὸν ὁ* 61[2]
*πατήρ, πρὸς τὴν μητέρα δὲ ἡ θυγάτηρ, καὶ πρὸς τὴν νύμφην ἡ πενθερά. καὶ τὸ ἔμπαλιν·
τρεῖς ὁμοῦ συζυγίαι, ἐπὶ δυσὶ ταύταις σχέσεσι. διπλοῦν γὰρ τὸ πρός τι, κἂν πολλοῖς
ἐφαρμόζηται· οἷς ἀκολούθως ἐπισυνάψομεν τὰ ἑξῆς, ἑφερμηνεύοντες ὥσπερ καὶ σαφη-
νίζοντες, ἵνα τὸ μὲν τρεῖς ἐπὶ τῶν προσώπων καὶ τῆς τριπλῆς ἐν ἐκείνοις συζυγίας
ἀκούσωμεν, τὸ δὲ δύο ἐπὶ τῆς σχέσεως τῆς ἐπ' αὐτῶν τῶν τριῶν, ἐν δυάδι κατὰ τὸ πρὸς
τι θεωρουμένης.* [7]*τοιοῦτον μὲν δὴ τὸ τοῦ εὐαγγελιστοῦ τούτου βούλημα παρ' ἐμοὶ
κριτῇ τε καὶ στοχαστῇ.* [8]*Ὁ δὲ θεσπέσιος Μάρκος οὐχ ἑαυτῷ παράγει τὸν λόγον
μαχόμενον, εἴπερ δὴ ὁ αὐτός ἐστι παλαιᾶς τε καὶ νέας δεσπότης καὶ νομοθέτης· ἀλλ'
Ἀβιάθαρ μὲν οὗτος ἀρχιερέα φησίν, ἡ ἱστορία δὲ Ἀχιμέλεχ ἱερέα ἡμῖν, οὐκ ἀρχιερέα
παρέδωκεν· ὡς ἐντεῦθεν τεκμαίρεσθαι τὸν Ἀβιάθαρ μὲν ἔχειν τὸ τῆς ἀρχιερωσύνης
ἀξίωμα κατ' ἐκείνους τοὺς χρόνους, καθ' οὓς Δαβὶδ ἔφευ|γεν ἀπὸ προσώπου* 62[1]
*Σαούλ, τὸν Ἀχιμέλεχ δὲ τότε τὰ τῆς ἱερωσύνης μεταχειρίζεσθαι, ὑπ' ἐκείνῳ τέως ταττό-
μενον καὶ τὰ τῆς θείας λατρείας ἤτοι κατ' ἐφημερίαν τηνικαῦτα λαχόντα, ἢ δι' ὅλου
ἀνύοντα, ὡς τοῦ Ἀβιάθαρ τυχὸν τοῦτο μὲν ἀξιώματι, τοῦτο δὲ καὶ γήρως αἰδοῖ, τὴν
κατὰ τῶν ἄλλων ἱερέων ὑπεροχὴν κεκτημένου, καὶ διὰ τοῦτο παντάπασι τῆς ὑπηρεσίας
ἀπηλλαγμένου. ἐξ οὗ μοι δοκεῖ διαφυγεῖν καὶ τὸν κίνδυνον ὡς μὴ παρὼν τοῖς τότε
πραχθεῖσι μηδ' ἔτι συντελέσας πρὸς τὴν σωτηρίαν τοῦ βασιλέως.* [9]*οὐκ ἀπεικότως δ'
ἂν δόξειε καὶ πατὴρ ὁ Ἀβιάθαρ εἶναι τοῦ Ἀχιμέλεχ· εὑρίσκομεν γὰρ τὸν τοῦ Ἀχιμέλεχ
υἱὸν Ἀβιάθαρ αὖθις καλούμενον· ὅπερ σύνηθες ἴσμεν ὡς ἐπὶ τὸ πλεῖστον τοῖς παλαιοῖς,
τὰς τῶν πατέρων προσηγορίας τοῖς ἐκγόνοις ἐπιφημίζουσιν.* [10]*οὕτως ἡμῖν ἐξεταζόμενον*

4 Matthaeus 11, 12 | 4 Lucas 18, 27 | 6 *προ∗χειρότερον* cum littera erasa C *Studemund* | 8 Marcus 2, 26 | 8 *δαβιδ* apographum Bolligii | 9 Regn α 21, 2 22, 9 β 8, 17 Paralip α 24, 3 Psalm να 2

φαίνεται τοῦ πιθανοῦ μᾶλλον ἅπτεσθαι τὸ περὶ τὴν λύσιν θεώρημα. [11] ἐκεῖνο δὲ καὶ διατεθρύληται ὡς δυωνύμως οἱ πλεῖστοι τῶν ἀρχαίων προσηγορεύοντο· καὶ τὸν | Ἀβιάθαρ οὐκ ἀπεικός ἐστι καὶ Ἀχιμέλεχ καλεῖσθαι· ὃ τοῖς πλείστοις ἀρέσκει 62[2]
τῶν ὀξύτερον τοῦτο τὸ χωρίον ἐπεσκεμμένων· ἐπεὶ καὶ τὸν Ἀχιμέλεχ αὐτὸν — ὅστις ποτέ ἐστι — καὶ Ἀβιμέλεχ καλούμενον ὑπάρχει λαβεῖν, οὕτω πλανωμένης καὶ ἀστατούσης ὡς τὰ πολλὰ τῆς προσηγορίας. [12] Τὸ δὲ θεολογικόν τε καὶ τρίτον ἐν τοῖς προβλήμασιν οὐδὲν ὅτι μὴ σαφῶς ἔγωγε γραφικὸν λέγω πταῖσμα, δῆλον ὅτι κατ' ἄγνοιαν ἁμαρτηθὲν τῶν πολλῶν. δέον γὰρ Ἰωὰβ ἀντ' Ἀβεσσαλὼμ ἐᾶν κεῖσθαι, ἵν' ὁ λόγος ἀπταίστως πρὸς τὴν ἱστορίαν ἡρμόζετο, τὸν Ἰωὰβ μὲν ἀπώσαντο κακῶς οἱ μεταγενέστεροι, τὸ ἀληθὲς ἀγνοήσαντες, τὸν Ἀβεσσαλὼμ δ' ἀντ' ἐκείνου τῷ ῥητῷ παρενεῖραν, ἐκ τῆς παρὰ τῇ γραφῇ που κειμένης χειρὸς τοῦ Ἀβεσσαλὼμ (οὕτω γὰρ ἐκεῖνος ὠνόμασεν ἣν ἀνέστησε στήλην) τὴν τοιαύτην πλάνην παραδεξάμενοι· ἔχει δ' ὄντως οὐχ οὕτω τὸ ἀληθές· ἀλλ' ἐκείνως μᾶλλον ὡς ἔφαμεν· καὶ τοῦτο δῆλον οὐκ ἄλλοθεν, ἀλλὰ παρ' αὐτῆς ἐκείνης τῆς ἱστορίας. [13] εἰσάγει γὰρ τὸν Δαβὶδ πρὸς τὴν Θεκωῖτιν ὑπὲρ Ἀβεσσα|λὼν[sic] οὐκ ἐξ εὐθείας πρεσβεύουσαν, ἀλλὰ μετά τινος μηχανῆς τε καὶ ἐπικρύψεως 63[1]
σὺν ὑπονοίᾳ φθεγγόμενον »μὴ* ἡ χεὶρ Ἰωὰβ ἐν παντὶ τούτῳ μετὰ σοῦ;« ὡς εἰ ἔλεγε Μή τι, ὦ γύναι, κατὰ συμβουλὴν καὶ ὑποθήκην τοῦ Ἰωὰβ (ἣν καλεῖ χεῖρα, διὰ τὸ ἐνεργόν τε καὶ πρακτικόν) τὸ τοιοῦτόν σοι σόφισμα πρὸς τὴν ὑπὲρ τοῦ Ἀβεσσαλὼμ ἔντευξιν ἐσκαιώρηται; [14] τοῦτο τοίνυν δοκεῖ μοι τὸν σοφὸν καὶ θεῖον διδάσκαλον εἰς τὴν προκειμένην ὑπόθεσιν ὡς ἐν παροιμίας εἴδει παραλαβεῖν, εὖ μάλα προσφυῶς καὶ ἀξίως τῆς ἐκείνου λαμπρᾶς καὶ μεγαλοπρεποῦς διανοίας, ἐν πολλοῖς δὲ τοῖς ὕστερον τὸν λόγον στρεφόμενον τὴν τοιαύτην λαβεῖν ὑποφθορὰν καὶ ἀλλοίωσιν, ὡς συμβῆναι τῷ ῥητῷ τούτῳ τὸ παρὰ τοῖς ὄχλοις ᾀδόμενον Ἐκ διορθώσεως σφάλμα, καθ' ἅπερ κἀκείνῳ τῷ ἐν τοῖς στηλιτευτικοῖς ἀντιλεγομένῳ, ἔνθα Σόλων εἰς ἀπληστίαν ἀντὶ Ἀλκμαίωνος διασύρεται, ὡς αἱ πρὸ μικροῦ σε διδάσκουσι παρ' ἡμῶν ἀποκρίσεις. [15] θαυμαστὸν δὲ οὐδέν, εἴ τις ὅλως ἐθάρρησε τούτων τι κινῆσαι τῶν | ἀκινήτων, ὁπότε καὶ αὐτῶν 63[2]
τῶν ἀψαύστων καὶ ἀπροσίτων λογίων ἡ τοιαύτη καινοτομία κατατολμήσασα φαίνεται, εἴ σοι μὴ παρέργως ἀνέγνωσται τὸ »ταῦτα ἐν Βηθανίᾳ ἐγένετο, πέραν τοῦ Ἰορδάνου«. ἄντικρυς γὰρ Βηθαβαρά φασιν, ἀλλ' οὐ Βηθανίαν δεῖν γράφειν οἱ τῶν καθ' ἡμᾶς διδασκάλων ἐμπειρότεροι καὶ σοφώτεροι· ἐκείνης γὰρ εἶναι τὸ πέραν τοῦ Ἰορδάνου, Βηθανίαν δ' οὐ πέραν, ἀλλὰ προσεχῶς γειτονεῖν Ἱεροσολύμοις, αὐτοῦ που κειμένην πρὸ τοῦ περιβόλου τῆς πόλεως, ὡς καὶ αὐτὸς ἂν συμφαίης, ὁ τῶν ἐκεῖσε τόπων ἐπόπτης. [16] ἔτι δὲ τὸ »εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα« οἱ μὲν εἰς πολλῷ πλείους τούτων ἐκτείνουσιν, οἱ δὲ τοὐναντίον εἰς τριάκοντα μόνους ἐπισυνάγουσιν, ἀποδεικνύντες τοσοῦτον ἀφεστῶσαν μᾶλλον τὴν Ἐμμαοῦντα τῆς Ἱερουσαλὴμ πρὸς ἀκρίβειαν. [17] πᾶσι δὲ τοῖς τοιούτοις μίαν λύσιν ἐπάγουσι, τὸ τῶν ἀντιγράφων οὐκ ἄπταιστον περὶ τὴν γραφὴν οὐδ' ἀνέγκλητον· ᾧ λόγῳ καὶ ἡμεῖς οὐκ ἀλόγως πρὸς τὸ θεολογικὸν κεχρήμεθα ζήτημα. | [18] περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον· τί γὰρ ἂν καὶ μηκύνοι τις ἐν ἐπιστολῇ 64[1]

11 διωνυμως codex | 12 Regn β 18, 18 | 13 Regn β 14, 19 | 14 supra 116, 22 | 15 Iohannes 1, 28 | 15 βηθαραβρά apographum Bolligii | 15 Origenes IV 140 de la Rue | 15 Iohannes 11, 18 | 16 Lucas 24, 13 PdeLagarde onomastica sacra I 257, 21 121, 6

περαιτέρω; τῶν δ' ἄλλων τὰς λύσεις ἐν ἑτέροις ἐποιησάμεθα, τὰς δέ, θεοῦ δόντος, ἐν καιρῷ ποιησόμεθα· μόνον, εἴπερ αἰσθ[αν]όμεθα τὴν σὴν ἀδέκαστον ψῆφον τὸ εὐεπήβολόν τε καὶ καίριον ἐπιμαρτυροῦσαν αὐταῖς. [19] οὐδὲν μέντοι τοιοῦτον οἷον αὐτὸν σὲ πρὸς ἡμᾶς ἀφιγμένον ὡς ἡ ὑπόσχεσις, στόμα κατὰ στόμα λαλῆσαι, καὶ λαλοῦντων ἀκοῦσαι περί τε τούτων αὐτῶν, καὶ περὶ τῶν ἄλλων ὧν θέμις φιλολογεῖν ἡμᾶς καὶ φιλοσοφεῖν· οὗ τυχεῖν τὴν ταχίστην ἐλπίζομεν ὁμοῦ καὶ εὐχόμεθα παρὰ τοῦ ποιοῦντος τὸ ·θέλημα τῶν φοβουμένων αὐτόν.

118. ιθ. [1] Τί λέγεις, ἄνθρωπε; ἡμεῖς δυναστείαν ἀνθρωπίνην θαυμάζομεν; ἡμεῖς ἐρασταὶ τῆς ἐξ ἀνθρώπων τιμῆς; ἡμεῖς βασιλέων φίλοι καὶ σύνεδροι; καὶ τοῖς ταπεινοῖς τούτου χάριν ἀνομίλητοι καὶ ἀπρόσιτοι; εὐφήμει, πάτερ, εὐφήμει, καὶ μὴ τὰ προσόντα μᾶλλον ἑτέροις ἡμῖν ὡς ἴδια πρόφερε. [2] πάνυ γὰρ ἀγνοοῦμεν, τίνος μάλιστα ταῦτα τὰ
σεμνὰ διηγήματα τοῦ πέρυσι | φοιτῶντος, ὦ βέλτιστε, μετὰ δορυφορίας εἰς τὰ 64[2]
βασίλεια, ὡς ἂν ἀναμνησθῇς, εἰ ἐκλέλησαι, καὶ μέχρι μὲν τῶν προθύρων ἐν φορείῳ κομιζομένου (τοσαύτη τις ἦν ἡ τοῦ ἀνδρὸς τρυφὴ καὶ βλακεία), τὸ ἐντεῦθεν δὲ σοβαρώτερον ὑπὸ βακτηρίᾳ βαδίζοντος, ἐπὰν δ' εἰς ὄψιν ἀφίκοιτο καὶ θέαν τοῦ βασιλέως, ὑποσκάζοντός πως εὐτέχνως καὶ ἠρέμα στενάζοντος, τὸ μέν τι καὶ πρὸς ἀλήθειαν (φίλη γὰρ ἡ ἀλήθεια) ὡς τὸν γλουτὸν πεπληγότος, πεπλασμένον δ' οἶμαι τὸ πλέον, ἵνα καὶ δόξῃ μᾶλλον αἰδοῖος (ἐλεεινὸς γὰρ λέγειν ὀκνῶ), καὶ διὰ τοῦτο καθέδρας ἀξιωθῇ ζηλωτῆς. [3] ἔγωγε τοίνυν τὸν τοιοῦτον ἄνθρωπον οἶδα· εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε καὶ οὐχ οὕτως, οὐκ οἶδα· ὁ θεὸς οἶδε — καὶ πολλοὶ τῶν ἀνθρώπων — ὡς ἐξῆλθεν ἐκεῖθεν, ἀπόδεσμον ἀνέχων ἁδρὸν πολυταλάντου χρυσίου, καὶ πένης τῷ δοκεῖν προσελθών, ἀπῆλθεν εὐδαίμων ἐν ἀκαρεῖ, μετὰ πλείονος ἔτι τῆς κατὰ πάντων ὑπεροψίας.
[4] περὶ τοῦ τοιούτου καυχήσομαι (εἴ τι δεῖ καὶ καυχήσασθαι), | περὶ ἐμαυτοῦ δὲ 65[1]
οὐκέτι, ὃς καθέδρας μὲν πλεονάκις (οὐ γὰρ δεῖ ψεύδεσθαι, καὶ ταῦτα πρὸς φίλον ἄνδρα καὶ ἱερόν), τηλικαύτης δὲ δεξιώσεως οὐδ' ὀλιγάκις ἠξίωμαι· ἀλλὰ τοὺς μὲν πόδας ἀνέπαυσα, τὰς δὲ χεῖρας οὐκ ἐθεράπευσα· κενὰς γὰρ ἔχων ἀπεπεμπόμην, ἐπεὶ μὴ πάντα ἤμην, ὡς ἔοικεν, εὐτυχὴς μηδ' εὐφυὴς κατ' ἐκεῖνον. [5] ἀλλὰ τί γελῶν ἐγκαλύπτῃ, εἰ μὴ κακὸς ἐγὼ στοχαστής; ἤ που τάχα συνῆκας, ὡς σοφὸς καὶ ἀγχίνους, καὶ τήν τε πρᾶξιν ὁμοῦ καὶ τὸν ἐργάτην ἐγνώρισας. [6] ἐκεῖνος οὖν ἔστω σοι σκοπὸς εἰς διαβολήν, ἐπειδὴ ἅπαξ ἔκρινας ἀνθρωπίνους βίους κακίζειν, καὶ σκώπτειν δοκεῖ σοι τοὺς πρὸς δόξαν ἐπτοημένους· ἡμᾶς δὲ βαλεῖς εὐστοχώτερον, ἐφ' ἑτέροις μᾶλλον τοξεύων καὶ* τοιαῦτα μεμφόμενος· οὐ γὰρ ἀτυχήσεις (εὖ ἴσθι) παρ' ἡμῖν ἐλαττώματος, ὡς οὐδ' ἐν πλοίῳ σανίδος, οὐδὲ λίθου τυχόν, κατὰ λιθίνης κλίμακος ἐνεχθείς, ἵνα γνωριμώτερον
ἔχῃς ἐκ τῆς πείρας καὶ τὸ ὑπόδειγμα. [7] ἄλλο τοίνυν ἁμάρτημα τῶν ἡμετέ|ρων 65[2]
ἀπολαβών, εἴ σοι φίλον, λοιδόρει· τούτου δὲ τοῦ μέρους καὶ τοῦ ἐγκλήματος ἀπόσχου, μακάριε· καὶ γὰρ καὶ αὐτὸς ἄνθρωπος ὁμοιοπαθὴς ἡμῖν εἶ, καὶ οὐδεὶς ἐν ἀνθρώποις ἢ παντάπασι σπάνιος ὁ καθ' ὅλου δόξης καταφρονήσας, ἵνα χάριν σὴν παραλείψω τὸ χρηματιστικὸν καὶ φιλόπλουτον. [8] ἐπεὶ δὲ πασσάλῳ τὸν πάσσαλον προσφυῶς ἐξεκρούσαμεν, μέμψει πλήξαντες μέμψιν, τὸ ἐντεῦθεν εἰρήνη σοι πολλή. καὶ ὑγίαινε.

19 Psalm ρμδ 19 | 3 Corinth β 12, 2 | 3 Corinth β 12, 5 | 6 scribendumne ἢ τὰ? | 8 EdeLeutsch corpus paroemiogr II 171 § 47

119. κ. [1]Ἀεί μοι, σχέτλιε, σὺ προσπολεμεῖς καὶ φθονεῖς, νῦν μὲν ἐγκαλῶν ὡς
ἀπράγμονι, καὶ καλῶν τὴν ἡσυχίαν νωθρότητα, καὶ μισάνθρωπον τὸ φιλόσοφον, καὶ
τῦφον τὸ ἀπερίσπαστον, καὶ οὐδὲν ἁπλῶς ἄλλο ἢ τὰ ἄνω κάτω ποιῶν, ὃ δὴ λέγεται·
νῦν δέ, καθ' ἅπερ ὀστράκου μεταπεσόντος ἢ καὶ κύβου περιτραπέντος, εἰς τὰ ἐναντία
με κακίζων καὶ σκώπτων. [2]τοῦτο δὴ τὸ νῦν νεανίευμα τῆς σῆς γενναιότητος· ὥσπερ
γὰρ ἐκλαθόμενος τῶν πάλαι λόγων ἐκείνων οὓς πολλάκις μεμφόμενος ἐποιοῦ πρὸς
ἡμᾶς, καὶ οἱονεὶ σαυτὸν | ἀγνοήσας, ἥκεις νέος κατήγορος ἐπὶ νεωτέροις ἐγκλήμασι, 66[1]
τοσοῦτον ἐκείνου τοῦ συνήθους οὐκ ἐξιστάμενος, ὅσον ἀναστρέφειν κἀνταῦθα τὰς τῶν
πραγμάτων προσηγορίας, δοξοκοπίαν μὲν ὀνομάζων τὴν πρὸς τοὺς πολλοὺς ὁμιλίαν,
ἐπίδειξιν δὲ τὴν εἰς τὸ μέσον ἀνάδειξιν, φιλοτιμίαν δὲ τὸ φιλάνθρωπον, καὶ τὸ κοι-
νωνικὸν ἀνθρωπάρεσκον· συνελόντα δ' εἰπεῖν, ἐπ' οὐδενὶ δοκεῖς μοι, ὦ ἄνθρωπε, τῶν
ἡμετέρων ἀρέσκεσθαι, ἀλλ' ἐπιμελῶς ἐνεδρεύειν ἕκαστον τούτων, καὶ ἀεὶ τῷ νῦν φαινο-
μένῳ ἐπιπηδᾶν καὶ προσμάχεσθαι. [3]ἀλλὰ μὴ σύ γε, ὦ ἄριστε· μηκέτι ποίει ὁμοίως,
μηδὲ τοὺς πρὶν καλοὺς λόγους καὶ σοφοὺς ἐκείνους ἀποποιοῦ, μηδ' ἔλαφος γίνου πα-
ραδόξως ἀντὶ παρθένου· ἀλλ' εἴπερ ἔτι καὶ νῦν ὁ αὐτὸς ἡμῖν εἶ, καὶ οὐκ ἀθρόον
ἠλλοίωσαι, ἄναγε σαυτὸν εἰς τὰ φιλοσοφηθέντα σοι πρὸς ἡμᾶς πλεονάκις, καὶ γνῶθι
τὸν παρόντα καρπὸν ἀπὸ τῶν σῶν ἐκφύντα σπερμάτων. [4]καὶ πάντως γε τῶν δύο τὸ
ἕτερον· ἢ σαυτοῦ προκατάγνωθι καταγινώσκων ἡμῶν ὡς οὐ καλῶς ἡμᾶς ἐκ|παι- 66[2]
δεύσαντος, ἢ σαυτὸν αἰτίας ἀφεὶς, καὶ ἡμᾶς συναπόλυε — ἐπειδὴ καλῶν διδασκάλων
(εἰ μὴ τοὐναντίον ζητεῖς) καλὰ τὰ μαθήματα, καὶ τὸ ἔργον ἄξιον τοῦ τεχνίτου, καὶ ὁ
μαθητὴς τοῦ διδάξαντος — καί μοι χάριτας γίνωσκε, τὰς μέμψεις λιπών, ὅτι σε μακάριον
ἔδειξα, εἰς ἀκούοντος ὦτα τοὺς περὶ πολιτείας λόγους λαλήσαντα. [5]κατάβαλε τοίνυν
τὴν εἰρωνείαν, διδάσκαλε, καὶ μὴ γέλα — κομψόν, εἰ μὴ κακῶς εἰκάζω — πρὸς τὰ
λεγόμενα, ἀλλ' ἀρέσκου νῦν γε τοῖς πραττομένοις, καὶ χαῖρε τὸν σπόρον σου πληθυν-
θέντα ὁρῶν, εἰς τὸν τριάκοντα τέως· εἰ δὲ ταῖς εὐχαῖς ἐπαρδεύσεις, ἀποδώσει σοι τάχα
καὶ τὸν ἑξήκοντα, τάχα δὲ καὶ τὸν ἑκατόν. [6]ἀλλ' ἀπέστω φθόνος τοῦ λόγου, ἐπὰν
δυναστείας καὶ δόξης λαμπροτέρας ἐπιλαβώμεθα (τοῦτο γὰρ αἱ πάλαι σοφαί σου
νουθεσίαι καὶ ὑποθῆκαι), καὶ ἀκουσθῶμέν σοι ἔτι μείζω καὶ τελεώτερα καὶ παρὰ
βασιλεῦσιν αὐτοῖς καὶ παρὰ πατριάρχαις δυνάμενοι· σὺ δ' ἀνέχου καὶ μακροθύμει, καὶ
πλείους εὔχου τοιούτους μαθητάς | σοι γενέσθαι, εὐπειθεῖς τε ἅμα καὶ δεξιούς· 67[1]
αἴτει δὲ καὶ τὴν μέλλουσαν ἡμῖν εὐδοξίαν· οὐδ' ἐκείνης γὰρ ἀνεχόμεθα παντελῶς σοι
παραχωρῆσαι, κἂν αὐτὸς ἡμῖν τῆς παρούσης ὅλως ἐξέστης, ἀλλ' ἀρκοῦσαν μοῖράν τινα
κἀκεῖσε ζητοῦμεν· ὥστε προμνηστεύου κἀκείνην διὰ τῶν σῶν ἡμῖν προσευχῶν, ὥσπερ
ταύτης ἐγένου διὰ τῶν παραινέσεων πρόξενος, ἵνα πανταχοῦ σαυτῷ σύμφωνα καὶ πρέ-
ποντα πράττῃς. τύχοις δέ μοι καὶ σὺ τῶν μακαρίων ἐλπίδων σου.

120. κα. [1]Ἠρώτησα κἀγὼ τὸν πατέρα, δεσποτικοῖς ἑπόμενος ὑποδείγμασι, καὶ
ἄλλον παράκλητον ἀνθ' ἑαυτοῦ μοι παρέσχεν, οὐχ ἵνα μένῃ μεθ' ἡμῶν εἰς τὸν αἰῶνα
(ἦν γὰρ ἄν σοι τὸ δῶρον πλῆρες καὶ τέλειον, τοῦτον ἔχον τὸν τρόπον, ὦ πάτερ ἄλλε
ἡμέτερε, δίκαιέ τε καὶ ἅγιε· τὸ γὰρ ἀληθὲς ὁμολογήσω καὶ ἀνιώμενος), ἀλλ' ἵνα πάλιν
ἀφέληται ταχέως καὶ πρὸ καιροῦ, πρὸς ἑαυτὸν ἀφ' ἡμῶν ὡς ἐκ μεταμελείας ἀνακα-

1 EdeLeutsch ll II 61 § 61 | 5 Marcus 4, 20 | 1 Iohannes 14, 16

*λούμενος. [2]τοῦτο μὲν οὖν οὐκέτι σοι θεῖον οὐδ᾽ εἰς θεοῦ φέρον μίμησιν, κἂν τἄλλα
θεὸν | παραμιμεῖσθαι δοκῇς· δοκεῖς δέ, καὶ βούλει δοκεῖν ἐξ ὧν ὑπονοεῖν* 67[2]
*δίδως, νέφος μὲν καὶ αὐτὸς ἀποκρυφὴν τιθεὶς σεαυτοῦ, μόνοις δὲ τυχὸν τοῖς ἐγγύς (ἢ
καὶ τοῖς ἀξίοις ἁπλῶς) ἀποκαλυπτόμενος, ἡμῖν δὲ τοῖς πόρρω καὶ οὐχ ἱκανοῖς πρὸς
θέαν τοιαύτην διὰ χρόνου καὶ μόλις ἀμυδρὰς καὶ βραχείας ἐπιπέμπων αὐγάς, τὰ σμι-
κρότατα ταῦτα τῶν ἐπιστολιδίων τεμάχια, καὶ κελεύων ἀρκεῖσθαι τοῖς ὀπισθίοις σου
τούτοις· τὸ δὲ πρόσωπόν μου (φῄς που τάχα κατὰ σαυτόν) οὐκ ὀφθήσεταί σοι, χαμαί-
ζηλε καὶ γήϊνε ἄνθρωπε, ἡμᾶς οὕτω λέγων δῆλον ὅτι τοὺς ταπεινούς, οἵτινες ὄντες γῆ
καὶ σποδός, θειοτέραν ὄψιν (ὡς ἔοικεν) ἐνεγκεῖν οὐ θαρρούμεθα. [3]σὺ μὲν οὖν, ὦ
μακάριε καὶ κρύφιε καὶ ἀθέατε, ἐπὶ τῆς ἰδίας ἑδραίως μένε περιωπῆς, μηδ᾽ ἐπὶ
μικρόν τι κενούμενος τῆς δόξης τῆς σεαυτοῦ μηδὲ συγκαταβαίνειν ἡμῖν τοῖς ἐρχομένοις
χαμαὶ κατὰ καιρὸν ἀνεχόμενος· δέος γὰρ ἴσως μὴ πρότερον ἡ σὴ καθαρότης παραπο-
λαύσοι τι τοῦ μολύσματος ἢ ἡμῖν τοῖς ἀ|νάγνοις μεταδοίη τῆς ἁγιότητος. [4]καί-* 68[1]
*τοιγε καὶ τοῦτό σοι πάλιν ὁρᾷς ὡς ἀνόμοιον πρὸς τὸν φιλανθρώπως ἐνανθρωπήσαντα
καὶ τῇ μεθ᾽ ἡμῶν τῶν πολλῶν ἀναστροφῇ τε καὶ συμβιώσει ἀναμαρτήτως ἐξάραντα τοῦ
κόσμου τὴν ἁμαρτίαν, πρὸς ὃν ὡς ἀρχέτυπον ὁ σκοπός τε σοι τείνει καὶ ὁ ζῆλος ἐπεί-
γεται, εἰ μὴ τοῦ σχήματος ἄντικρυς τοῦ σεπτοῦ καταψεύδῃ, ὃ σοι τὸν σταυρὸν ὑπογράφει
καὶ τὴν τοῦ σταυρωθέντος ἐπακολούθησιν. [5]πλὴν ὅπερ εἴρηται, σὺ μὲν ἄμικτος οὕτω
μοι καὶ ἀκοινώνητος μένε, ἐπειδὴ τοῦτο βούλει, τῇ σεαυτοῦ θεωρίᾳ καὶ τῶν οἷς τοῦτο
δέδοται, κινούμενος μόνῃ, ἡμεῖς δὲ τῆς τε πρώτης παντάπασι λαμπηδόνος ἀποκλεισθέντες
καὶ τὴν δευτέραν ταύτην ἀφαιρεθέντες πρὶν σχεδὸν αὐγασθῆναι, πρὸς ἑαυτοὺς ἀναγκαίως
πάλιν συσταλησόμεθα, καὶ τὸ Γνῶθι σαυτὸν φιλοσοφήσομεν τελεώτερον, τῆς ἀνθρωπίνης
ζωῆς τὸ βραχὺ καὶ ὀλιγοχρόνιον τῇ τοῦ ἀνδρὸς παρουσίᾳ καὶ ἀναχωρήσει μετρή|σαν-* 68[2]
*τες· ὃ τῶν πάλαι σοφῶν τις ἐνδειξάμενος ἐθαυμάσθη, ὅτε πόσος ὁ βίος τῶν ἀνθρώπων
ἐρωτηθείς, μικρόν τι φανεὶς ἀπεκρύψατο. [6]ἀλλά μοι καὶ μὴ ὁρώμενος, ἀγγέλλοιο γοῦν
ὑπὸ τῆς χάριτος συντηρούμενος· εὐγνωμονοῦμεν γὰρ ἔτι, κἂν οὐκ εὐγνώμονα πάσχωμεν·
εὖ τοίνυν ἔχοις αὐτός τε καὶ ἡ περὶ σὲ καλὴ συνοδία, ἐπειδὴ καὶ πρέπον ὑμῖν ἐστὶ τῷ
χορῷ τῶν μακάρων, ὥς που τις εἶπεν, ἀκαμάτους εἶναι καὶ ἀκηδέας· εἰ δὲ βούλει
προστίθει Καὶ ἀθανάτους ἤματα πάντα.*

121. *κβ. [1]Σήμερον πρόβαλλε, καὶ αὔριον ἀκροῶ, φησί. περὶ λόγων ὁ λόγος, οὐ
περὶ δώρων· σὺ δ᾽ ὁ πάντα ταχύς, θέρους αἰτηθεὶς τὰς ἀπίους, μόλις ἔστειλας μεσοῦντος
χειμῶνος· εὖγε τοῦ ἑτοίμου τῆς μεταδόσεως. τοῦτο᾽ ἄρα ἐκεῖνο Ἅμ᾽ ἔπος ἅμ᾽ ἔργον τε.
[2]ἀλλὰ τί μοι τὸν ἄμεμπτον ὀπώρας μέμφεσθαι χάριν, καὶ παιδὸς πάσχειν πάθος, οὐκ
ἀνδρὸς ποιεῖν ἔργον; τοῖς παισὶ γὰρ μᾶλλον ἡ ὄρεξις ἤπερ τοῖς ἀνδράσιν ἡμῖν πε|ρὶ* 69[1]
*τὰ τοιαῦτα λιχνεύεται. [3]σὺ δ᾽ ἀνδρὸς ὄντως ἔργον πρὸς ἄνδρα φίλον εἰργάσω, ἐν καιρῷ
μοι χρησάμενος τούτῳ δὴ τῷ παρὰ καιρόν, καὶ οὕτω μηχανησάμενος τὸ ἀκρατὲς ἡμῖν
χαλινῶσαι τῆς πρὸς ταῦτα λιχνείας· τῷ ψυχρῷ γὰρ ἀρκέσει τὸ τῆς ὥρας κατάστημα
πρὸς ψυχροφαγίας ἀποτροπήν, ὑφ᾽ ἧς τὰ πλείω συμβαίνειν τῶν νοσημάτων οἶδα τοῖς
σώμασι, τῷ καθ᾽ ἡμᾶς δὲ καὶ μᾶλλον, ὃ λυπεῖ πάντων μάλιστα πολιορκοῦν τὸ ψυχρόν.*

2 Matthaeus 17, 5 Psalm ργ 3 Iob 24, 15 | 2 Exod 33, 23 Lagarde Symmicta II 74 | 2 Gen 18, 27 |
4 Matthaeus 16, 24

[4] χάρις οὖν διὰ τοῦτο τῆς ὑπὲρ ἡμῶν σοι προνοίας, ὅτι τοῦ συμφέροντος πλέον ἤπερ
τοῦ ἡδέος ἐφρόντισας, καὶ κακοῦ τινὸς μέλλοντος ἡμᾶς ἐλυτρώσω, τῆς νοσοποιοῦ ταύτης
ὕλης τὸ πλεῖστον ὑποτεμόμενος τῇ μέχρι τοῦ νῦν περὶ τὴν ἀποστολὴν (ὡς ἂν εἴπω τι
καὶ τῶν κομψοτέρων) ὑποστολῇ. [5] ἀλλά μοι καὶ αὐτὸς ἐρρωμένος διατελοίης, ἐπειδὴ τὴν
ὑγείαν ἡμῖν ἀνεπηρέαστον συνετήρησας.

122. κγ. [1] Ἄρτι με τῆς θείας φιλοσοφίας ὁ ἱερὸς χορὸς περιέσχεν, ὦ σοφὴ κεφαλή, καὶ
| φιλοσόφων ὅ,τι κεφάλαιον, πρὸς οὓς ὡμιλήσαμεν, οὐκ ὀλίγα μὲν φιλικῶς, πολλὰ 69[2]
δὲ καὶ λογικῶς, καὶ τέλος ἀπήλθομεν ἀλλήλων θαυμάσαντες, οἱ μὲν οὐκ οἶδ' ὅ,τι τῶν
ἡμετέρων (οὐδὲ γὰρ αὐτοὶ ἑαυτοῖς τῶν ἀξιεπαίνων τι σύνισμεν), ἡμεῖς δ' ἐκείνων πολλά,
τὸ μεγαλοφυές, τὸ εὐσύνετον, τὸ ἀγχίνουν, τὸ κόσμιον, τὸ φιλομαθές, τὸ πολυμαθές.
τὸ περὶ λόγων ἀκρόασιν ἐρωτικόν τε καὶ μανικόν (οὕτω γάρ πως αὐτοὶ τὸ περιφλεγὲς
καὶ ἀκάθεκτον καλεῖτε τῆς προθυμίας), ἐπὶ πᾶσι δὲ τούτοις τὴν περὶ τὸ καλὸν ἢ τὸ
κάλλιστον ὁμοφροσύνην καὶ σύμπνοιαν. [2] τί δ' ἂν γένοιτο κάλλιον τῆς τοῦ ἐμοῦ σοφοῦ
Κωνσταντίνου προτιμήσεως καὶ προκρίσεως περὶ τὰ σοφίας πρεσβεῖα καὶ τὴν τοῦ διδα-
σκαλικοῦ παράληψιν θρόνου; ὃς νῦν ἐπ' ἄκροισι ταύτης κατ' Ἐμπεδοκλέα θαμίζεις,
ἀγλαΐζῃ μοι δὲ καὶ μουσικῆς ἐν ἀώτῳ (τὸ πινδαρικὸν πάλιν τοῦτο), καὶ τύπος Ἑρμοῦ
λογίου ἢ μουσεῖον κινούμενον καὶ φθεγγόμενον τῇ καθ' ἡμᾶς δο|κεῖς σήμερον 70[1]
γενεᾷ τῶν ἀνθρώπων, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε σὺν αὐχμῷ τηλικούτῳ
γνώσεως καὶ παιδεύσεως. [3] ἐπὶ τούτῳ τοίνυν ἐγὼ διαφερόντως τοὺς νέους πολλὰ μὲν
ἐθαύμασα, πολλὰ δὲ ἐπῄνεσα, κἀκείνοις μὲν μάλα πρόθυμος προθύμοις ἐπηγγειλάμην
τὴν εἰς τὸ σπουδαζόμενον σύμπραξιν, ὅσα τε πρὸς τὴν αὐτοκρατορικὴν ἐξουσίαν ἀνήκει,
καὶ ὅσα πρὸς τὴν συναίνεσιν τῆς ἄλλης νεότητος, ὁπόση περὶ λόγους ἔχει νῦν καὶ μα-
θήματα· καὶ σοὶ δὲ τῇ φίλῃ καὶ τιμίᾳ ψυχῇ τὰ ἐμαυτοῦ πάντα φέρων, εἰς τὴν σύναρσιν
ἐπιδίδωμι, καὶ ἐμαυτὸν πρὸς τοῖς ἄλλοις ὅλον καὶ πάντα. [4] τοῦτο δὴ τὸ ὑμέτερον·
καὶ σὺν ἀγαθῇ πειράσομαι τύχῃ μηδενὸς ἐλθεῖν δεύτερος εἰς τὴν ὑπὲρ τῆς σῆς καὶ
σοφίας καὶ φιλίας σπουδήν, μήτ' αὐτῶν ἤδη τούτων, τῶν ταύτης ἐραστῶν τε καὶ θηρα-
τῶν, μηθ' ἑτέρου τινὸς τῶν ὅσοις καὶ μάλα κατὰ λόγον μέλει τὰ σά, μᾶλλον δὲ τὰ
τοῦ θείου τούτου μαθήματος, ἤδη παντελῶς κιν|δυνεύοντος ἀπορρυῆναι τοῦ βίου. 70[2]
[5] ὡς κρατῶν οὖν ταῖς πάσαις — ἢ τὸ σὸν εἰπεῖν μᾶλλον, τὴν διὰ πασῶν ἐν τοσούτοις
ἔχων συμφθεγγομένην σοι — δραστικώτερον ἐγχείρει τῷ ἔργῳ, καὶ τῆς πείρας ἀντέχου
μοι φιλοπονώτερόν τε καὶ γενναιότερον, θεοῦ καλῶς ἡγουμένου καὶ τὴν προκειμένην
εἰς αἴσιον κατευθύνοντος πέρας.

123. κδ. [1] Κἂν ὀλίγα τὰ παρ' ἡμῶν, ἀλλὰ πλείω πάντως τῶν παρὰ σοῦ, ὥστε
μήτε τὸ σπάνιον μήτε τὸ σπανιάκις ἐγκάλει τοῖς γραφομένοις, εἰ μὴ βούλει παθεῖν τὸ
τῆς ἀνακλωμένης ἠχοῦς, οἷόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσας. [2] καὶ νῦν οὖν το-
σοῦτον ἐξαρκέσει πρὸς σὲ Εὖ μοι πράττε διὰ πολλά, καὶ ἀγγέλλοιο χαίρων καὶ κατὰ
μικρὸν τῆς προτέρας κατηφείας ἐξαναφέρων· εἶτα μέντοι καὶ τόδε* Τοῦ καθ' ἡμᾶς ἴσθι
κύκλου τῶν ποτὲ φοιτητῶν, ᾧ σαυτὸν χαρισάμενος, ἔνθα καὶ χαρίσασθαι δίκαιον, ἡμῖν
χαριῇ. [3] κεφάλαιον δὲ τῶν εἰρημένων Ὑγίαινε· οὗ καὶ μάλιστα δεῖ σοι διὰ τὴν ὥραν
καὶ χώραν.

2 Empedocles Plutarch moral 93[a] Pindar Olymp 1, 15 | 2 Cor α 10, 11 | 2 τόνδε apographum

124. κε. [1]Ὅσῳ φεύγων μακρύνεις, τοσούτῳ καταλαμ|βάνῃ, ἵνα γνῷς ὅπως 71[1]
ἄφυκτον φιλία καὶ ἀναπόδραστον. [2]ἤδη τοίνυν ἑάλως ὥσπερ τις φυγὰς κεκμηκώς, καί
σε λίνα κατέχει τὸν γενναῖον ἐμά, εἴ σοι καλεῖν οὕτω φίλον τὰ παρ' ἐμοῦ ταῦτα γράμματα·
ὧν οὐκ ἄλλως ἐκφεύξῃ μοι τὴν βίαν καὶ τὴν λαβήν, εἰ μὴ καὶ αὐτὸς τοῦτον πρότερον,
ὅς σοι ταῦτα προσφέρει, βίας ἄλλης ἀδίκου διὰ τὸν πρεσβεύοντα ῥύσῃ, ἐπειδή μοι καὶ
οὗτος τῶν λίαν κεχαρισμένων, κἀκείνη τῶν πάνυ μισουμένων ἐστί. [3]χάριν τοίνυν ἡμῶν
— καὶ πρὸ ἡμῶν τοῦ δικαίου — σῴζειν τοῦτον δικαίου μοι τῆς ἱερᾶς τυραννίδος·
λεγέσθω γὰρ οὕτως ἡ τῶν ἱερέων ἡμῶν, ὥσπερ ἤδη καὶ πόλεμος ἱερὸς ὁ ἡμέτερος· καί
μοι θᾶττον ἀνάπεμπε τὸν ἄνδρα θυμήρη καὶ τῆς σῆς εὐφημίας ἐφ' οἷς εὖ πείσεται,
πλήρη. [4]πλήρης δέ μοι καὶ σὺ θυμηδίας τε πάσης καὶ δικαίων ὡς τάχιστα κερδῶν
ἐποφθείης, ἐπειδὴ καὶ τοῦτο πεποίηκεν εὐχὴν ἡ περίστασις.

125. κς. [1]Δέσποτά μου ἅγιε, θεοδόξαστε καὶ θεόστεπτε, ὁ λύχνος τοῦ σώματός
ἐστιν ὁ ὀφθαλμὸς κατὰ τὴν θείαν φωνήν· ἐὰν οὖν ἐκεῖνος ᾖ | φωτεινός, καὶ 71[2]
ὅλον τὸ σῶμα φωτεινὸν ἔσται· ὥσπερ πάλιν τὸ ἐναντίον· εἰ αὐτὸς σκοτεινός, καὶ τὸ
σῶμα πᾶν οὕτω σκοτεινὸν ἔσται. [2]ἐπεὶ τοίνυν πάντες ἡμεῖς οἱ εὐτελεῖς οἰκέται καὶ
ὑπὸ χεῖρα μέλη σὰ λογιζόμεθα, καθ' ἅπερ δὴ καὶ Χριστοῦ, σὺ δὲ πάλιν ἡμῶν οὐκ
ὀφθαλμὸς μόνον εἶ, ἀλλ' ὁλόκληρος κεφαλή, εἰκὼν καὶ ὁμοίωμα καὶ τύπος ὢν Χριστοῦ,
τοῦτο πάντες ποθοῦμεν, τοῦτο ζητοῦμεν, ὑπὲρ τούτου δεύμεθα διὰ παντὸς τοῦ θεοῦ,
ζῆν εἰς μήκιστον χρόνον, εὐεκτεῖν, ὑγιαίνειν, εὐτυχεῖν, εὐθυμεῖν, εὐοδοῦσθαι πρὸς πάντα,
καὶ διὰ πάντων δοξάζεσθαι τὸ θεοκυβέρνητον κράτος σου. [3]εἰ γὰρ αὐτὸ πᾶσι τούτοις
διὰ τὴν θείαν χάριν ἐνευπαθεῖ, κοινὸν ἡμῖν ἔσται τὸ ἀγαθὸν ἐξ αὐτοῦ, καὶ οὐδὲν
ἡμᾶς ἀδικήσει τῶν βλαβερῶν, οὐδὲν λυπήσει τῶν δυσχερῶν, οὐχ ὁ πιέζων χειμών, οὐχ
οἱ πονηροὶ πλεονάζοντες, οὐ τῶν ἐπιτηδείων ἡ σπάνις, οὐ συμφορά τις ἑτέρα πρὸς
νουθεσίαν καὶ παίδευσιν τοῖς κατ' ἐμὲ ῥαθύμοις ἐπαγομένη. [4]ὡς γὰρ μέλι γλυκάζον,
ταῦτα πάντα γλυκαί|νει καὶ γλυκανεῖ (σαφῶς οἶδα) τοῦ δεδοξασμένου σου κρά- 72[1]
τους ἡ εὐζωΐα καὶ σωτηρία, πρὸς ἣν ἡμεῖς ἀφορῶντες τῶν μὲν ἐνοχλούντων κακῶν ἀνεπαι-
σθήτως ἔχειν δοκοῦμεν, καὶ μικρὰ τῆς ἐκεῖθεν ἀηδίας ἐπιστρεφόμεθα, μεστοὶ δὲ γινόμεθα
τῆς ἐντεῦθεν χαρᾶς, ὥσπερ ἔκ τινος πηγῆς ἀειρύτου τῆς βασιλικῆς εὐθυμίας τὴν ἡδονὴν
ἀρυόμενοι. [5]διὰ τοῦτο παρακαλοῦμεν καὶ πάσῃ δυνάμει δυσωποῦμεν καὶ ἀξιοῦμεν*,
μὴ τοσοῦτον νῦν συγχωρῆσαι τῇ λύπῃ κατὰ τῆς ἀηττήτου ψυχῆς σου, ὥστε παρ' αὐτῆς
οὕτω πάντη νικηθεῖσαν καταπεσεῖν καὶ ὑπομεῖναι τὴν πτῶσιν, ἄχρι καὶ ἀρρωστίας,
μηδὲ πρὸς τὰς τῶν ἀγνωμόνων πλημμελείας παρακινούμενον καὶ τοῖς κατ' αὐτῶν πυρ-
πολούμενον ἐνδίκοις θυμοῖς τὴν τῶν λογισμῶν προδοῦναι στερρότητα, καὶ κακῶσαι μὲν
σῶμα πολλῶν* ἀντάξιον ἄλλων, κακῶσαι δὲ ψυχὴν εὐγενῆ καὶ οὐκ ἀξίαν τοιαύταις
ταλαιπωρεῖν περιστάσεσιν, ἀλλὰ φιλοσοφῆσαι κἀνταῦθα μεγαλοπρεπῶς καὶ βασιλικῶς
καὶ τὸ ἐν τοῖς πάθεσιν ἄτρεπτον νῦν εἴπερ ποτὲ | δεῖξαι, ἐφ' ᾧ τὸ σὸν κράτος 72[2]
ὡς ἐπ' οὐδενὶ τῶν ἄλλων θαυμάζεται, καίτοι γε πολλοῖς καὶ μεγάλοις ὑπερλάμπον
πλεονεκτήμασιν, ὡς ἂν τούς τε δούλους ἡμᾶς εὖ ποιήσῃς κἂν τούτῳ, οἳ ταῖς κατὰ σὲ

1 Matthaeus 6, 22 | 3 *ἐνευπαθεῖ* C^2, *ἐνευπαθῇ* an *ἐνευπαθῆι* C^1 *Studemund* | 5 hoc loco + id est signum crucis addit C^2 *Studemund* | 5 *πάντηι* C^2, *πάντη* C^1 *Studemund* vide me ad 29, 10 *Lagarde* | 5 Ilias λ 514

διαθέσεσιν ἀεὶ συνδιατιθέμεθα, καὶ ὥσπερ εὖ ἔχοντι συνευεκτοῦμεν ὡς εἴρηται, οὕτω
τοὐναντίον συγκακουχούμεθα, [6] θεραπεύσῃς δὲ καὶ θεόν, τὸν τῆς σῆς σωτηρίας καὶ
βασιλείας προστάτην, ὃς ὑπέταξε πάντας τοὺς ἀποστατοῦντας ὑπὸ τοὺς πόδας σου, ὃς
ἀναίμακτον νίκην κατ' αὐτῶν σοι νῦν χαρισάμενος, ἄλλον μὲν οὐδένα μισθὸν ἀπαιτεῖ
σε τῆς συμμαχίας, μόνην δὲ τὴν πρᾳότητα καὶ τὴν περὶ τοὺς ἁμαρτόντας μακροθυμίαν,
ἐπαγγέλλεται δὲ καὶ θαυμασίαν ἐπαγγελίαν, ἐὰν ἀφῆτε, λέγων, ἀφήσω, καὶ ᾧ μέτρῳ
μετρεῖτε, καὶ ὑμῖν ἀντιμετρηθήσεται. [7] εἰ τοίνυν ὡς ἄνθρωπος ὀφείλεις τι καὶ αὐτός,
ἄφες τούτοις τοῖς ὀφειλέταις, ἵνα μᾶλλον πείθῃς ἐν ταῖς εὐχαῖς, τὴν εἰς τοὺς παροξύ-
ναντας ἄφεσιν καλὴν ἔχων πρόφασιν εἰς τὸ τυχεῖν τῶν ὁμοίων. [8] ἄλλην* τε καὶ
μείζω μεγαλοψυχίας ἀπόδειξιν οὐχ ἕ|ξεις ἐν ἑτέρῳ δοῦναι καιρῷ, οὐδὲ τρόπαιον 73[1]
ἄλλο στήσεις λαμπρότερον ἢ τοὺς οὕτω λυπήσαντας ἀνεξικακίᾳ νῦν ἀμυνόμενος· τὸ μὲν
γὰρ ἀντιπλῆξαι τοὺς πλήξαντας καὶ κακῶς ἀντιποιῆσαι τοὺς προϋπάρξαντας ἡδὺ μὲν
ἴσως, ἀλλ' ἄδοξον, ἐπεὶ καὶ κοινόν ἐστι τοῖς πᾶσιν ἀνθρώποις, οἷς ἀντιλυπήσεως ὄρεξις
φυσικῶς ἐνυπάρχει· τὸ δὲ τῆς κατὰ τῶν πταισάντων ἀνήκεστα δικαίας ὀργῆς μακρο-
θυμίᾳ κρατῆσαι καὶ τὴν ἐμπαθῆ φύσιν ταύτην καὶ μικρόψυχον καὶ ὀλίγωρον εἰς τὴν
ἀπαθῆ τε καὶ θείαν διὰ φιλοσοφίας ἀποβιάσασθαι, τοῦτο σπάνιον μὲν ἐν υἱοῖς ἀν-
θρώπων, σπανιώτατον δὲ διαφερόντως ἐν βασιλεῦσιν, οἷς ἡ ἐξουσία καὶ τὸ ἀνεύθυνον
ἀπλήστως ἐμφορεῖσθαι παρέχει τῆς τιμωρίας κατὰ τῶν εἰς αὐτοὺς πλημμελούντων ἢ καὶ
μάτην ὑπονοουμένων τὸ σχετλιώτατον, εἰ μή τις τὸν κρείττω βασιλέα καὶ δυνατώτερον
ἐν αὐτῷ τῷ ταράχῳ τῆς ψυχῆς ἐννοήσας, καὶ ὡς μείζονα κριτὴν φοβηθείς, καταβάλῃ
τὸ φρύαγμα καὶ τὸν θυμὸν παρ' αὐτίκα, καὶ λογισμῷ δικαίῳ χρησάμενος ὡς οὐ προβάτων
σφαγῆς, | ἀλλ' ὁμοδούλων ἀνθρώπων ἄρχειν ἐτάχθη, ὧν ἑκάστου τὸ αἷμα ἐκ 73[2]
τῆς χειρὸς τοῦ ἐκχέοντος ὑπὸ τοῦ κοινοῦ πλάστου πάντων ἐπιζητεῖται, συμφρονήσει [sic] ταχέως
παρ' ἑαυτῷ, καὶ φιλοσοφήσει τὸ εὐσυμπάθητον, ἐφ' ᾧ τὴν σὴν βασιλείαν εἰς ὑπερβολὴν
ἐθαυμάστωσεν ὁ τοὺς πραεῖς ἀγαπῶν, ἡμερότητι πολλῇ καὶ πρᾳότητι παρὰ πάντας
δοξάσας σε τοὺς πρὸ σοῦ βασιλεῖς. [9] εἰ δὲ καὶ νῦν τὸ ἀόργητον ἐν ὀργῆς φυλάξεις
καιρῷ, ἢ καθ' ὅσον οἷόν τε, μετριάσεις τὴν ἐπεξέλευσιν, εἰ μὴ τὸ πρῶτον κρατήσει· καὶ
ναί, φιλανθρωπότατε δέσποτα, ναί, θεοῦ μιμητά, πρόσθες ἔτι καὶ τοῦτο τοῖς πολλοῖς
θαυμασίοις σου· πρόσθες ἔργον τοῖς κατορθώμασι παραδείγματος κρεῖττον, ὡς εἴ γε
προσθήσεις, καὶ τὴν φυσικὴν ἀγαθότητα μηδ' ἐνταῦθα παθεῖν τι πρὸς μεταβολὴν
συγχωρήσεις, εὐτυχὴς ὄντως σὺ καὶ ζηλωτὸς καὶ μακάριος, ὅτι μετὰ τὴν ἐν γῇ βασιλείαν
ἀπολήψῃ καὶ τὴν οὐράνιον, εἴπερ ἀψευδεῖς αἱ γραφαί, τηλικοῦτον ἔπαθλον ὑπισχνού-
μεναι τοῖς ἀγαθοῖς καὶ εὐθέσι κατὰ σὲ τὴν καρδίαν. [10] εὐτυχοῖμεν | δὲ καὶ 74[1]
ἡμεῖς τά τε ἄλλα, καὶ ὅτι τοιούτῳ βασιλεῖ καὶ δεσπότῃ πρὸς πάντα τὰ ἔθνη μετὰ παρ-
ρησίας ἔχομεν ἐναβρύνεσθαι, ὃς οὐδὲ τοῖς οὕτω πονηροτάτοις πικρός ἐστι, τοσοῦτον
ἀποδέει τοῖς μὴ τοιούτοις. [11] οὕτως οὖν ἡμεῖς ἀξιοῦμεν καὶ τοιαῦτα δεόμεθα μεγαλεῖα
ποιεῖν τήν τε σὴν γαληνότητα, καὶ τὰς ἁγιωτάτας δεσποίνας καὶ βασιλίσσας ἡμῶν, οὓς
ἡ θεία τριάς, ἡ ἀδιαίρετος καὶ ἀΐδιος, ἀδιαιρέτους ἐν πλείοσιν ἐνιαυτοῖς συντηρήσοι εἰς
ἀναψυχὴν καὶ παράκλησιν τοῦ χριστωνύμου λαοῦ καὶ τῶν ἐκκλησιῶν τοῖ θεοῦ διαμονήν
τε καὶ σύστασιν.

6 Hebr 2, 8 Ephes 1, 22 | 6 Matthaeus 6, 14 | 6 Matthaeus 7, 2 | 8 ἄλλω apographum

126. κζ. [1]Οὔτε ἡμεῖς παροξύνοντες οὔτε σύ, κύριέ μου, παροξυνόμενος ξένον τι
ποιοῦμεν ἢ πάσχομεν· ὁμοίως γὰρ ἄνθρωποι παθητοί, καὶ ἀμφότεροι τὴν ἀνθρωπίνην
ἀσθένειαν ἐν ἑαυτοῖς περιφέροντες, κἂν αὐτὸς μὲν καθ' ἅπερ ἀξιώματος ὄγκῳ καὶ δόξης
περιφανείᾳ, οὕτω καὶ μεγέθει φρονήματος καὶ τοῖς ἄλλοις καλοῖς τῶν πολλῶν ἡμῶν
ὑπερέχῃς, ἡμεῖς δὲ μηδὲν συγγινώσκωμεν ἑαυτοῖς ἀγαθόν· καὶ γὰρ ὡς ἀληθῶς | οὐδὲ 74[2]
συγγινώσκομεν, εἰ μήπου μόνον ἐκεῖνο, τὸ τῆς γνώμης ἐλεύθερον καὶ τὸ πειθοῖ τινὶ
μᾶλλον, ἀλλ' οὐ βίᾳ, κάμπτεσθαι πρὸς εὐπείθειαν· τοῦτο γάρ πως ἡμῖν ἐξ ἁπαλῶν
ὀνύχων τὸ ἔθος συνηυξήθη καὶ συνετράφη, καὶ εἰς ἔτι νῦν ἀναλλοίωτον διατελεῖ παρα-
μένον. [2]ᾧ κἀνταῦθα χρησάμενοι πρὸς τὰ παρὰ σοῦ προτεινόμενα σκληρότεροί πως
ἐδόξαμεν τῇ σῇ μεγαλοπρεπείᾳ· μηδὲ γὰρ ἄλλο τι τὸ αἴτιον οἴου τῆς ἀνενδότου ταύτης
ἐνστάσεως, ἀλλ' ὅτι προπετείας οὐ φέρομεν εὐκόλως ἡττώμενοι, ἣν πολλὴν ἐνιδόντες τῷ
καταψευδομένῳ τῆς ἡμῶν ὑπολήψεως φιλονεικότερον ἔσχομεν καὶ αὐτοὶ μὴ ἐνδοῦναι,
οὐδ' οὕτω μὲν ἴσως ἐπαινετόν τι ποιοῦντες οὐδ' ἡμῖν αὐτοῖς πρέπον, οἵ γε πρὸς οὐδένα
τῶν πάντων εἰς τὴν παροῦσαν ἡμέραν διενεχθέντες ἴσμεν ἐριστικῶς, ὅμως δέ τι ἀνθρώ-
πινον τηνικαῦτα παθόντες. [3]εἰ δὲ μέ τις ἔρως τῶν ἀλλοτρίων κατέσχεν εἴτε νῦν εἴτε
πρότερον, ἢ αὐτός τι τοιοῦτον ἐπὶ νοῦν ἐβαλόμην ἢ τῶν οὕτως ἐχόντων τὴν γνώμην
ἀπεδεξάμην ἢ τὸ ἔργον | ἐζήλωσα, ἀποπέσοιμι ἄρα καὶ τῶν δικαίως προσόντων, 75[1]
εἴ τι δή μοι καὶ πρόσεστιν ἐν ἀπραγμοσύνῃ ζῶντι τοσαύτῃ, καὶ πλανήτης καὶ λάτρης
τὸν ἐφήμερον ἄρτον παρ' ἀλλοτρίας θύρας αἰτήσαιμι. [4]ἀλλὰ τί μοι νῦν περὶ τούτων
διαβεβαιοῦσθαι καὶ ἰσχυρίζεσθαι, ἐφ' οἷς τὸν πάντα μου βίον ἔχω συμμαρτυροῦντα;
[5]οὐδὲν οὖν τοιοῦτον τὸ ἐμὸν πρᾶγμα ἦν, ἀλλὰ πρὸς ἐκεῖνον μὲν ἀντεπέσομεν δι' ἃ καὶ
προείπομεν· πρὸς δὲ σὲ τυχὸν παρ' ἀξίαν καὶ τὸ εἰκὸς ἐτραχύνθημεν, οὐχ ὡσεὶ* τὸ
ἡμέτερον ἀγνοήσαντες μέτρον ἢ τὸ μέγεθος τῆς σῆς ἀρετῆς καὶ τὴν ὑπεροχὴν τῆς λαμ-
πρότητος (μήποτε τοσοῦτον ἐκσταίημεν) — μᾶλλον δ' ἄμεινον ἴσως περὶ τούτου μὴ δια-
τείνασθαι, ἐπειδὴ τρόπον ἕτερον πρὸς τὸν καιρὸν ἀπὸ μέρους καὶ ἠγνοήθη τὸ κατὰ σέ.
[6]ἀπ' ἀρχῆς γὰρ θαυμάζειν ἐθίσαντες τὴν σὴν καλοκἀγαθίαν, καὶ ἀεὶ χρηστόν σε καὶ
μέτριον ἐπὶ τῶν πραγμάτων πειράσαντες, ὡς ἐξαίφνης σφοδρότερον ἡμῖν προσηνέχθης
καὶ παρεσημήνω τὸν ἄρχοντα καὶ τὰ τῆς ἐξουσίας ὑπέφηνας, ἄλλον δή τινα | βλέ- 75[2]
πειν ἐπ' ἀληθείας ἐδόξαμεν παρὰ τὸν ἡμῖν ἐγνωσμένον, καὶ κατὰ τοῦτο τάχα σφαλέντες,
τοῦ προσήκοντος διημάρτομεν. [7]οὗτος εἰ κελεύεις ὁ λόγος τῆς ἡμετέρας τότε μικροψυ-
χίας, ὡς αὐτὸς ἂν καλέσοις· ὡς δ' ἐγώ φημι, ζήλου τὸ γενόμενον ἦν καὶ διαπύρου
φίλτρου τοῦ περὶ σέ· πεφύκασι* γάρ πως οἱ μεγάλα φιλοῦντες δριμυτέρας αἰσθάνεσθαι
κατὰ ψυχὴν ἀλγηδόνος, ὅταν ἀπροσδόκητον ἴδωσι παρὰ τῶν φιλουμένων ὑπεροψίαν.
[8]ἀπόχρη δέ μοι καὶ τοῦτο πρὸς ἀπολογίαν τοῦ πταίσματος, ἄγαν ἀληθῶς εἰρημένον,
εἰ καὶ τὸν ἕτερον λόγον ἀπραγμόνως οὐ παραδέχῃ, κρίνων ἴσως περίεργον. [9]σὺ δ' ὡς
ἂν καὶ συνέβη τὸ ἀβούλητον σύμπτωμα, δὸς συγγνώμην τῇ ἀσθενείᾳ, καὶ ἄφες ἡμῖν
μεγαλοψύχως τὸ ὄφλημα, ἄφες εὐγενῶς καὶ ἀξίως τῆς σῆς περὶ πάντα θαυμαστῆς
ἀγαθοθελείας, ὡς ἂν ἀφεθείη καὶ σοὶ παρὰ τοῦ ἀφιέντος τοῖς ἀφιεῖσι, καὶ κύρωσαι
πάλιν πρὸς τοὺς οὐκ ἀλλοτρίους ἀγάπην· οὐκ ἀλλότριοι γὰρ οἱ φιληθέντες | μὲν 76[1]
ἄχρι νῦν οὐκ οἶδα πόσα καὶ πῶς, ἀεὶ δὲ πολλά σε καὶ γνησίως φιλήσαντες· ὁ ἐν

1 Corinth β 4, 10 | 4 ὡς ἢ codex *Lagarde* | 6 C[m] γνώμη *Studemund* | 8 Matthaeus 6, 14

οὐρανῷ πιστὸς μάρτυς, ὁ ἐτάζων καρδίας καὶ νεφροὺς ἐρευνῶν, δι' ὃν ἡμῖν χάρισαι κακῶν ἀμνηστίαν, εἴ τι καὶ παρεσφάλημεν· καὶ γνῶθι πάλιν τοὺς σούς, καὶ πρὸς τὴν σαυτοῦ φιλάγαθον φύσιν ἐπανελθεῖν καταξίωσον. [10] *δεινὸν γὰρ ἐμοὶ καὶ ἀφόρητον, οὐχ ὅπως ἀνδρὸς τοσούτου ζημία, ὅστις τοῦ παντὸς πᾶσιν ἄξιος εἰκότως δοκεῖ, ἀλλὰ καὶ τοῦ τυχόντος (εὖ ἴσθι) διὰ τὸν μηδὲ τῶν μικρῶν τινὰ τούτων ἐπιτρέποντα σκανδαλίζειν ἢ προκαταλύειν ἡλίου πᾶσι τρόποις τὸ σκάνδαλον.* [11] *πρὸς αὐτοῦ τοίνυν τούτου τοῦ νομοθέτου ἄκουσον γνωρίμης φωνῆς, καὶ δεῖξόν μοι σαυτὸν ὡς τὸ πρότερον. γνωστῶς ἴδω σε πάλιν, καὶ γλυκείας ἀκούσω προσλαλιᾶς παρὰ σοῦ.* [12] *ἀλλὰ τί μὴ θᾶττον ἡμῖν τὴν σκυθρωπότητα λύεις, τὸν ἐξορκισμὸν αἰδεσθείς; τί μὴ θεραπεύεις τὸ ἄλγημα;* [13] *βλέψον ἤδη καὶ πάλιν πρὸς ἡμᾶς εὐγενές. φθέγξαι φιλικόν τι καὶ σύνηθες, εἰ καὶ μὴ ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσοι πρὸς ἑαυτοῦ | φίλον (τοῦτο γὰρ ἐγὼ τέως* 76[2]
παρὰ τῆς ἀρρωστίας οὐκ ἐπιτρέπομαι), ἀλλά γε μακρόθεν δι' ἐπιστολῆς ἢ μηνύματος, καὶ δός τι σαφὲς τῆς ἀποκαταστάσεως γνώρισμα, καὶ τὴν εἰς τὸ πρῶτον ἐπάνοδον ἐναργεῖ παράστησον ἀποδείξει, ἵνα σου τοῖς ἄλλοις καλοῖς ἐπιμαρτυρηθῇ καὶ τὸ ἀνεξίκακον, καὶ ῥηθῇ καὶ πρὸς σὲ ὅτι Καλὸς ὅλος εἶ, καὶ οὐκ ἔστι μῶμος ἐν σοί. [14] *τὸ δ' ἐπὶ τούτοις, ὑγίαινε, καὶ μηδέν σε τῶν ἔξωθεν ἀεὶ συμπιπτόντων τῆς ἐμφύτου χρηστότητος καὶ καλλονῆς παρατρέποι.*

127. *κη.* [1] *Ἄτοπον οὐδὲν οὐδ' ἀνοίκειον (ἵππον γὰρ ἐπαφίημι πεδίῳ τὸν δρομικόν, καὶ ἀετὸν εἰς νεφέλας ἀναπέμπω τὸν ὑψιπέτη) πρὸς εὐεργεσίαν σε παρορμῶν, ᾧ καὶ αὐτομάτην εἰς τοῦτο φερομένην οἶδα τὴν γνώμην, κἂν μηδεὶς αὐτὴν ἔξωθεν ὑποκινῶν ἀνεγείρῃ. τὸν δὲ ταύτης δεόμενον τῆς καθ' ἡμᾶς οἰκίας λογίζου, λέγω δὲ φαμιλίας, ἐπειδήπερ ὁ λόγος πρὸς ἰταλικόν τε καὶ φιλορώμαιον.* [2] *σὺ μὲν οὖν εὖ ποιεῖν, οὗτος δὲ παθεῖν προθυμούμενος ἀλλήλοις εἰς καλὸν συνηντήσατε· ἐπισκοπὴν δὲ ὁ κύριος ἀμφο|τέρων ποιήσει, καὶ κρινεῖ τὰς ἑκατέρων δυνάμεις, ποτέρα θατέρας ἐπι-* 77[1]
κρατεστέρα καὶ κρείττων, εἴτε ἡ σὴ τοῦ ποιοῦντος, ὡς νικῆσαι καὶ παῦσαι τὴν τοῦ πάσχοντος ἔφεσιν ὥσπερ δίψαν ποτόν, εἴτε μᾶλλον ἡ τούτου, ὡς τῆς σῆς πρὸς εὐποιίαν ἰσχύος τῷ μεγέθει τῆς χρείας περιγενέσθαι, καὶ ἀπελθεῖν ἔτι χρῄζοντα καὶ μήπω πεπληρωμένον. [3] *πρὸς αὐτὸν οὖν ὁ πᾶς ἀποτεινέσθω σκοπός σοι, ἐπειδὴ καὶ ὁ κίνδυνος ὁρᾷς ὡς οὐ μικρὸς οὐδὲ φαῦλος, μήποτέ μοι τὸ ἔλαττον ἐπὶ τηλικούτοις ἐνέγκῃ, τοσοῦτος, καὶ ταῦτα πρὸς τοσόνδε διαμιλλώμενος.* [4] *τῶν ὑπὲρ ἡμῶν δέ σοι λόγων, ὦ πάντων ἄριστε, καὶ τῶν θαυμαστῶν κρότων ἅλις· οὐ γὰρ πείσεις προσάπτων τὰ μὴ προσόντα, ἄλλως τε, καὶ ὅτι προείληπται κατὰ σοῦ τὰ τῆς κρίσεως ὡς εὐνοίᾳ δεκάζοντος τὰς ἐφ' ἡμῖν τάχα ψήφους, ἐπειδὴ παντοδαποῖς ἡ φιλία κοσμουμένη καλοῖς καὶ πολλοῖς πανταχόθεν περικλυζομένη τοῖς ἐγκωμίοις, ἓν ἔχει τοῦτο μόνον ἀτύχημα· ὕποπτός ἐστι τὰς κρίσεις τῶν φιλουμένων, καὶ οὐκ εὐχερῶς αὐτῇ | συγχωρεῖται τὸ ἀξιόπιστον,* 77[2]
κἂν μαρτυρῇ, κἂν δικάζῃ. [5] *ἀλλ' ἐνταῦθα τὸ σχετλιώτατον· καὶ παρὰ τῆς ἔχθρας αὐτῆς πλεονεκτεῖται περιφανῶς, τοσοῦτον ἐκείνης ὑστεροῦσα περὶ τὴν πίστιν ὅσον ἐν ταῖς μαρτυρίαις ἐκείνῃ* τὸ ἀπαράγραπτον ὑπὸ τῆς παροιμίας προσμαρτυρεῖται.* [6] *καὶ θαυμαστὸν οὐδὲν ἴσως, ὁπότε καὶ τυφλὴν ἤδη ταύτην τῶν πάλαι σοφῶν τινὲς εἰπεῖν*

8 Psalm 7, 10 | 9 Matth 18, 6 | 12 Exod 33, 11 | 12 Cant 4, 7 | 4 C[m] *ὡραῖον* per scripturae compendium *Studemund* | 5 *ἐκείνηι* C[2], *ἐκείνη* C[1] *Studemund*

ἀπετόλμησαν. [7] οἷς δοκῶ μοι τοὺς ὕστερον ὡς ἀνδράσι θείοις πιστεύσαντες τῶν τοιούτων αὐτὴν πολιτευμάτων ἀπεῖρξαι, ἐκ τῶν καθ' ὑμᾶς τάχα δὴ ῥωμαϊκῶν θεσπισμάτων, ἃ τὸ βῆμα τοῖς πηροῖς ἀποκλείει. [8] ὥστε φείδου μοι καὶ σὺ τῶν ἐπαίνων, ὡς μὴ τῶν δύο τὸ ἕτερον, ἢ ἀπίθανα δόξοις ἐγκωμιάζειν, ἢ τοῦτο σπεύδων φυγεῖν, εἰς ἄλλο τι χεῖρον ἀπενεχθείης κακόν, ὥσπερ οἱ τῇ Σκύλλῃ τῇ μυθικῇ περιπίπτοντες δέει τῷ πρὸς τὴν Χάρυβδιν· ἀνάγκην γὰρ ἕξεις ἐκ τοῦ σφόδρα περιέπειν φιλίαν ζημιωθῆναι φιλίαν, ἄντικρυς αὐτὴν ἀρνησάμενος, ἵνα τὴν ὑπόνοιαν λύσῃς, καὶ δόξῃς ἀδέκαστον ἐκφέρειν τὴν ψῆφον — | ἢ πάντως ἐφέσεως τῇ κρίσει δεήσει ὡς οὐκ ἀπταίστῳ παντάπασιν 78[1]
οὐδ' ὀρθῇ γενομένῃ. [9] ὡς ἂν οὖν μηδέτερον τούτων, ἀλλὰ καὶ φίλος ἅμα πιστὸς καὶ δικαστὴς ἀνεπίληπτος διαμείνῃς, ἐγκρατέστερος γίνου μοι τοὺς ὑπὲρ τῶν φίλων ἐπαίνους. [10] σὺ δὲ τὰ παρὰ πάντων ἐγκώμια πρὸς ἑαυτὸν συλλέγων ἀδιαστίκτως (καὶ τοῦτο γὰρ ἐκ τῶν σῶν) ἐν μηδενὶ καιρῷ διαλίποις.

128. *κθ. [1] Πρόθυμον ὁ πόθος· ὀκνηρὸν ἡ ἀσθένεια. ἀμφοτέροις οὖν περιμάχητος ὁ καιρὸς τῆς εὐτυχοῦς ἐντυχίας σου, τοῦ μέν, παραχρῆμα, τῆς δ', ἐς αὖθις καὶ ὕστερον προσελθεῖν σοι βιαζομένων. [2] τὸ δὲ διαιτῆσαι προσηκόντως τῇ μάχῃ καὶ δοῦναι τῷ κρείττονι τὸ κράτος κατὰ θατέρου οὐ τοῦ σοῦ Ἰωάννου, τοῦ Ἰωάννου δὲ σοῦ, ᾧ πιστεύω μηδὲν ἀδυνατεῖν τῶν καλῶν, ὅτι πνεῦμα δυνάμεως ἐν σοὶ κατοικεῖ, καὶ χάρις θεοῦ τοῦ δυνατοῦ ἐπὶ σέ. [3] κατορθώσεις δὲ τὸ ζητούμενον, τοῦτο μέν, δι' εὐχῆς τὸ ἀσθενὲς ἡμῖν ἐνισχύσας, τοῦτο δέ, καὶ βεβαίαν ὑποτείνας ἐλπίδα· ὅτι σου τοσοῦτον ἀπολαύσω καὶ οὕτως ὅσον τε | καὶ ὅπως ὀρέγομαι, ἤγουν ἐπὶ πλεῖστον καὶ κατ' ἰδίαν, ὅπερ* 78[2]
ἔθος ἀρχαῖον ταῖς λογικαῖς ἡμῶν συνουσίαις. [4] ταῦτα δὴ χαρισάμενος, τὸν ὁμηρικὸν ἵππον ὅρα· εἰ δ' οὖν, ἀλλὰ χώρα — οὐ τῇ ἀγωγῇ κατὰ σέ, τῇ δὲ παλαιᾷ παροιμίᾳ Ἐς αὔριον τὰ σπουδαῖα.

129. *λ. [1] Ἀγαθή που τάχα τοῖς πράγμασιν ἀπαντήσει μοῖρα καὶ τύχη, ἐπειδὴ χρηστὸν τὸ σημεῖον καὶ ἀναντιρρήτως εὐάγγελον· καὶ τί γὰρ ἂν χρηστότερον γένοιτο τοῦ τὸν καλὸν ἀστέρα τοῦτον ἰδεῖν, τὸν ἀρτιφανῆ, τὸν ἐν γούνασι τῷ ἐμῷ νῦν ἡλίῳ παρανατέλλοντα, σοί, καὶ τὰς ἀκτῖνας ὑψόθεν ἤδη καὶ αὐτὸν ἡμῖν ἐπιβάλλειν ἀρχόμενον, κἂν τῷ ἡλιακῷ τε καὶ μείζονι τῶν ἀνθρωπίνων φώτων φωτὶ τῆς ἀδελφικῆς λαμπρότητος ὑπερλάμπηται, καλὴν ἡττώμενος ἧτταν καὶ νίκης (εὖ οἶδα) πάσης χαριεστέραν, ὅτι καὶ φιλάδελφος μᾶλλον ἢ φίλαυτος ὁ ἀνήρ. [2] ἐπὶ τούτοις οὖν καὶ συνήδομαι, καὶ συνεορτάζω τῇ χρυσῇ ξυνωρίδι τῶν σοφῶν τε καὶ καλῶν αὐταδέλφων τὴν τῆς καθ' ὑμᾶς οἰκίας εὐδαιμονίαν, | κοινά τε τὰ τῶν φίλων ἡγούμενος, ὡς ἥ* 79[1]
τε παροιμία καὶ τὸ εἰκός, καὶ οἱονεί τινα παρήορον ἔξωθεν δεσμοῖς ἀγάπης ἀλύτοις παραζευγνὺς ὑμῖν ἐμαυτόν. [3] ἐπεύχομαι δὲ τῇ καθ' ἡμᾶς εὐπραγίᾳ ταύτῃ καὶ τέλος εὐτυχὲς καὶ κατάλληλον, ἐπειδήπερ καὶ τοῦτο τῆς ὑμετέρας σοφίας, παντὸς βίου πέρας ὁρᾶν, καὶ μὴ πρὶν συντελέσοι, μακαρίζειν τὸν εὐροοῦντα· κἂν τις ἕτερος πάλιν ἀντιφθέγγηται λόγος, ἐντεῦθεν ἤδη μακάριον εἰκότως καλῶν τὸν τὴν καθ' ὑμᾶς σοφίαν σοφόν, οἳ κατ' ἄμφω καὶ πρὸς ἀμφότερα (πνεῦμα λέγω καὶ σάρκα, ἢ βίον καὶ λόγον· εἰ δοκεῖ τοῦτο μᾶλλον) ἐστέ τε καὶ εἴητε διὰ τέλους μακάριοι· τούτου γὰρ οὐδὲν

3 C[m] *χρήσιμον* per scripturae compendium *Studemund* | 3 *συντελέσοι* C[1], sed *ο* lineola rubra auctum, ita ut *συντελέσαι* legi possit *Studemund*

ἔχομεν συνεισενεγκεῖν ἱμῖν γνωριμώτερον οὔτε πρεπωδέστερον σύμβολον τῆς ἐπὶ τῷ
συμβάντι περιχαρείας.

130. λα. [1] Πάντα μοι καλά τε καὶ δίκαια τὰ τῆς σῆς σοφίας καὶ δυναστείας, αἱ
ἀποφάσεις, αἱ γνῶμαι, τὰ προστάγματα, τὰ ψηφίσματα, πᾶσα πρᾶξις ἁπλῶς, δικαστική
τε καὶ λογική, οἷς ἀκόλουθα δή που καὶ τὰ κατὰ τὸν πένητα τοῦτον ἔγνωσταί σοι καὶ
πέ|πρακται. [2] τὸ δὲ νῦν πρεσβευόμενον οὐκ ἀναιροπή τις οὐδ' ἐναντίωσις, ὡς 79[2]
αὐτὸς αἰτιᾷ, τοῦ κριθέντος ἅπαξ ὀρθῶς — ἢ γὰρ ἂν τῷ ὄντι μαινοίμην, εἰ τὸ καλῶς οὕτω
κείμενον κινεῖν πειραθείην —, ἀλλ' ἐκδηλοτέρα σαφήνεια — ὡς ἐμαυτὸν ἐγὼ πείθω —
τῆς προεξενεχθείσης* ἐκείνης σοι θαυμαστῆς ἀποφάσεως. [3] ἀμφισβήτησις γάρ τις τοῖς
ἀντικρινομένοις ἐγένετο, ποτέρῳ μᾶλλον αὐτῶν ἡ τῶν δαπανημάτων ἀνάληψις ἐξε-
χωρήθη παρὰ τῆς ψήφου, ἐπεὶ μηδέν τι σαφὲς περὶ τούτου τοῦ μέρους ἐν αὐτῇ προσ-
διώρισται. [4] εἰς τοῦτο τοιγαροῦν ἀπορίας ἐνεχθέντος αὖ πάλιν τοῦ τμηθέντος ἤδη ζη-
τήματος, παρὰ τῆς σῆς ἀκριβείας ἀπαιτοῦμεν τὴν ἑρμηνείαν, ὡς ἂν ὁ τὸ ὅλον εὐθετήσας
τῆς ὑποθέσεως καὶ τὸ μέρος ἅμα συνευθετήσοις, καὶ μηδενὸς ἑτέρου τῇ πράξει τε-
χνίτου ἐπὶ τῇ σῇ δεήσοι χειρί, ἣν καὶ τὰ τῶν ἄλλων γινώσκομεν ὡς ἐμπειροτέραν διορ-
θουμένην. [5] τοσούτου δὴ μόνου καὶ οὐδενὸς δεόμεθα πλείονος, προσυπομιμνήσκοντες
ἅμα καὶ τῶν νό|μων τῶν σῶν, οἳ μετὰ τοῦ θάλπειν ἀεὶ καὶ περιέπειν τὸ κιν- 80[1]
δυνεῦον ἔτι καὶ τὸ φιλάγαθον ἐν ταῖς ἑρμηνείαις τῶν ἀμφιβόλων ἀπαιτοῦσιν ὑμᾶς τοὺς
εἴτε διακόνους ἐκείνων καὶ ὑπηρέτας εἴτε τοὐναντίον ἡγεμόνας καὶ ἄρχοντας, ἐπεὶ πρὸς
τὸ ὑμέτερον βούλημα ἀγομένους αὐτοὺς ὡς τὰ πολλὰ θεωρῶ, λέγω δὲ τοὺς πλείστους
τῶν ἄλλων ἐννοῶν δικαστῶν· σοῦ γὰρ ἕνεκα τοῦ πάντα νομίμου βασιλεῖς οἱ νόμοι τῆς
γῆς. [6] εἰ δὲ τὰ παρ' ἄλλοις ἀμφίβολα τέμνει φιλανθρωπία, ἦ που τῷ παντὶ δικαιό-
τερον ὑμᾶς αὐτοὺς ἐν ταῖς κρίσεσι φιλανθρωπότατα πάντων ἑαυτοὺς ἐξηγεῖσθαι καὶ
πολὺ τὸ φιλάγαθον ἐγκαταμιγνύναι ταῖς ἀποφάσεσιν, ἵνα κατὰ τὴν παροιμίαν ὁ τιτρώσκων
καὶ ἰῷτο* τὸ τραῦμα, κἀκεῖνος τὸν δεσμὸν λύοι πάλιν, ὁ δεσμῶν τὴν ἀρχήν· [7] τοῦτο
τοίνυν ἔκ τε τῶν νόμων ἔκ τε τῆς σαυτοῦ φύσεως, ᾗ χρηστότητι χαίρει διαφερόντως,
χαρισάμενος ἡμῖν εἰς τὸ πρᾶγμα, τά γε ἄλλα κατὰ σαυτὸν πρὸς τὸ δοκοῦν ἀκώλυτος
πέραινε. [8] ἐπεύχομαι δέ σοι μέχρι παντὸς | συμπαραμενεῖν[sic] τὸ νῦν αὔχημα παρὰ 80[2]
πάντων ὁμοίως πιστευόμενόν τε καὶ θαυμαζόμενον. ποῖον δή φημι τοῦτο; τὸ συνιεῖν
σε τοιαῦτα καὶ φοβεῖσθαι τὸν κύριον καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ
τῆς γῆς.

131. λβ. [1] Τὸν ἰατρὸν μὲν ὁ κάμνων, ὁ δὲ κινδυνεύων τὸν κυβερνήτην, τὸν δὲ
προστάτην ὁ τυραννούμενος ἀναγκαίως ἐπιζητεῖ· ἐπεὶ δὲ πᾶς ὁ ζητῶν εὑρίσκει κατὰ
τὴν θείαν φωνήν*, εὗρεν ὀψέ ποτε καὶ οὗτος ὁ τυραννούμενος τὸν ἑαυτοῦ προστάτην
καὶ βοηθόν, ἐφ' ὃν καταφεύγει καὶ οὗ τῶν πτερύγων ὑποτρέχει τὴν σκέπην ὡς δρυὸς
ὑψικόμου καὶ μεγάλου[sic] σκιὰν ὁδοιπόρος, τῷ πνίγει τοῦ θερείου θάλπους ἀπαγορεύων.
[2] ἡ γραφὴ δὲ τοσοῦτον συντελεῖ πρὸς τὴν χρείαν· ὁδηγὸς τῷ πάσχοντι γίνεται πρὸς τὸν
τοῦ πάθους θεραπευτήν· τὰ δ' ἐπὶ τούτοις ἐκείνοις δῆλον ὅτι μελήσει, τῷ μέν, ὅπως
δόξοι τῷ δυναμένῳ σῴζειν ἐλεεινός, τὴν ἑαυτοῦ συμφορὰν ἐκτραγῳδήσας ἀξίως, τῷ δέ,
ὡς μηκέτι τὸν ἱκέτην ἐκπέμψοι παραπλησίως οἰκτρόν, | ἀλλ' ἱκανῶς τε τὴν λύπην 81[1]

2 προεξενεχθείσης C[2], προεξεχθείσης C[1] Studemund | 6 ἰῷτο C[1], ἰῷιτο C[2] Studemund | 1 Matth 7, 8

ἐκθεραπεύσοι τῷ δυσθυμοῦντι, καὶ εἰς φαιδρότητα τρέψοι τὴν ἐπικειμένην κατήφειαν· τοῦτο γὰρ τὸ ἐπάγγελμα τοῦ τε θρόνου τοῦ σοῦ καὶ τῆς εὐγενοῦς καὶ γενναίας ψυχῆς σου καὶ προαιρέσεως. [3] ἡ χάρις τοῦ θεοῦ καὶ τὸ ἔλεος ἐπὶ σὲ καὶ τὰ σά.

132. *λγ. [1] Ἴδε τίνος καὶ πόσης λόγου σταγόνος ὁ ἐμὸς ἐμοὶ Χρυσορ[ρ]όας δι' ἄθλιον ἐφθόνησεν ὄκνον. ἀλλ' οὐκ ἂν ἀπέκαμεν ἄλλοις πελαγίζων ὅλας θαλάσσας, ἡμῖν δὲ ξηρὸς ἐπὶ τοσοῦτον διέμεινεν ἐφ' ὅσον ἀκούομεν τὸν αἰγύπτιον Νεῖλον τὴν ἑαυτοῦ ποιεῖσθαι ἀνάβασιν· ἐπὶ τοσούτοις καὶ ταῦτα, καὶ πρὸς τοιούτους καὶ ὁ τοσοῦτος· ἀνακυκλήσω γὰρ πάλιν τὸν ὀνειδισμὸν καὶ τὴν μέμψιν, καὶ οὐ πρὶν εὖ ἴσθι λήξω μεμφόμενος, πρὶν εἰς γρονθισμοὺς ἀποσκήψω, ἵνα τί σοι προσαπειλήσω καὶ τῶν συνήθων· ἴσως γὰρ οὕτω γνώσομαι, εἴ σου τοῖς καλοῖς τούτοις σπλάγχνοις καὶ καρδία τις ἔνεστι. [2] τὰ δὲ νῦν ὡς ἐπέταξας, ἀπέσταλται τὸ σκεμμάτιον, ἀπαξιοῦν μὲν ὥσπερ τὴν ἡμετέραν, τὴν δὲ σὴν μεγαλόφωνον παραμιμούμενον γλῶσ|σαν, ᾗ συνήθειαν ἔχει τῶν τε* 81[2]
ἄλλων πολλάκις ἐν τοῖς ὑπὲρ ἀξίαν ἐπαίνοις καὶ ἡμῶν οὐχ ἥκιστα καταψεύδεσθαι, τούτου δὴ στοχαζόμενον, ἵνα καὶ αὐτὸ μέρος δόξῃ τῶν ὑπὲρ ἡμῶν ἐν ταῖς γραφαῖς σου παραφθεγμάτων, οὕτω συντέτακται. [3] τῷ πεφεισμένως δ' ἔχειν κἂν τούτοις, πάσης οἶμαι δικαίως διαβολῆς ἀπαλλάττεται. [4] τὰ νομίσματα δ' ἔδει τοσοῦτον κυϊσκόμενα χρόνον, μέγεθός τε λαβεῖν ἐν ταῖς χρονίαις ὠδῖσι, καὶ μεγάλα πάντα τεχθῆναι. [5] ἐπεὶ δὲ τὴν μητέρα πτοούμεθα μὴ ὡς ἀσθενὴς ἐξαμβλώσῃ, τὰ μὲν τοιαῦτα τῷ χρόνῳ θαρροῦντες, τὰ δ' οὐχὶ τοιαῦτα διὰ τὴν πρὸς τὴν ὠδίνουσαν φειδὼ μαιευόμεθα. [6] εἰ δ' ἐκείνη τὸ γόνιμον καὶ τρόφιμον ἔρρωται, τί μὴ πάντα προάξεις εἰς φῶς εὐμεγέθη, ἐπεγείρας τῇ κυούσῃ τὰ τοιαῦτα προνοίᾳ σου, τὴν θρεπτικήν τε ὁμοῦ καὶ ἀποκριτικὴν δύναμιν; [7] πλὴν ἀλλὰ καὶ ταῦτα πολύ, καὶ προσθήκη σοι χάριτος ἀφ' ἡμῶν ὑπὲρ τούτου. τίς οὖν αὕτη καὶ ποία; ὁ ἀγαθός σε καὶ μεγαλόδωρος ἐπὶ πλέον ἔτι καὶ πλέον ἐμπλήσειε παντὸς ἀγαθοῦ.*

|**133.** *λδ. [1] Οὐκέτι σε ταύτης τῆς ἀποδημίας οἰκτείρω· ὁ μακρυσμὸς γὰρ ὁ* 82[1]
σὸς οὐκ ἀφ' ἡμῶν μακρυσμός ἐστι τῶν ἐγγιζόντων ἀεί σοι, ἀλλὰ τῶν παρ' ἡμῖν μεγάλων κακῶν, οἷς ἡμεῖς κύκλωθεν νυνὶ συνεχόμεθα, καὶ ὑφ' ὧν ἀβιώτως καὶ πρὸς τὴν πᾶσι φίλην ζωὴν οὐκ εὐμενῶς ἔχομεν, ἐπὶ τοῖς παροῦσί τε λίαν ἀθυμοῦντες καὶ ὀδυνώμενοι, καὶ τὰ μέλλοντα χείρω προσδοκῶντες τῶν ὁρωμένων. [2] εἰ δέ τινα φθάνει καὶ μέχρι σοῦ τῶν κακῶν, ἀλλὰ μὴ πῦρ σοι ταῦτα δοκείτω, ἀλλ' οἷον λεπτή τις καμινιαία αἰθάλη ἢ ἀτμοί τινες ἐντεῦθεν ἀναδιδόμενοι τοῦ παρ' ἡμῖν καιομένου τῶν συμφορῶν τῶν τῇδε πυρός· ὥστε τὸ κουφότερον ἐν κακοῖς ὡς αἱρετώτερον δέχου, καὶ τὸ μὴ χεῖρον ὅπερ ἀκούεις, βέλτιον νόμιζε. [3] τὰ δ' ἐπὶ τούτοις ὁ δοτὴρ τῶν κρειττόνων χαρίσαιτό σοι ῥῶσιν ψυχῆς, ῥῶσιν σώματος, καὶ τὴν ἐξ ὕψους παράκλησιν, ἐπεὶ τὴν κάτωθεν ταύτην, ἐκλιποῦσαν ἤδη τελέως, ἐπανελθεῖν ἡμῖν οὐκ ἐλπίς. τάχα δ' ἄν ποτε ὕστερον καὶ αὐτὴ ἐπανέλθοι, τοῦ κυρίου θαυματουργήσαντος· τὰ γὰρ παρὰ ἀνθρώποις ἀδύνατα, παρὰ τῷ θεῷ δυνατά φησιν.*

|**134.** *λε. [1] Ἥκει σοι καὶ νέος πρωτονοτάριος. εἶδος δὲ καὶ τοῦτο τελωνικόν,* 82[2]
ἐπειδήπερ πολλαὶ τῶν τελωνίων μορφαὶ ὡς καὶ τῶν τραγικῶν δαιμονίων. [2] πλὴν τὸ μὲν ἐπιτήδευμα τοιοῦτον δεδόχθω, ὁ ἐργάτης δὲ μηδαμῶς· ὑπὸ γὰρ ἀνάγκης τελώνης, ἢ

6 *ἐπεγείρας* potius quam *ἐπέγειρας* videtur scripsisse librarius *Studemund* | 3 Lucas 18, 27

μηδὲ θεόν φασι μάχεσθαι. [3] συγγνώμην οὖν ταύτῃ καὶ αὐτὸς διδοὺς ἀναγκαίαν, φιλανθρωπότερον χρῶ τῷ λατρευτῇ τῆς ἀνάγκης, συγχωρῶν ἔστιν οὗ καὶ παραδακεῖν τι βραχύ, ὥσπερ ἵππον ἀχθοφοροῦντα ἐπιεικὴς ἐπιβάτης, ἢ — τὸ γραφικὸν* καὶ ἡμέτερον — ὡς βοῦν ἀλοῶντα γεωργὸς μεγαλόψυχος· τί γὰρ δεῖ πανταχοῦ τὸν χαλινὸν ἀνακρούειν ἢ τὴν φορβειὰν ἐπισφίγγειν, δέον τι μετρίως ὑπανιέναι, ἵν' ἑκόντας ὀλίγα παρακλέπτωσιν εὐγνωμόνως, καὶ μη βίᾳ τοὺς δεσμοὺς ἀπορρήξαντες, ἀκόντων ἀνέδην * πάντα λαφύσσωσι; τοῦτο γὰρ τῆς ἀνάγκης ἀτεχνῶς ἴδιον, ἣν αὐτὸς φιλοτιμίαν ποιήσεις, μᾶλλον δὲ πρόνοιαν, ἐνδιδοὺς τὰ μικρά, ὡς εὐλογώτερον ἔχοις τῶν μειζόνων ἀνείργειν. [4] οὕτως οὖν τὴν ἀρχὴν οἰκονομῶν ἐν συνέσει, εὐαρέστει ἐναντίον θεοῦ καὶ ἀνθρώπων.

| **135.** λς. [1] Ἐπειράσθης μέν, ἀλλ' ἐβοηθήθης. ἐδοκιμάσθης, ἀλλ' οὐκ ἐγκα- 83[1]
τελείφθης. παρεδόθης, ἀλλ' οὐκ εἰς τέλος. [2] ὁ γὰρ σῴζων ἐτάχυνε, καὶ ὁ λυτρούμενος οὐκ ἐμέλλησεν. ἐκεῖνα, τῆς ἐπηρείας· ταῦτα, τῆς ἀγαθότητος· ἐκεῖνα, τῆς κάτω περιφορᾶς καὶ συγχύσεως· ταῦτα, τῆς ἄνωθεν κηδεμονίας καὶ χάριτος. [3] χάρις οὖν καὶ τιμὴ τῷ τῶν δικαίων θεῷ, ὅτι παραδόξως ἐρρύσατο τὸν ἑαυτοῦ δίκαιον· εἰς ὃν ἐλπίζομεν ὅτι καὶ ἔτι ῥύσεται· πολλαὶ γὰρ αἱ θλίψεις τῶν δικαίων, ὅπερ ἀκούεις*, ἀλλ' ἐκ πασῶν αὐτῶν (φησί) ῥύσεται αὐτοὺς ὁ κύριος. [4] ὃ δὴ νῦν ἐμφανῶς ἐπὶ σοῦ πεπληρωμένον ὁρῶμεν, ὑπὲρ οὗ καὶ μᾶλλον ἡμᾶς εὐχαριστεῖν προσήκει καὶ χαίρειν ἢ ἐφ' οἷς ἐπειράσθημεν ἀνιᾶσθαι καὶ δυσχεραίνειν· τὸ μὲν γὰρ κοινὸν ἡμῖν πρὸς πολλούς, τοῦ δὲ καὶ παντάπασιν ὀλίγοι τυγχάνουσιν· ἐπεὶ καὶ πολλοὶ μὲν ἄνθρωποι παθητοί, θεοφιλεῖς δὲ ὀλίγοι καὶ τῆς ἐκεῖθεν ἄξιοι βοηθείας ἐν ὀξέσιν οὕτω κινδύνοις. [5] ἐκλαθόμενοι τοίνυν τῶν κατόπιν ἀνιαρῶν, τοῖς χρηστοτέροις εἰς δύναμιν ἑαυτοὺς ἀνακτώμεθα, ὧν τε πε-
πειράμεθα ἤδη διὰ | τὸν σῴσαντα, καὶ ὧν προσδοκῶμεν εἰς τὸ ἑξῆς πειραθή- 83[2]
σεσθαι διὰ τὴν ἐκείνου φιλανθρωπίαν· πάντως γὰρ οὐκ ἐκλείψει τὸ ἐκείνου πλούσιον ἔλεος ἐκ τῶν κατὰ σὲ φοβουμένων καὶ ἀγαπώντων αὐτόν. [6] τοιγαροῦν γένοιτό μοι καὶ πάλιν αὐτοψεὶ σε θεάσασθαι, τὴν τῶν ἐμῶν ὀμμάτων τρυφήν, τῶν συμβάντων σοι πάντων σκυθρωπῶν ἐπιλελησμένον.

136. λζ. [1] Οἷα δρᾷς, ὦ θαυμάσιε; ἀδικεῖς τὴν φίλην φιλοσοφίαν, ἀποστερῶν αὐτὴν κτήματος ἁπάντων προσφιλεστάτου. τίνος δή φημι τούτου; τῆς εὐτελείας, ἣν αὐτὴ κόσμον ἴδιον ἑαυτῆς ποιεῖται διαφερόντως, καθ' ἃ τινες ἄλλοι τοὐναντίον ἐκ διαμέτρου πολυτέλειαν καὶ ἁβρότητα· ἧς ὁ βέλτιστος σὺ παραγεύειν ἦρξω τὴν ἀφελῆ, ἐκδιαιτῶν ὥσπερ ταύτῃ καὶ ἀπεθίζων τὸ μέτριον. καὶ τί γὰρ ἀλλ' ἢ τοῖς τοιούτοις φιλοτιμήμασιν εἰς φιλοτιμίαν ἕλκων τὴν ἀφιλότιμον; [2] ἐπεὶ τοίνυν ἔδοξεν οὕτω, δέχεται μὲν τὸ παρον διὰ τὴν φιλίαν ὡς παρὰ φίλου, παραιτεῖται δὲ τὸ μέλλον ὡς φορτικὸν
καὶ οὐ τὴν συνήθειαν μόνον, ἀλλὰ | καὶ τὴν δύναμιν αὐτῆς ὑπερβαῖνον. [3] ὥστε 84[1]
φείδου, φιλοδωρότατε, φείδου μοι τῆς σῆς ἀπειλῆς· τί γὰρ τὰ ἄλογα πρὸς τοὺς λόγους; ὡς τὰ ἄχυρα πρὸς τὸν σῖτον· ἀρκεῖ γὰρ ἡμῖν ἀντὶ πάσης ἄλλης φιλοφροσύνης τὸ περὶ σοῦ τῆς φίλης ψυχῆς διὰ παντὸς ἀκούειν τὰ προσφιλῆ, ἅτινά ἐστιν ὑγεία καὶ εὐθυμία, τὰ πρῶτα καὶ μέγιστα μετὰ τὸ πρῶτον καὶ μέγα — τὴν εὐεξίαν λέγω τὴν ψυχικήν, ἣν πάντων μάλιστα σοὶ πιστεύω προσεῖναι. τοιγαροῦν προσείη κἀκεῖνα, ἵνα ταύτῃ γοῦν ἄμεινον καὶ τὰ ἡμέτερα ἔχοι. [4] ὡς νῦν γε, πονήρως καὶ χαλεπῶς διακείμεθα, τό τε

3 Cor α 9, 9 Timoth α 5, 18 | 4 Lagarde Symmicta I 18, 45 | 3 Psalm λγ 20

σῶμα νοσοῦντες καὶ τὴν ψυχὴν πολλῷ πλέον· ἡ πρὸς τὸν θεὸν δὲ ὅμως ἐλπὶς ἰσχυροτέρα πάντων τῶν λυπηρῶν, ἐφ' ὃν πεποιθώς εἰμι, καὶ ἅμα δι' εὐχῆς ὅτι μάλιστα συντεταμένης ποιοῦμαι, ὡς οὐκ ἀποστήσει τὸ ἔλεος αὐτοῦ ἀφ' ἡμῶν, ἀλλὰ καθ' ὅτι ἂν χρείαν ἔχωμεν ἀποπληρώσει ταύτην ὡς εὐεργέτης, καὶ ἱκανῶς τάς τε σὰς καὶ τὰς ἡμετέρας ἀνίας παρακαλέσει. [5]ἀλλά σε τοιοῦτον καί γε τοιοῦτοι | πρὸς τὸ παρόν τε ἀκούοιμεν, 84[2]
καὶ τοῖς ὀφθαλμοῖς μετ' ὀλίγον ἐπανήκοντα ἴδοιμεν.

137. λη. [1]Κατὰ σὲ μὲν (οἶμαι) τὸ δῶρον τῆς εἰς ἡμᾶς εὐφημίας, θεοτίμητε δέσποτα — τὰ γάρ σοι συνήθη καὶ πρέποντα λέγεις ἅμα καὶ γράφεις —, οὐ κατ' ἐμὲ δὲ τὸ λῆμμα, τὸν ἐπαίνου τοσούτου παντάπασιν ἀποδέοντα, ὥστε μοι διττός τις ἐνέσκηψε λογισμὸς ἐπ' αὐτῷ· [2]ἐπελθὼν γάρ τὸ γράμμα, διεταράχθην μὲν ἀθρόον πρὸς τὴν ἀνάγνωσιν, ἐπειδὴ τὴν ἐπίγνωσιν οὐκ εἶχε συνεζευγμένην, καὶ τὴν παροιμίαν τὴν φλύαρον* εἰς νοῦν ἐβαλόμην μήποτέ τι λέγοι τῶν ἀληθῶν, ὡς ἄρα τυφλόν ἐστι τὸ φιλοῦν περὶ τὸ φιλούμενον, καὶ ὅτι δεκάσαι καὶ παραφθεῖραι δειναὶ τὰς τῶν κρινόντων γνώμας αἱ εὔνοιαι· [3]ταχὺ δ' ἐμαυτὸν ἀναλαβὼν καὶ συνείς, τῆς ἐναντίας γέγονα γνώμης, τὸ ἀδέκαστόν τε τοῦ λέγοντος καὶ τὸ ἀκριβὲς περὶ πάντα καὶ φιλάληθες ὑπολογισάμενος, καὶ ὡς οὐκ ἂν ὁ τοσοῦτος, δικαιότατός τε καὶ φίλτατος ὑπάρχων ἐμοί, διὰ κενῆς ἐξηπάτα με, τὰ μὴ προσόντα τηνάλλως | προσπλάττων καὶ περιάπτων, ἀλλὰ πᾶσα πάντως 85[1]
ἀνάγκη τὸ ἀληθὲς οὕτως ἔχειν, ἐκείνου λέγοντος. [4]ἐπεὶ δὲ ὡς ἔοικεν ἀγαθῇ τινὶ τύχῃ ἐμαυτὸν ταῦτα πέπεικα, ὡς ἐξ οὐρανοῦ τινὰ ψῆφον ἐδεξάμην τὴν μαρτυρίαν, καὶ ἀμφοτέραις τὸ δῶρον μεθ' ἡδονῆς ὅσης ἥρπασα, καὶ δεξιὸν ἐθέμην αὐτὸ τῆς ἐμαυτοῦ ζωῆς οἰωνόν. [5]ἓν δ' ὅμως ἔτι θορυβεῖ με καὶ θράττει, μήποτέ σου τοῖς ἄγαν ὑπερφυέσι τούτοις ἐπαίνοις ἀναπεισθείς, οὐ καθεκτὸς ἔτι γένωμαι, οὐδ' ἀνάσχωμαι μένειν ἐν ἐμαυτοῦ [sic], ἀλλ' ὑπὸ θερμότητος ἴσως ἢ καὶ κουφότητος ἀναπτῆναι πρὸς ὕψος δι' ἀέρος ἐπιχειρήσω, καὶ εἰς νεφέλας θρασύτερον ἀρθῆναι παραβιάσωμαι, ὡς ἤδη καὶ πτερὰ περιφύσας ὑπὸ τῶν σῶν λαμπρῶν λόγων, καὶ εἰς ἀετὸν παραδόξως ἐξ οὗπερ εἰμὶ νυνί, μετασκευασθείς. [6]τὸ δ' ἑξῆς, ὢ τοῦ πτώματος! βαβαὶ καὶ τοῦ γέλωτος! εἴ τις ἐκ καινῆς καὶ Ἰωάννειον πέλαγος, ὡς οἱ παλαιοὶ τὸ Ἰκάριον, ἀκούσει καὶ ὄψεται. [7]εἶτα τίς ἡμῖν τῆς ἀνοίας ἢ τῆς προπετείας συγγνώσεται, οἳ μηδ' ὅσον κηρίνων ἑαυτοῖς πτερῶν εὐπορήσαντες, | ὅμως ὑπερνέφελοι καὶ ἀέριοι παρεβαλόμεθα φέρεσθαι; [8]ἀλλ' 85[2]
ἐπείπερ (εὖ οἶδα) τοῖς ἀποστόλοις ὑμῖν οὕτως ἐνεργοὺς καὶ τοὺς λόγους ὁ ὑμέτερος διδάσκαλος ἔθετο, ὥστε καὶ ὄρη δι' αὐτῶν μεθιστάναι, καὶ δύνασθαι τοσαῦτα ὅσα κἀκεῖνος — ἐῶ γὰρ τέως τὸ καὶ μείζονα τούτων —, οὐδὲ τοῦτο πάντως ἀνέλπιστον τελέως ἡμῖν, εἴπερ φέρον τι κέρδος παρ' ἡμῶν ἐσπουδάσθη. [9]ὅταν δὲ τὸ παρὰ φύσιν καὶ τὸ ἀδύνατον δυνατὸν ἡμῖν ὑπετέθη διὰ τὴν πάντα δυνατὴν ἀρετήν σου — εἴπερ ἀδύνατον, ἀεροβατεῖν τὸ πεζόν, καὶ τὸ μὴ πτερωτὸν πτεροῖς χρῆσθαι —, πῶς οὐ σφόδρα θαρρήσομεν περὶ τοῦ κατὰ φύσιν καὶ δυνατοῦ; τοῦτο δέ φημι τὴν χαμόθεν ἔπαρσιν τῆς ψυχῆς, τῆς λεπτοτάτης φύσει καὶ κούφης καὶ ἄνω φέρεσθαι πεφυκυίας ὅθεν (ὡς λόγος) καὶ τὴν ἑαυτῆς ἔχει γένεσιν. [10]τοῦτο τοιγαροῦν βεβαίως ἐλπίσομεν διὰ τὸν λόγον ὃν εἴρηκας, καὶ ἀδιστάκτως πιστεύσομεν, ὡς ἄμεινον πάντως τὰ κατὰ

2 *φλύαρον* an *φλυάρον* C? *Studemund* | 8 Matth 21, 21 Iohannes 14, 12

ψυχὴν ἡμῖν ἕξει, σοῦ τῆς θείας ψυχῆς οὐ τοῖς ἐπαίνοις μόνον πτεροῦντος, ἀλλὰ καὶ ταῖς εὐχαῖς ἡμᾶς ἐνισχύοντος.

| **138.** λθ. [1] Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν υἱοί σοι. τοῦτο μὲν ἡ θεία 86[1]
γραφή*. ἡ ἀνθρωπίνη δ' αὕτη καὶ ἡμετέρα καὶ παρ' ἑαυτῆς τι προστίθησιν. ἀλλὰ τίς ἡ προσθήκη; ἀντὶ ἄρχοντος ἄρχοντα καὶ προστάτην ἀντὶ προστάτου τῷ ἑαυτῆς διακόνῳ δεῖται γενέσθαι σε. [2] δίκαιοι δὲ πάντως ὑμεῖς οἱ τὰς ἐπαρχίας ἀμείβοντες, ἐπειδὴ παρ' ἀλλήλων τὴν ἀρχὴν διαδέχεσθε, ἐκείνοις τι νέμειν πλέον εἰς εὔνοιαν οἷς εὐνοϊκώτερον εἶχον οἱ ταύτην προδιοικήσαντες· ὥσπερ οὖν καὶ οὗτος ὁ ἄνθρωπος οἰκειότατός τε κατέστη τῷ πρὸ σοῦ δικαστῇ, καὶ παρὰ τῆς σῆς τιμιότητος τὴν ὁμοίαν διάθεσιν εἰκότως ἐπιζητεῖ· μάλιστα μὲν ὡς ὀφειλὴν ἀπαιτῶν, ἐπεὶ τὸ κληρονομηθὲν ὑπὸ σοῦ τῆς πρὸς αὐτὸν ῥοπῆς μέρος εἰσπραττόμενος πάρεστιν. εἰ δὲ σκληρύνῃ πρὸς τὴν ἀπόδοσιν, ὡς δωρεὰν γοῦν αἰτεῖ. [3] ὁποτέρως οὖν βούλει, τυχέτω παρὰ σοὶ τοῦ σκοποῦ· πάντως δὲ μὴ κενὸς ἐπανελθέτω παρὰ τὸν πέμψαντα. [4] τύχοις δέ μοι καὶ σὺ τῶν κατ' ἐλπίδα καὶ τῶν κατ' ἔφεσιν παρὰ τοῦ τὰ μείζω διδόναι βουλομένου καὶ δυναμένου. [5] ἀλλὰ τί μὴ γράφεις ἡμῖν | ποτὲ καὶ αὐτός τι βραχύ; 86[2]

139. μ. [1] Καὶ συγγενικῶν συλλαβῶν καὶ τῶν ἐκ δυναστείας ὑπεριδών, καὶ πᾶσαν ἑτέραν περιφρονήσας βοήθειαν, πρὸς μόνον τὸ παρὸν ἐπιστόλιον ὁ παρεστὼς κατέφυγεν οὗτος, τάχα δή τι πλέον ἐντεῦθεν ἢ ἐκεῖθεν ἐλπίσας, ἐπειδὴ καὶ φιλίᾳ σε πλέον νέμοντα οἶδεν ἢ ἐξουσίᾳ, μᾶλλον δὲ σὺν λόγῳ καὶ ἀμφοτέροις, ὡς εἰκὸς τὸν οὕτω σοφὸν ἐπὶ καιροῦ χρώμενον. [2] ἐνταῦθα τοίνυν φιλία τὸ παρὰ σοι κινδυνεῦον, ἐπειδή τι προσκέκρουκεν ὡς μὴ ὤφειλε, φίλος ὢν ὁ ἱκέτης· ἣν εἰκὸς κατορθῶσαι τὸν ἀγῶνα σὺν εὐχερείᾳ, ὑπ' ἀνδρὶ καλλίστῳ καὶ φιλαγάθῳ μετερχομένην αὐτόν· [3] ᾧ καὶ πάνυ θαρροῦσα, τοσῷδε τεμαχίῳ πρὸς τὴν πρεσβείαν ἠρκέσθη, ὀλιγοστίχῳ μὲν ὡς ὁρᾷς, πλείστην δὲ ὅμως (εἰ μὴ μάτην πεπίστευκα) πρὸς τὸ πεῖσαι δύναμιν ἔχοντι, κατὰ τὴν εἰκόνα τοῦ νάπυος, ὃ σμικρότατον ὄν, ἄλλως τε μέγα δύναται, καὶ τῆς του θεοῦ βασιλείας ἀκριβές ἐστι μίμημα*. [4] πείθου τοίνυν, καὶ σῷζέ μοι τῆς ἀνάγκης τὸν ἄνθρωπον· τί γὰρ ἀναγκαιότερον τούτῳ τοῦ μὴ τῆς σῆς εὐνοίας διαπεσεῖν; [5] καὶ σὲ | δὲ ὁ πᾶσι τὴν 87[1]
σωτηρίαν βραβεύων μὴ διαλίποι σῴζων ἐξ ἀναγκῶν.

140. μα. [1] Ἐξουσίαν, ὦ βέλτιστε, ἐξουσίας οἴδαμεν κλινομένην, οὐχ οὕτω μόνον ἁπλῶς, καθ' ἓν μέρος λόγου καὶ καθ' ἓν σημαινόμενον, ἀλλὰ πολύ τι πλέον καὶ κατὰ ἕτερον, ἤγουν ἐκ τῆς οὐσίας τοῦ κινδυνεύοντος καὶ τῶν ἐκεῖθεν δώρων ἡμερουμένην. [2] οὐκοῦν τῇ προθέσει τῆς ὑφ' ᾗ τελεῖς ἐξουσίας ἀναπλήρου τὸ λεῖπον ἐκ τοῦ λοιποῦ, καὶ τῆς οὐσίας ἐκ μέρους μεταδίδου τῇ δυναστείᾳ· οὕτω γάρ πως εὐτέχνως ὑποκλινεῖς αὐτὴν σεαυτῷ, κἂν εἰ καὶ πολλὰ χαλεπαίνοι, τῇ τοῦ ἐπιθυμητικοῦ θεραπείᾳ ῥᾷστα τιθασεύσας τὸ θυμικόν, ὥσπερ ὕπουλον ἧπαρ, ἀμυχαῖς ὑπογαστρίου παραμυθούμενον.

141. μβ. [1] Παῦρα μὲν ὁ Λάκων ὁ σός, ἀλλὰ σοί γε μάλα λιγέως· πείθομαι γάρ, οὕτως εὔνου σου τυγχάνων ἀκροατοῦ. [2] πῶς δὲ οὐκ ἔμελλον, ὅς σε πάντων ἀξίως τῶν ἐπὶ γῆς προετίμησα; τοιγαροῦν σῴζοιό μοι καὶ πᾶσιν οἷς μέλει τηλικούτου καλοῦ, καὶ μηκέτι προφέροις τὴν βραχυλογίαν ὡς μέμψιν, ἐπεὶ οὐ πολύμυθος ἐγώ τις, ὡς οἶσθα. ὥσπερ οὐδὲ πολύδωρος, | οἰκειότερον κρίνων, μικρὰ τὸν μικρὸν καὶ τὸν ὀλίγον 87[2]

1 Psalm μδ 17 | 3 Matthaeus 13, 31

ὀλίγα καὶ στέλλειν καὶ ἐπιστέλλειν, ἵν' ᾖ πάντοθεν σύμφωνον τὸ πρᾶγμα πρὸς ἑαυτό, καὶ τὸ ὅλον τοῖς μέρεσιν ἐμπρέπῃ δι' ὁμοιότητα. [4] μαρτυρεῖ σοι γοῦν τὰ παρόντα τὸ ἦθος τοῦ φίλου, ὁπόταν οὐκ ὤκνησεν οὐδὲ πρὸς σὲ νῦν τοιαῦτα κατ' ἄμφω μικρολογεῖσθαι, τὸν ὁμοίως καὶ λέγειν καὶ δωρεῖσθαι πολύν.

142. μγ. [1] Πάνυ πάλαι διψῶντί μοι περὶ σοῦ μαθεῖν τι χρηστὸν προσκορής τις ἔδοξεν ὕστερον ὁ τῆς γραφῆς κομιστής, ταῖς ὑπὲρ σοῦ πολλαῖς εὐφημίαις τὰς ἐμὰς συνεχῶς περιηχῶν ἀκοάς, καὶ οὐκ ἀνιείς, οὐ παυόμενος, οὐ λήγων, οὐ σιωπῶν, ἕως παρ' ἡμῶν ἀπεπέμφθη, ταῖς παρούσαις ὀλίγαις ἐφοδιασθεὶς συλλαβαῖς, χάριν μέν σοι νεμούσαις τῆς ἤδη περὶ τοῦτον εὐνοίας, διανιστώσαις δέ σε πρὸς ἔτι θερμοτέραν καὶ πλείονα. [2] μαρτυρῶ γὰρ ὡς ἄξιος ᾧ χαρίζῃ τὰς δωρεάς, ὅσγε τοσαύταις οἶδεν ἀμείβεσθαι τοὺς εὖ ποιοῦντας αὐτὸν εὐλοστίαις sic καὶ εὐλογίαις. [3] ἀλλά μοι καὶ τοῦτον ἀφθονώτερον ἔμπλησον παντο|δαπῆς ὠφελείας, ἐφ' οἷς χρῄζει μάλιστα, καὶ δι' ἃ παρ' ἡλικίαν 88[1]
χειμῶνος τὴν πρὸς ἡμᾶς ὑπέμεινε στείλασθαι, καὶ τοῖς ἄλλοις δὲ πᾶσιν ἄξιος γίνου σεαυτοῦ καὶ τοῦ γένους. [4] ὅπερ ἴσον εἰπεῖν, ὅτι μηδὲν ἀξιέπαινον ἀπολίπῃς ἄζήλωτον, καί σε τοῖς πρώτοις τῶν ἀξιωμάτων ἐμπρέποντα, ὡς καὶ ἄξιον, ἴδοιμι ἢ ἀκούσαιμι τέως· ἤδη γὰρ ἀπολείπω σοι τὴν σὴν βασιλίδα, εἰς ἀνέλπιστον βίου μεταβολὴν ἐκπεσών, τρόπον ὃν σαφῶς οἶδε μόνος ὁ σοφὸς οἰκονόμος τῶν ἡμετέρων.

143. μδ. [1] Οὐκ εὐάγγελα μὲν τῶν βροντῶν ὑμῖν ἴσως ὅσον ἐπὶ τοῖς ταῦτα φιλοπόνως σημειουμένοις. ἔμοιγε μέντοι περιττὸν νῦν δοκεῖ τὸ τοῖς τοιούτοις προσέχειν· εἰ γὰρ δεῖ ποτε πιστεύειν αὐτοῖς, τότε πιστευτέον (ὡς οἶμαι), ὅτε μηδὲν ἄλλο φέρουσιν αἱ βρονταὶ ἀποτέλεσμα. [2] νυνὶ δὲ τοσούτων (ὡς ὁρᾷς) ὄμβρων ἄνωθεν ἐπικλυζόντων ἡμᾶς, οὐ δοκεῖ καιρὸν ἔχειν τούτου πλέον τι ζητεῖν εἰς ἀπόβασιν· ἤδη γὰρ ὅπερ ἔδει, γέγονέ τε καὶ γίνεται· βροχαὶ γὰρ ἡμῖν μετὰ βροντὰς ἐπερράγησαν. [3] πλὴν ἀλλ' αἴσια καὶ τἆλλά γε πάντα | παρὰ τῆς φιλανθρώπου προνοίας ἀπαντήσοι τοῖς πράγμασι, 88[2]
καὶ θορυβουμένους ὁμοίως καὶ μὴ μηδὲν ἡμᾶς ἀνιάσοι τῶν ἀήθων καὶ λυπηρῶν.

144. με. [1] Ἧκει* μοι φόβος ὃν ἐφοβούμην· χειροθεσία γὰρ ἤδη καὶ θρόνος καὶ ὀχλήσεις καὶ πράγματα, ὧν οὐδὲν ἐμοὶ φοβερώτερον, ὡς καὶ αὐτὸς μαρτυρήσεις, οὐδὲ διὰ βίου παντὸς ἀπευκτότερον καὶ φευκτότερον. [2] ἀλλ' ἐπεὶ οὕτως ἤρεσεν, εἴτε τῇ προνοίᾳ τῶν ὅλων, εἴτ' — οὐκ οἶδ' ὅπως εἴπω, χάρις μὲν τῷ οὕτως οἰκονομήσαντι, ἥτις αὐτῷ καὶ ἐπὶ τοῖς ἀβουλήτοις ὀφείλεται, χρεία δὲ πολλὴ* καὶ μεγάλη νῦν εἴπερ ποτὲ ἄλλοτε τῶν σῶν προσευχῶν, εἰς τὸ καταρτίσαι δηλαδὴ καὶ στηρίξαι τὴν καθ' ἡμᾶς ἀτονίαν, οὐκ οἶδα ποτέραν πλείονα φήσω — εἴτε τὴν ψυχικήν, ἧς καὶ μάλιστα λόγος, εἴτε τὴν τοῦ μοχθηροῦ τούτου σώματος· ἀμφοτέροις γὰρ ἴσον τὸ πάντη παρειμένον καὶ ἄχρηστον. [3] ὅμως — καὶ γὰρ τὴν τοῦ δικαίου εὐχὴν πολλὰ ἰσχύειν ἠκούσαμεν* — γένοιτό τις εὐκαίρως καὶ ἡμῖν ἰσχὺς παρ' αὐτῆς. [4] αὐτὸ δὲ τὸ πρᾶγμα καὶ τὸν τρό-
|πον ὅπως καὶ πόθεν, ἡ φήμη σε διδάξει ταχύ, εἰ μήπω τοῦτο καὶ ἤνυσεν, ὡς 89[1]
ἔστιν εἰκάζειν, πᾶσαν ἤδη σχεδόν που διαπτᾶσα τὴν οἰκουμένην. [5] ἀλλ' ὡς τάχιστα γράψον τι πρὸς ταῦτα καὶ εὖξαι, μᾶλλον δὲ μὴ ἐλλίπῃς ταῖς εὐχαῖς ἐνδαψιλευόμενος, εἴ τι καὶ βραχὺ μέλει σοι τῶν τῇδε καθ' ἡμᾶς.

145. μς. [1] Φιλικὴ γραφὶς ἐξ ἀνατολῶν, ὡς ἡλιακὴ βολὶς κινηθεῖσα, τάς τε ὄψεις

1 Iob 3, 25 | 2 πολλὴ ex πολλῇ correxit C[1] *Studemund* | 3 Iacob 5, 16

τοῦ φίλου καὶ τὰς ἀκοὰς περιέλαμψεν, ὡς ὅλον εὐθὺς ἀμφοτέρωθεν χαροποιοῦ λαμ-
πηδόνος ἀναπλησθῆναι. [2]ποταπὸς οὖν ἄρα μέλλει φανεῖσθαι ὁ ἀστὴρ αὐτὸς ἀναφάνας,
ὁπότε καὶ μικρά τις ἐκείνου διαύγεια τοσαύτην ἐνεργάζεσθαι δύναται ταῖς ψυχαῖς ἡμῶν
ἱλαρότητα; [3]ἀνάφανον οὖν ποτὲ πρὸς ἡμᾶς ἐπανήκων, ὁ ἡμέτερος ὄντως φωτοβόλος
ἀστήρ· οὐ γὰρ ἀνεχόμεθα δή σε τοῖς κατηστερισμένοις τούτοις συντάττειν, ὡς ἐξ ἀλλο-
τρίας αἰτίας δεχομένοις τὴν κίνησιν — ἐῶ γὰρ εἰπεῖν ὅτι καὶ τὸ φῶς ἀμβλυτέροις —,
ἀλλά σε τοῖς πλάνησι τιθέντες ἐνάριθμον — καὶ γὰρ δὴ καὶ πλάνητες ὑμεῖς οἱ κρι-
ταί, ἐν ἄλλοτε ἄλλῃ τῶν ἐπαρχιῶν | διατρίβοντες — προαιρετικὴν ὡσανεὶ καὶ 89[2]
οἰκείαν τὴν φορὰν ἀπαιτοῦμεν. [4]ἔνθεν τοι καὶ τὸν πρὸς ἡμᾶς ἀναποδισμόν, τοὺς
πάλαι ποθοῦντάς σου τὴν γλυκεῖαν φάσιν, ἐπισπεύδομεν ἤδη καὶ κατεπείγομεν· ἄχρι
γὰρ τίνος ἐμμενεῖς τοῖς ἑῴοις, δέον ἤδη ποτὲ καὶ τοῖς ἐκεῖ σε προπέμψασι δυτικοῖς
ἡμῖν ἀναλάμψαι; [5]ἴδοιμεν οὖν σε τῷ τῶν ἀρετῶν φωτὶ φαίνοντα, καὶ μᾶλλον ἐγγύθεν
ἢ πόρρωθεν ἡμᾶς καταυγάζοντα. ὃ πολλάκις εὐξάμενοι, νῦν ἤδη καὶ προσδοκῶμεν.
[6]περὶ δέ γε τῶν ἐγκλημάτων, ἅπερ οὕτω ῥᾳδίως ὁ πάντα σὺ γενναῖος ἤλπισας ὑπεκδῦναι
— τῆς ἀφιλίας τε λέγω καὶ τῆς εἰς τὸ δεῦρο σιγῆς — ἀκουσόμεθά σου καὶ πάλιν, εἰ
μέχρι τῆς ἡδίστης ὥρας ἐκείνης ἡμῖν ἐπιτραπείη τὸ ζῆν. ἀλλ' ἐπιτραπείη, καὶ ζήσαιμεν,
ἵνα σου τῆς θέας καταπολαύσωμεν. [7]καὶ τάχα συγγνωμονέστερον τῷ κρίνειν ἄλλους
λαχόντι, περὶ ταύτην τὴν κρίσιν ἡμεῖς προσενεχθησόμεθα. [8]θάρρει μόνον· καὶ χαίρων
πρὸς ἡμᾶς ἐπανέρχου.

146. μζ. [1]Ἐμοὶ πάντων μέγιστον ἡ σὴ σωτηρία, τοῦ πάντων ἐμοὶ τιμιωτάτου τῶν
φίλων, ἣν ἔναγχος ἡ|μῖν ἐχαρίσατο παρὰ πᾶσαν ἐλπίδα ὁ θεὸς τοῦ ἐλέους, ὁ 90[1]
θεὸς τῶν σημείων καὶ τῶν τεράτων, *ὁ ποιῶν θαυμάσια μόνος. [2]μέγα δὲ καὶ τὸ
γράμμα — πῶς γὰρ οὔ; — εὐαγγέλια βέβαια τοῦ καλοῦ τούτου φέρον. τὸ δὲ περισσὸν
τούτων, πόθεν; οὗ μεν οὖν ἐκ τοῦ πονηροῦ — ὃ δὴ γέγραπται —, ἀλλὰ τοὐναντίον
καὶ λίαν ἐκ τοῦ ἀγαθοῦ καὶ χρηστοῦ· ἐκ τοῦ φιλοδωροτάτου γάρ μοι τὰ δῶρα, καὶ ἡ
εὐποιΐα κατὰ συνήθειαν. [3]ἀλλ' ἀντὶ τούτων αὐτός μοι τὸν τῆς εὐφροσύνης χιτῶνα ἐκ
θεοῦ περιβάλοιο, καὶ τὸ τοῦ σωτηρίου ἱμάτιον εἰς ἀμοιβὴν τῆς χάριτος ἀντιλάβοις, ὅτι
οὐδὲν οὐδ' ὑπὸ τῶν κινδύνων ἡμῖν ἐζημίωσαι τῆς προτέρας ἐκείνης εἰς φιλίαν θερμότητος,
ὥσπερ οὐδὲ τῆς ἄλλης ἀρετῆς, ἣν ἡ σὴ τελειότης παντοδαπὴν ἐπλούτει παρὰ θεοῦ, ἣ
σοι καὶ εὐπλοοῦντι πάλαι συνῆν καὶ ναυαγήσαντι νῦν συνεξενήξατο καὶ συνηκολούθησεν.

147. μη. [1]Ἓν μόνον ἔχομεν ἐκ δυσμῶν ἀκούειν χρηστόν, εὐθηνουμένων τἄλλα τοῖς
ἐναντίοις — τὴν τῆς σῆς ὁσιότητος ζωὴν καὶ ὑγείαν, ἥτις ἀντὶ πολλῶν ἡμῖν ἄλλων, ἢ
καὶ ἀντὶ πάντων, | ἀρκεῖ. [2]χάρις οὖν τῷ εἰς δεῦρο χαρισαμένῳ ταύτην ἡμῖν, 90[2]
εἰς ὃν ἐλπίζομεν ὅτι χαριεῖται καὶ ἔτι. [3]τὰ καθ' ἡμᾶς δὲ ὅσον ἐπὶ τῷ σώματι, καὶ
μέντοι καὶ τῇ ψυχῇ, ἑαυτοῖς ἐστὶν ὅμοια· ἀρρωστοῦμεν γὰρ ἔτι σοι κατ' ἄμφω παρα-
πλησίως· φείδομαι γὰρ εἰπεῖν ὡς ἤδη που τελέως καὶ νενεκρώμεθα. [4]τὰ ἔξωθεν δὲ
τῆς συνηθείας βαρύτερα· ὃ γὰρ μόνον προσῆν εἰς παρηγορίαν ἡμῖν, ἡ ἐλευθερία, τὸ
ὄντως ἀδιατίμητον χρῆμα καὶ παντὸς ἄλλου μεῖζον καὶ προσφιλέστερον, ἀποστῆναι καὶ
τοῦτο κινδυνεύει νῦν ἀφ' ἡμῶν, ἐπὶ τινὰς θρόνους καὶ βαθμῶν προκοπὰς τῆς ἐξουσίας
βιαζομένης, καὶ μεταβολὴν ἐξ ἀνάγκης ἐπενεγκεῖν τῷ καθ' ἡμᾶς γλυκεῖ τούτῳ καὶ γα-

1 Psalm οα 18

ληνίῳ βίῳ φιλονεικούσης. [4]ἀλλὰ ποῦ δὴ καὶ πότε μᾶλλον ἡμῖν τῶν σῶν δυνατῶν προσευχῶν καὶ πρεσβειῶν χρεία; νῦν τοίνυν μάλιστα δαψιλεστέρας ταύτας χαρίζου· εἰ δ' οὖν, οἴχεταί σοι τὸ τέκνον ὁ Ἰωάννης. πλὴν ἀλλὰ νικήσοι τὸ ἄμεινον· καὶ νικήσει γε πάντως (οὐκ ἐνδοιάζω), εἰ τῶν σῶν εὐχῶν τύχοιμεν ἐκτενεστέρων καὶ θερμοτέρων. [5]θᾶττον οὖν | ἔργου ἔχου, καὶ βοήθει μακρόθεν τὴν ἀναγκαιοτάτην βοήθειαν, 91[1]
εἴ τις ἔτι σοι λόγος τῶν καθ' ἡμᾶς. [6]αὐτὸς δέ μοι καὶ χαίρων καὶ εὐρώστως ἔχων ἀγγέλλοιο, ὡς ἄν τά τε ἄλλα, καὶ ἧττον ἀλγῶμεν ἐπὶ τῇ τοῦ βίου καινοτομίᾳ, εἴπερ ἄρα τοῦτο συμβαίη, τοῖς περὶ τῆς σῆς ἁγιότητος χρηστοτέροις εὐαγγελίοις τὸ πολὺ τῆς ἐντεῦθεν ὑφαιροῦντες ἀδημονίας.

148. μθ. [1]Ὡς ἄπληστος σὺ τὴν ἀφ' ἡμῶν ἀπουσίαν, ἤτοι μίσει τῶν τῇδε, ἢ καὶ τῶν αὐτόθι φιλίᾳ· ὃ καὶ μᾶλλον ὑπονοοῦμεν· τίς γὰρ πρόφασις μίσους πρὸς ἄνδρας συμπολίτας ἡμᾶς καὶ λόγων κοινωνοὺς καὶ παιδεύσεως; [2]ἀλλ' ἢ τὸ λεγόμενον, ὁ λωτὸς κατέχει τοὺς γευσαμένους, καὶ διὰ τοῦτο τῶν οἴκοι λήθη μακρὰ καὶ νόστου παντελὴς ἀμνηστία. [3]ἀλλ' ἔλθοι σοι πάντως, ἔλθοι δήποτε καὶ οὗτος εἰς μνήμην, ἐπειδὴ ποθεινότερον πεποίηκέ σε ὁ χρόνος, καὶ παρὰ τοῦτο τάχα καὶ εὐκταιότερον, τιμιώτατε φίλων καὶ ἀρχόντων ἐμοί. [4]πρὸς δ' οὖν τὸ παρὸν τὸν παρόντα σοι προσάγομεν ἀνθ' ἡμῶν, ἵνα γνῷς ἐν αὐτῷ τὸν σὸν Ἰωάννην, εἴ τις ἔτι σοι τοῦ φίλου φροντίς, ἐπειδή|περ 91[2]
κἀκεῖνος τὸν ἑαυτοῦ Μιχαήλ, τὸν πάντα καλόν φημι καὶ πᾶσιν ἠγαπημένον, ἐν αὐτῷ ἐπιγνώσεται, τῆς εἰς τοῦτον εὐνοίας, ἢ καὶ τὸ ἔμπαλιν — ἀλλ' ἀπείη τοῦτο τὸ ἔμπαλιν — εἰς ἐκεῖνον διαβαινούσης. [5]τὰ δ' ἐπὶ τούτοις εὖ ἔχοις μοι τό τε σῶμα προηγουμένως, καὶ τὴν ψυχὴν ἐπ' αὐτῷ, ἐπειδὴ τὴν μὲν ἐρρωμένην σοι βεβαίως γινώσκω, τὸ δὲ τὴν ὑγείαν ἀμφίβολον ἔμοιγε καὶ ἄδηλον ἔχει διὰ τὸ τῆς ὕλης εὐπαθές τε καὶ εὐμετάβλητον.

149. ν. [1]Ὅ,τι μέν σοι πεπόνθαμεν, καὶ τί τὸ συμβὰν περὶ ἡμᾶς τοῦτο πρᾶγμα, θαυμαστὸν οὐδὲν εἰ θαυμάζεις· καὶ αὐτὸς γὰρ ἐγώ, περὶ ὃν συνέβη τὸ γεγονός, ἀπορίαν ἔχω πολλὴν καὶ ἀπιστίαν ἐπὶ τῷ πράγματι, ἐπειδὴ πάντα ἤλπισα μᾶλλον, ἢ τοιαύτην ἰδεῖν καινοτομίαν περὶ ἡμᾶς, τοὺς διὰ βίου παντὸς (ὡς οὐδ' αὐτὸς ἂν ἀρνήσαιο) φιλοπόνως τὴν τούτων ἀποφυγὴν μελετήσαντας. [2]ἀλλ' ἵνα παιδευθῶμεν, ἴσως καὶ μάθωμεν ὡς οὐ πάντα καὶ πάντως ἑαυτῶν ἡμεῖς οἱ ἄνθρωποι ἄρχομεν, ἀλλὰ δεῖ τῷ θελήματι τῆς τὸ πᾶν ἀγούσης προνοίας καὶ ἡμᾶς πρὸς τοῖς ἄλλοις | ὑπείκειν καὶ 92[1]
πειθαρχεῖν, κἂν εἰ καὶ πολλάκις ἡμῖν οὐ κατὰ γνώμην ᾖ τὸ γινόμενον, καὶ οὐκ ἔστιν ἐκεῖθεν ἀποδρᾶσαι καὶ ὑπεκδῦναι οὐδὲ τὸν ἀσφαλέστατον λίαν ἢ τὸν ἄλλως ἐνστατικώτατον. [3]ἐπεὶ δ' οὖν ἔδοξεν οὕτω, καὶ ὁ κρείττων ἐκράτησε, καὶ ἡττηθέντας ἡμᾶς ὑπὸ πόδας ἔχει κειμένους, χάρις τοῖς αὐτοῦ σοφοῖς κρίμασιν, οἷς τὸ πᾶν κυβερνῶν καὶ τὸ καθ' ἡμᾶς ὃν εὐδόκησεν ᾠκονόμησε τρόπον. [4]τί οὖν ἔτι πρὸς τούτοις; πολλή τις εὐχῶν καὶ ἀπαραίτητος χρεία, τὸ ἀσθενὲς ἡμῶν καὶ τὸ ἄτονον ἱκανῶν ἐνισχῦσαι· καὶ γὰρ πλεονεκτοῦμεν ὡς οἶσθα ἔν τε ψυχικαῖς ἀσθενείαις καὶ σωματικοῖς ἀρρωστήμασιν· ὧν ἀρκεῖ καὶ τὸ ἕτερον, ἐμποδισμὸν πάσης πράξεως ἐπάγειν τῷ πάσχοντι· ὅτε δὲ καὶ ἀμφότερα περὶ τὸν ἕνα συνδράμῃ, χειρὸς θείας ἄντικρυς ἐκεῖνος ὁ ἄνθρωπος, ὃς οὐκ ἄλλος τις μᾶλλον ἢ ὁ λέγων αὐτός εἰμι, καὶ πολλῶν ἁγίων δεήσεων εἰς βοήθειαν χρῄζει. [5]οὐκοῦν ὀφείλουσι πρῶτοι τὸ ἀναγκαιότατον τοῦτο καὶ χρειωδέστατον χρέος οἱ πρὸς γένους τε μάλιστα καὶ οἱ προσήκοντες ἄλλως, ὧν ἁπάντων κεφάλαιον τὴν | σὴν 92[2]

ἁγιότητα νομίζω καὶ ὀνομάζω. [6]τοιγαροῦν οἷα πρῶτος, καὶ πρῶτος ἀπόδος τῶν εὐχῶν μοι τὸ ὄφλημα, καὶ ὥσπερ ἐν πᾶσι τοῖς ἄλλοις πάντων ὁμοῦ πρωτεύεις, μηδ' ἐνταῦθα τούτων τινὶ τῶν σεαυτοῦ πρεσβείων ἐκστῇς, μηδὲ δῷς (ὅπερ ἤκουσας) ἑτέρῳ τὴν δόξαν σου*, ἀλλὰ κάταρξαι δή μοι τῆς ὑπὲρ ἐμοῦ νῦν πρεσβείας, μᾶλλον δὲ κατάρχου καὶ μὴ ἀνῇς, ἕως πείσεις καὶ κάμψεις[sic], καὶ μεταδῷ τινὸς χάριτος ἡμῖν καὶ δυνάμεως ὁ θεὸς διὰ σέ, ἵνα τὸν ζυγὸν ὃν ὑπήλθομεν, ἀπροσκόπως ἑλκύσωμεν, καὶ ταῖς σαῖς προσευχαῖς ἐξ ἀναξίων ἄξιοι καταστάντες, σοί τε μείζονος ἐπαίνου καὶ δόξης παρὰ θεῷ, καὶ ἑαυτοῖς σωτηρίας ἀναδειχθείημεν πρόξενοι. [7]ἐπὶ τούτοις δὲ πᾶσιν, ἴδοιμέν σε ποτέ, ναὶ πάντως ἴδοιμεν πάλιν, πρὶν ἐνθένδε μεταναστῆναι, ὡς ἂν εἰκόνα σαφῆ τῆς ἐκεῖ χαρᾶς τῶν δικαίων τῇ περιχαρείᾳ τῆς θείας σου δεξώμεθα ὄψεως.

150. να. [1]Ἀλλὰ νῦν τοὐναντίον· οὐχ ὁ Λυδὸς γὰρ τὰ πράγματα, τὸν Λυδὸν δὲ τὰ πράγματα πριάμενα μᾶλλον, κινδύνοις ἀφύκτοις | ἐπιρρίπτει καὶ βασανίζει, 93[1]
παρ' ὑμῶν τῶν φίλων (τὸ σχετλιώτερον) ἐκδεδομένον ὅλον καὶ πεπραμένον. [2]τοῦ κακοῦ δὲ προσθήκη, ὅτι οὐδένα λόγον οὐδὲ μετὰ τὴν ἔκδοσιν ποιεῖσθε τοῦ φίλου, ἀλλ' ὄντως* ὑμῖν ὁ κακοδαίμων ἐκεῖνος πέπραταί τε καὶ οἴχεται, καθ' ἅπερ οὐ προκοπήν τινα βίου μνηστευσαμένοις αὐτῷ, οὐδὲ τὰ πρὸς εὐημερίαν τε καὶ δόξαν σπουδάσασιν, ὡς ἐπείθετε λέγοντες, ἀλλ' οἱονεί τινα φόρτον ἀπεσκευασμένοις μακρὰν μετ' εὐσχήμονος οἷας καὶ εὐπρεποῦς τῆς αἰτίας, ἵν' ὁμοῦ τε τούτου ῥᾷον ἀπαλλαγείητε — τί λυποῦντος οὐκ οἶδα — καὶ οὐχ ὅπως ἀδικεῖν, ἀλλὰ τοὐναντίον καὶ μέγα τι δόξοιτε ποιεῖν ἀγαθόν· τοῦτο γὰρ τὸ σοφώτατον τῆς ὑμετέρας σοφίας, καὶ δεῖ τοὺς εἰς ἄκρον οὕτω σοφοὺς καὶ κακόν τι δρῶντας (ὡς ἔοικε) τεχνάζειν τὸ μὴ νομίζεσθαι. [3]ἀλλ' ἡμῖν ἡ πεῖρα τοῦ πράγματος καίπερ ἀσόφοις οὖσι τὸ πρίν — καὶ διὰ τοῦτο καὶ εὐαγώγοις — κατέστη νῦν εἰς σοφίαν· καὶ παθόντες γοῦν ἔγνωμεν κατὰ τὸν ὁμηρικὸν νήπιον. [4]ἡ δὲ γνῶσις ὡς προδεδόμεθα, καὶ ὅτι ἐπέλιπον — | τοῦτο δὴ τὸ δημῶδες — οἱ φίλοι τῷ ἀποδήμῳ· τοσοῦτον 93[2]
γε δέουσι προσμεῖναι νεκρῷ. [5]ὁ ἀπόδημος δ' ὅμως οὐχὶ καὶ τῶν φίλων ἀπόδημος, ἀλλὰ σύνεστί τε διὰ τῆς μνήμης, καὶ τοῖς τῆς ψυχῆς ὠσί τε καὶ ὄμμασι τῶν φιλικῶν καὶ λόγων καὶ ὄψεων ἡδέως κατατρυφᾷ, διὰ γλώττης τε τούτους οὐκ ἀπολείπει φέρων καὶ ἄγων καὶ ἐπὶ καλλίστῳ παντὶ τὰ κατ' αὐτοὺς ἐκθειάζων. [6]μάρτυρες δὲ πλεῖστοι τοῦ λόγου, μεθ' ὧν καὶ ταῦτα τὰ νῦν ἐπὶ τὰς σὰς χεῖρας ἥκοντα ὡσανεί τινα τύπον ὄντως Ἑρμοῦ τοῖς διττοῖς ὡς ὁρᾷς ἑρμαϊκοῖς σε δώροις φιλοφρονούμενα, ἔνθεν μὲν οἷα λόγιον τῷ τῆς δωρεᾶς δήπου τούτῳ λογείῳ καὶ γραμματείῳ, ἔνθεν δ' αὖ ὡς κερδῷον (καὶ γὰρ συγχωρεῖ καὶ τοῦτο) τῷ καλλίστῳ βροτοῖς κατὰ τοὺς σοφοὺς ὑμᾶς δεξιώματι, ὅπερ ὡς αἰθόμενον πῦρ (πινδαρικῶς εἰπεῖν) ἀναλάμψαν, ἐκθερμανεῖ τε τάχα τῷ φίλτρῳ τὴν ἐπιγενομένην ψυχρότητα, καὶ τὴν φιλίαν βλέψαι ποιήσει, τρόπον ἕτερον δοκοῦσαν ἐκτετυφλῶσθαι, ἐπειδήπερ ἐνταῦθα λήθη τις τὸ πάθος, οὐκ εὔ|νοια. [7]ἀπολαβέτω 94[1]
σοι τοίνυν ἡ μὲν πήρα τὸ ἴδιον, ἡ δὲ λογιότης τὸν λόγον, καὶ καθεξῆς εἰ κελεύεις, ἔπαγέ μοι καὶ σύναγε, προσδανειζόμενός τι κἀντεῦθεν ἐκ τῆς καθ' ἡμᾶς ἀληθείας τὸ Καὶ ἡ φιλία τὸν φίλον (ἡ κλεπτικὴ γὰρ τέως χαιρέτω, ὥσπερ οὖν καὶ ἡ ἐναγώνιος, αἱ λοιπαὶ καὶ θαυμάσιαι τοῦ Ἐριουνίου δυνάμεις· οὐδὲν γὰρ ἐκείναις πρὸς ἡμᾶς τε καὶ πρὸς τοὺς λόγους) καί μοι δεῖκνυ καὶ πάλιν ἐπὶ τῶν ἔργων τὸν ἐμοὶ τιμιώτατον Κωνσταντῖνον

6 Isa 42, 8 | 2 ὄντως ex ὄντος correctum C *Studemund* | 6 Pindar Olymp α 1

ἐκεῖνον, τὸν ἀληθῆ λέγω φίλον, τὸν πιστόν, τὸν εὐνούστατον, τὸν οὐχ ἧττον τοῖς ἔργοις
ἢ τοῖς λόγοις σοφόν, οὗ σταθμὸς οὐδεὶς ἦν τῆς καλλονῆς τε καὶ τῆς ἀγάπης. [8]*ἐκεῖνον*
οὖν αὖθις ἀπαιτῶ καὶ αἰτῶ, ἐκείνου καὶ τύχοιμι πρὸ πάντων διαφερόντως, μᾶλλον δὲ
κατὰ πάντα τυγχάνοιμι καιρὸν εὐλογώτερον, ἐπειδὴ καὶ ἅπας καιρὸς ἐμπερίστατος ἡμῖν
καὶ ἐμμέριμνος δι' ὑμᾶς αὐτοὺς καὶ οὐκ ἄλλους, τοὺς ἐξ οὗ τοιούτων τοιαῦτα σπουδά-
σαντας τὰ καθ' ἡμᾶς διαθέσθαι· πάλιν γὰρ καὶ πολλάκις ἀνακυκλήσω τὸν λόγον, ὡς
καται|δέσω πλέον καὶ πείσω, καὶ πρὸς μείζω βοήθειαν τοὺς ἐνόχους διαναστήσω. 94[2]
[9]*εἴης μοι μηδὲν ἕτερον ἢ τοιοῦτος ὁποῖος ἐγινώσκου τηρούμενος τὰ ἐπὶ σοί τε λέγω*
προηγουμένως, καὶ ὅσα τῆς θείας ἐπισκοπῆς καὶ προνοίας.

151. *νβ.* [1]*Ἐπιτρίβεῖεν (ὅπερ ἀνέγνως) μὴ μόνον οἱ πάλαι, τοὺς ἑλληνίους θεοὺς*
τῆς τε μυθικῆς ἀμβροσίας καὶ τοῦ νέκταρος ἐκείνου θαυμάζοντες, ἀλλὰ πρὸς ἐκείνοις
καὶ ὅσοι τοὺς ἐκκλησιῶν προβεβλημένους ἡμᾶς τῶν ἐπωμίδων τούτων καὶ θρόνων ἀμαθῶς
μακαρίζουσιν· ἤδη γὰρ ἡμῖν γέγονεν ἐξ αὐτῆς τῆς πείρας σαφέστερον τί μὲν δόξα ματαία,
τί δ' ἀλήθεια πράγματος, καὶ ὅτι τὰ ἔξωθεν μακάρων νῆσοι δοκοῦντα κενὴ μακαρία
τοῖς ἐντὸς εὑρίσκεται γινομένοις. [2]*καίτοι ταῦτα προῄδειμεν ὡς οὐκ οἶδ' εἴ τις ἄλλος,*
καὶ διὰ τοῦτο βιασθέντες οὐχ ἧττον ἢ πεισθέντες ὑπείξαμεν· νυνὶ μέντοι σφόδρα τελείαν
προσειλήφαμεν γνῶσιν, καὶ γέγονεν ἡμῖν ἀκριβέστατον τὸ πάθημα μάθημα. [3]*τοῦτο*
δή μοι καὶ αὐτὸς εὖ εἰδώς, μηκέτι πρὸς τὴν ἀρχὴν τῆς ἐ|παρχίας δυσχέραινε, ὡς 95[1]
πολὺ τοὐναντίον ἢ προσῆκεν ὑπειλημμένην καὶ μάτην εὐδαίμονα τοῖς ἀγνοοῦσι νενο-
μισμένην· εἰς ταὐτὸν γὰρ τοῖς φίλοις σε τὸ πάθος συνάγει, καὶ γίνεται ῥᾷον τῇ κοι-
νωνίᾳ καὶ ὁμοιότητι, ὡς μηκέτι σε τίθεσθαι τὸν βίον ἀβίωτον, ἀλλ' ἀνενεγκεῖν τι βραχὺ
καὶ πιστεῦσαι καὶ ἔτι ζωτικῶς ἔχειν, πρὸς τὸ καθ' ἡμᾶς ἀποβλέψαντα· ἵνα μὴ καὶ
τῶν μυθικῶν ἀγενέστερος τάχα λαγωῶν δόξῃς, οἳ παντελῆ καταγνόντες ἑαυτῶν δειλίαν*
καὶ ἀθλιότητα, κἀντεῦθεν ἀθρόοι κατὰ τῆς γειτονούσης λίμνης ὁρμήσαντες ὡς ἑαυτοὺς
ἀποπνίξοντες, ἐπέσχον ἄφνω καὶ μετεβάλοντο, ἐπείπερ ᾔσθοντο τοὺς ταύτῃ βατράχους
τῷ περὶ αὐτοὺς δέει κατὰ τοῦ βυθοῦ τὴν ταχίστην ἑαυτοὺς ἀπορρίψαντας, ὡς κἀκείνους
οὐχ ἥκιστα δειλίᾳ κατόχους. [4]*τὸ δ' οὖν χρησιμώτατον ὅμως καὶ πάντων ἀναγκαιότατον*
τῶν ἄλλων, ὑγίαινε. καί σοι πάλιν ἐντύχοιμεν δι' ἑαυτῶν ἀμέσως ἡμεῖς, ὡς ἂν τὰς
τύχας ἀλλήλοις ἐγγυτέρω προσανακλαύσωμεν.

152. *νγ.* [1]*Οὐκ ἄρα τὸν ἀνθρώπινον βίον ἀπέλιπεν | εἰς τέλος ἡ ἀρετή,* 95[2]
ἀλλὰ καίτοι τῶν τῇδε μεταστάσης πάλαι καὶ ἀπελθούσης ἔτι που καὶ νῦν ταύτης ἴχνος
παρ' ἡμῖν σῳζόμενον εὕρηται. καί τις νῦν παραδόξως ἄνθρωπος ἀνεφάνη οἱονεί τις
θεὸς ἐκ μηχανῆς (τὸ ᾀδόμενον), λόγον ἔχων ἀγάπης, τοῦ τῶν ἀρετῶν κεφαλαίου, καὶ*
φροντίδα τιθέμενος τοῦ πρώτου τῶν ἀγαθῶν, εἴτε τοῦ χρυσοῦ γένους λείψανον ἐκείνου
τοῦ μυθικοῦ, περιλειφθεὶς τῷ γένει τῷ ἀνθρωπίνῳ καὶ διαλαθὼν ἄχρι νῦν, εἴτε (τὸ
ἀληθέστερον μᾶλλον) χαρακτὴρ ἐναργὴς τῆς τοῦ Χριστοῦ μαθητείας τῇ καθ' ἡμᾶς γενεᾷ
παρὰ τῆς τὸ πᾶν κυβερνώσης προνοίας ἀναδειχθείς, εἰς θαῦμα καὶ ζῆλον ἅμα τῶν
θεωμένων. [2]*ᾧ γε τοσοῦτον περίεστι τοῦ καλοῦ τούτου χρήματος (λέγω δὴ τῆς ἀγάπης),*
ὥστε καὶ οὓς την ἀρχὴν οὐδέπω τεθέαται, εἴσω τῶν ἐκείνης ἀρκύων σπεύδει λαβεῖν,
τὴν εὐαγγελικὴν καὶ παγκόσμιον σαγήνην μιμούμενος, οὐ τὰ ἐγγὺς ἀγρεύουσαν μόνον,

3 *μῦθος* C[m] *Studemund.* fabul aesop Halmii 237 | 3 *ἀγεννέστερος* apographum | 1 Matth 22, 40

ἀλλὰ καὶ τὰ πόρρω περιλαμβάνουσαν τηνικαῦτα καὶ ταῖτα, ὁπηνίκα πληθυνθείσης
τῆς ἀνομίας (κατὰ τὸ γεγραμμένον) καὶ τοῖς πάλαι συνήθεσιν ᾖ | καὶ ἄλλως* 96[1]
φιλτάτοις ἐναπεψύγη. [3]*ἐμοὶ γοῦν (ἴσθι) καὶ ἀπιστεῖν ἔτι ἔπεισι τῷ τοῦ θαύματος*
ξένῳ, καὶ ὑπὲρ τὴν νῦν πολιτείαν τε καὶ κατάστασιν ἡγοῦμαι τὴν εὐτυχίαν· ἀλλ' εἴπερ
οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἀληθῶς τὸ παρόν, δέχομαί τε τὸ πρᾶγμα μετὰ περιχαρείας ἡλί-
κης, καὶ ἀμφοτέραις ἁρπάζω τὸ πολύτιμον ἕρμαιον, φίλον τε τὸν ἄνδρα ἐντεῦθεν καὶ
τῶν φίλων φίλτατον τίθεμαι, καὶ δεξιὰν ἤδη δίδωμι μεθ' ὅσης τῆς προθυμίας, καὶ
ὡσανεί τινα χεῖρα τὴν ἐπιστολὴν μακρόθεν ἐμβάλλω, ὅλῳ τε ὅλος ἤδη καὶ πρὸ τῆς
θέας ἑνοῦμαι καὶ ἀνακίρναμαι ἀρρήτοις τισὶ καὶ θειοτέραις ἑνώσεσι, καθ' ἃς ἑνοῦνται
ψυχαῖς διὰ τῶν φίλτρων ψυχαί. [4]*ὥστε οὖν ἤδη ἔμοιγε τοῖς ἀπ' ἀρχῆς στεργομένοις*
καὶ ὁ νεοφανὴς καὶ παράδοξος προσεγγέγραπται φίλος· ἐγγεγράφθω δὴ τελεώτερον καὶ
ὁ γράφων ἐν τοῖς ἐκείνου, καὶ ἀποδῶμεν ἀλλήλοις τὸ δικαιότατον ὄφλημα, μᾶλλον*
δὲ ἀπονέμοντες ἐντεῦθεν μὴ διαλίπωμεν, τὴν ἀντιδιδομένην δῆλον ὅτι ταύτην διάθεσιν,
καὶ τὸ ἄλλους ἑαυτοὺς ἀλλήλους ἡγεῖσθαι καὶ τὸν ἀκριβέστατον ὅρον τῆς φιλίας*
| ἄτρεπτον σῴζειν, ὅπερ δὴ πραγματειῶν ἡ μεγίστη καὶ συναλλαγμάτων ἁπάντων 96[2]
τὸ λυσιτελέστατόν τε καὶ κάλλιστον. [5]*ἀλλά μου ποτὲ καὶ ταῖς αἰσθηταῖς ταύταις ὄψεσιν*
ἐγγύτερον ἐποφθείης, ὑγιαίνων εὖ ἔχοντος, καὶ χαίρων οὐκ ἀθυμοῦντος, ἵν' ἀλλήλων ἐν
πᾶσιν οἷς ποθοῦμεν κατατρυφήσωμεν.

153. *νδ.* [1]*Ἐν πολλοῖς κακοῖς καὶ ποικίλοις οἷς ἐνευθηνεῖται ἡ χώρα, ἓν εὑρεῖν*
ἤλπισα χρηστὸν ἐπ' αὐτῆς, ὥσπερ ἥδιστον ῥόδον ἀκανθῶν ἐν μέσῳ διαφαινόμενον, τὴν
σὴν ὁσιότητα, ἐκλεκτὲ θεοῦ ἄνθρωπε καὶ πάτερ ἡμέτερε καὶ φίλε καὶ ἀδελφέ· ἀλλὰ*
καὶ αὐτὸ τὸ ἓν ἀγαθὸν οὗ τυχεῖν προσεδόκησα, μακρὰν ἀπ' ἐμοῦ ἐστί, καὶ μετέχειν
οὐκ ἔξεστιν οὐδ' ἀπολαύειν αὐτοῦ διὰ τὴν ἀπουσίαν καὶ τὴν διάστασιν. [2]*ἐπεὶ δὲ τὸ*
πρῶτον καλὸν ὑπὸ τῆς ἐπηρείας ἀφῄρημαι, ὃ λοιπὸν δυνατόν ἐστιν, ἡδέως ποιῶ· κατὰ
μέσην ἀεί σε τὴν ψυχὴν περιφέρω, καὶ τῇ σῇ κατὰ νοῦν ἐπαναπαύομαι θεωρίᾳ, καὶ
τῇ μνήμῃ κουφίζομαι καὶ ῥάων ἐμαυτοῦ γίνομαι, καὶ τοῦτο μόνον εὑρίσκω τῶν ἀνιαρῶν
τῶν τῇδε παραψυχήν, ὡς τά γε ἄλλα πολλῆς ἀηδίας μοι καὶ ἀκηδίας | μεστά· 97[1]
οἷς τοσοῦτον περίεστι τοῦ ἀηδοῦς καὶ πικροῦ, ὥστε καὶ ὑμῖν αὐτοῖς ἤδη, τοῖς πολλῶν
καὶ ἄλλων κακῶν πεπειραμένοις πολλάκις, καὶ τὸ κακοπαθεῖν ἐξ ἔθους δεδιδαγμένοις,
τῶν συνήθων ἐκείνων ὁμολογεῖται βαρύτερα. [3]*εἰ δὲ πρὸς ὑμᾶς οὕτω ταῦτα, ἐννοείτω*
σου τὸ περὶ πάντα συνετὸν καὶ ἀγχίνουν οἷα πρὸς ἡμᾶς εἰκὸς εἶναι τοὺς εἰς ἅπαν
ἀήθεις περὶ τὰ τοιαῦτα καὶ ἀγυμνάστους καὶ τὸν ἄχρι νῦν βίον πόρρω καταιγίδων
τοιούτων καὶ κυμάτων βιώσαντας. [4]*ταῦτα δὴ λογιζόμενος περὶ ἡμῶν, καὶ σκοπῶν μὴ*
ἀμέλει τῆς ἄνωθεν δεδωρημένης σοι χάριτος — ἀλλὰ τὸ ἐν σοὶ περιττεῦον ἔν τε πείρᾳ
πραγμάτων καὶ ψυχῆς γενναιότητι καὶ σοφῇ κυβερνήσει δυσκολίας καιρῶν καὶ τῇ περὶ
τἆλλα φρονήσει καὶ δεξιότητι εἰς τὸ ἐν πᾶσι τούτοις ὑστέρημα ἡμῶν ἀποκένου φιλα-
γάθως καὶ μεταδίδου, ἀνακτώμενός τε διὰ γραφῶν καὶ χειραγωγῶν διὰ λόγων, ὑποτιθείς
τε τὸ δέον καὶ τὸ συμφέρον διδάσκων, τὸ δὲ κρεῖττον ἔτι καὶ μεῖζον, ταῖς εὐχαῖς
ἐνισχύων καὶ ὅλως ἡμῶν τὴν ἀπειρίαν ὑποστηρίζων, ἵνα μὴ ἐκλί|πῃ τελέως ἡ 97[2]
ἡμετέρα ἰσχύς, τῇ ἀμετρίᾳ τε τῶν κακῶν πιεσθεῖσα, καὶ τῷ συνεχεῖ καὶ ἀθρόῳ τῶν

2 Matth 24, 12 | 4 Rom 13, 8 = Lagarde Proverbien 8[m] | 4 Matth 22, 39 | 1 Tim α 6, 1

συμφορῶν καταπονηθεῖσα, καὶ διὰ τοῦτο θᾶττον ἀπαγορεύσασα. [5] *καί σοι ὁ θεὸς τῶν δικαίων ὡς καὶ δικαίῳ τῆς δικαιοσύνης δοίη τὸν στέφανον ἐν ἡμέρᾳ ἐπιφανείας*, καὶ χαρίσαιτό σε καὶ αὖθις τοῖς αἰσθητοῖς ἡμῶν ὀφθαλμοῖς, ἵνα καὶ πνευματ[ι]κῶν ἅμα λόγων καὶ θειοτέρας ὄψεως ἀπολαύσαντες, τὴν ἀπὸ σοῦ τελεώτερον ψυχαγωγίαν τρυγήσωμεν.*

154. *νε.* [1] *Οὐκοῦν δώσεις δίκην, ἀνδρὶ φιλοπράγμονι μεταδοὺς παρρησίας· ἡ δίκη δὲ οἴκτου εἴσπραξις περὶ τὸν οἰκτρὸν τοῦτον ἄνθρωπον, ὅστις τόπον ἐκ τόπου κατὰ βίου ζήτησιν πλανηθεὶς κἀντεῦθεν ἐλπίσας τὴν οὐσίαν αὐξῆσαι, καὶ τὰ προϋπάρχοντα προσαπώλεσε.* [2] *διὰ ταῦτα νῦν πάρεστί σοι, ναυαγὸς ἄθλιος ἐξ ἀτυχοῦς ἐμπορίας καὶ δυσδαίμονος πλοῦ, προσαποβαλὼν καὶ τὸ πλοῖον. εἴ τις οὖν ἔλεος, εἴ τις καὶ μετρία συμπάθεια παρὰ τοῖς εὐπλοοῦσιν ὑμῖν περὶ τοὺς χειμαζομένους οὕτω καὶ κινδυνεύοντας,
δεῖξον νῦν αὐτὸς ἐπὶ τούτου· δείξεις | δέ, χώραν ὑπὸ ταῖς σαῖς αὐτῷ πτέρυξιν εἰς* 98[1]
καταφυγὴν χαρισάμενος, ἃς κατὰ τὴν περιστερὰν ἐκείνην τὴν ψαλμικὴν περιηργυρωμένας οὗτοι φαντάζονται, καὶ τὰ μετάφρενα ὑμῶν ἐν χλωρότητι χρυσίου λογίζονται, καὶ ταῦτα παθόντες οἱ πλείους τἀναντία καὶ πάσχοντες, ὡς καὶ αὐτὸς οὗτος ἤδη. ἀλλ' ὅμως ἐπειδὴ ἀπαραίτητον πανταχοῦ ἡ ἀνάγκη, οὐκ ὀκνοῦσι πολλάκις ἐγχειρεῖν τοῖς αὐτοῖς ἐπὶ τῇ τῶν βελτιόνων ἐλπίδι, καὶ μετὰ τὴν πεῖραν τοῦ χείρονος.* [3] *συνελόντα δ' εἰπεῖν — τί γὰρ δεῖ πολλάκις ἀνακυκλεῖν; — αὐτὸς μὲν τρανότερον τὰ καθ' ἑαυτὸν παραστήσει, ἐπὶ τοῖς οἰκείοις πάθεσιν ἔχων τὸ μεγαλόφωνον, σὺ δ' ἐλέους μνησθήσῃ πρὸς αὐτὸν καὶ προνοίας· τοῦτο γὰρ οὐκ ἀδύνατον πρὸς ἀγάπην ἐπίταγμα.* [4] *εἰ δὲ δυσχερές, ὡς ἂν φαίης, καὶ τὰς θείας ἐντεῦθεν ἀμοιβὰς οἴδαμεν, ἐπεὶ ῥᾷστον ὂν καὶ τοῦ τυχόντος τὸ ἀγαθόν, οὐκ ἂν ἦν τι μέγα καὶ τίμιον, οὐδὲ τηλικούτων ἂν γερῶν ἠξιοῦτο παρὰ τῷ δικαίῳ τῷ
πάντων βραβευτῇ καὶ διαιτητῇ, ὃς κἂν τῷδε τῷ βίῳ | καὶ πολύ τι μάλιστα κἂν* 98[2]
τῷ μέλλοντι ἵλεως εἴη σοι καὶ τὰ καταθύμια νέμοι.

155. *νς.* [1] *Εἰ μὴ κενὰ δέχῃ γράμματα, ἄγε δή μοι τὰς ὄψεις τῶν πρόσω γεγραμμένων ἀπόστρεφε· ἡ γραφὴ γὰρ αὕτη τοιαύτη ἄχαρπος, ἄχαρις, ἄδωρος, ἀκερδής* οὐ διὰ τὸν γεγραφότα καὶ τὴν συνείδησιν — οὐ μὰ τὴν ἐνταῦθα πενίαν, ᾗ πιεζόμεθα —, ἀλλὰ δι' αὐτὸ μόνον τοῦτο ὅπερ δὴ καὶ ὅρκον ποιούμεθα.* [2] *προσείρησο δ' οὖν τὴν ψιλὴν τέως πρόσρησιν, ὦ πάντων ἀνθρώπων φίλτατέ μοι καὶ βέλτιστε, καὶ τῆς ἀτυχίας τὸν φίλον ὡς φίλος ἀληθὴς οἴκτειρον· τάχα δ' ἂν σε ποτὲ καὶ δωρητόν, εἰ ζήσεται, θήσοι.* [3] *πρὸς τὸ παρὸν δὲ ὑγίαινε, καί μοι χαίρων ἀγγέλλοιο καὶ προκόπτων ποσῶς· νῦν γὰρ οὔ μοι δοκεῖς οὐδὲ τὸ βραχύτατον δι' ἣν σοι ἔκπαλαι σύνοιδα μακροθυμίαν πρὸς τὰ τοιαῦτα.*

156. *νζ.* [1] *Ἀκερδῆ μὲν οἶδα τοὺς φίλους ἀγαπῶν καὶ ἀνόνητα, οὐ διὰ μικροψυχίας φαυλότητα (τοῦτο γὰρ ἀλλότριον πάντῃ τῆς Ἰωάννου γνώμης καὶ προαιρέσεως), διὰ χειρῶν δὲ πενίαν καὶ τῶν πρὸς θεραπείαν σπάνιν καὶ ἔνδειαν.* [2] *ἀγαπῴην δ' ἂν οὕτω
καὶ αὐτὸς ὑπ' ἐκείνων ἀν|ταγαπώμενος. »οὕτω« δὲ λέγω πῶς; ἀληθινῶς, γνησίως,* 99[1]
εἰλικρινῶς, ὡς τό γε περαιτέρω προσαπαιτεῖν τι καπηλεία τις ἄντικρυς καὶ οὐ τῆς ἐμοὶ στεργομένης ψυχικῆς ἐλευθεριότητος. [3] *ἔχε οὖν, ὁ ὁμώνυμος, καὶ ὁμοτρόπως κἂν τούτῳ, καί σου τάχα τὰς μέμψεις οὕτω φευξόμεθα ἐφ' οἷς κατὰ τὸν εἰπόντα*

5 Thess β 2, 8 | 2 Psalm ξζ 14 | 1 ἀκερδήσ (sic) C *Studemund*

ἄσιτα κἀδώρητα φορμίζω μέλη,

τὰ γράμματα. [4]*ἐπὶ πᾶσιν εὖ ἔχοις μοι, καὶ προκόπτοις οὕτως ὀξέως, οὐκ ἀναβαίνων μᾶλλον τοὺς κατὰ σὲ βαθμοὺς τούτους ἢ ταχίστοις τισὶν ὠκυπτέροις παραδόξως ὑπεριπτάμενος.*

157. *νη.* [1]*Τὴν εὐγενῆ τριάδα τῶν ἀδελφῶν, τὸν καλόν τε καὶ ἥδιστον τῆς ἐμῆς παιδείας καρπόν, φιλῶ μὲν ὡς τέκνα τε καὶ σπλάγχνα ἐμά. φιλῶ καὶ λίαν, εὖ ἴστε· καὶ τὸ φίλτρον, οἷον ἐξηρημένον. καὶ ἡ ἀγάπη, διαφερόντως, εἰ τοῦτο ὑμεῖς, ὡς σοφοὶ τῷ ὄντι καὶ λόγιοι, τὴν ψυχικὴν διάθεσιν κρίνετε· ἐπείτοιγε τῶν ἔξωθεν ἀποδείξεων, ἃς ὁρῶ τοὺς πολλοὺς ἀπαραιτήτως εἰσπράττοντας εἰς τὴν τῆς φιλίας παράστασιν, οὐχ ἡμεῖς ἀλλ' ἕτεροι κύριοι· οἷς ἀνήκει δηλαδὴ τὰ κοινά·* [2]*τὸ δ' ὅσον εἰς | τὴν ὑπό-* 99[2]
μνησιν, ὀκνῶ μὲν εἰπεῖν ὡς ἐγχειρηθὲν οὐκ εὐτύχηται. ὁ δ' οὖν ἀδελφὸς προετράπη τὸ πρὸς δύναμιν αὖθις ἐπιχειρῆσαι. θεοῦ δὲ τὸ τέλος καὶ ἡ τῆς ἐφέσεως πλήρωσις. [3]*ἀλλ' ὑμεῖς ἔρρωσθέ μοι καὶ χαίροιτε κοινῇ καὶ συγχαίροιτε, καὶ τοῦ ποτὲ γνωρίμου καὶ φίλου μνήμη τις ὑμῖν ἔτι σῴζοιτο.*

158. *νθ.* [1]*Ἱκανῶς ἡμᾶς ἀνεκτήσαντο μικροῦ τι λειποθυμοῦντας πρὸς τὴν τῶν κακῶν ἐπισύστασιν αἱ σοφαί σου καὶ θεῖαι καὶ χρησταὶ παρακλήσεις ἃς ἐνέθου τοῖς γράμμασιν, ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ παλαιὰ παράγων καὶ νέα*, καὶ παντὶ θεραπείας καὶ ψυχαγωγίας χρώμενος τρόπῳ· ἀνθ' ὧν παρακαλέσοι καὶ σὲ ὁ ἐπαναπαυόμενός σοι καὶ ἐνοικῶν, οἶμαι δ' ὅτι καὶ ἐμπεριπατῶν διὰ τὴν εὐρυχωρίαν τῆς καθαρότητος καὶ τὸ πλάτος τῆς ἔνδον κατὰ τὴν καρδίαν ἑτοιμασίας.* [2]*χάρις οὖν σοι μεγίστη τῶν τε ἄλλων, καὶ τῆς ἀγάπης, ἣ κεφάλαιον οὖσα νόμου καὶ προφητῶν*, νῦν ἐν λίαν ὀλίγοις, ἢ τυχὸν οὐδὲ τοῦτο, διὰ τὸ τῆς ἀνομίας πλῆθος* εὑρίσκεται.* [3]*ἀλλὰ σὺ ταύτην ὅλην ἐν σεαυτῷ μοι σῴζεις, καὶ σῷζε· καλὸν γὰρ τὸ χρῆμα, καὶ ἄξιον τῶν τῆς σῆς τιμίας ψυχῆς | ἀποθηκῶν καὶ ταμείων.* [4]*ἀπεστάλη δὴ πάλιν καὶ πρὸς τὸν κοινὸν δεσπότην* 100[1]
γραφή, ἣν τῇ πρὶν ἐκπεμφθείσῃ παραπλησίως διευθέτησον ἡμῖν καὶ εὐόδωσον, καὶ εἴ τι πρὸς τούτοις ὁ ἐσταλμένος παρ' ἡμῶν ἐπετράπη, τῆς σῆς ἐπὶ πᾶσι συνεργίας ἀπολαυσάτω, ἵνα καὶ αὐτὸς τῆς πρὸς ἡμᾶς ἀγαθῆς σου γνώμης καὶ διαθέσεως κῆρυξ ἐπανέλθοι καὶ μάρτυς. [5]*τέλος δὲ τὸ πᾶν ἄκουε. ὁ θεὸς τῆς ἀγάπης* ἀγαπήσειέ σε γνησίως, καὶ ὡς φίλῳ πιστῷ καὶ ἀγαθῷ σοι θεράποντι τὴν ἑαυτοῦ χαρίσαιτο χάριν.*

159. *ξ.* [1]*Ὑμεῖς δὲ τοὐναντίον ἡμᾶς μακρολογοῦντας ἐπαύσατε, ὥσπερ πάλαι Θηβαῖοι Λακεδαιμονίους βραχυλογοῦντας· οὐκέτι γὰρ ἡμῖν σχολὴ πολλὰ λέγειν, οὐδὲ πρὸς ὑμᾶς, τοὺς σοφούς τε καὶ φιλολόγους, μακροτέρους φθέγγεσθαι λόγους· ἄλλοι γὰρ ἐπείγουσι πόνοι, καὶ τῇδε νῦν ἔβρισε πολύδακρυς πόλεμος, πρὸς ὃν ἀντέχειν ἀνάγκη ὅλους ἑαυτοὺς πᾶσι τρόποις, ἀπασχολοῦντας ἐνταῦθα.* [2]*διατριβαὶ δ' ἐκεῖναι καὶ λόγοι καὶ μακάριος βίος, ὧν ἐστερήμεθα, χαιρέτωσαν ἤδη· ὄνειροι γὰρ ἦσαν, ὡς ἔοικε, καὶ οὐδὲν ἄλλο πλέον· |* [3]*τὰ δὲ νῦν ἄλλος βίος, χαλεπός, ὦ λόγοι καὶ φίλοι, ἄλλη* 100[2]
τὸ λεγόμενον δίαιτα, λυπηρὰ τὸ καθ' ὅλον καὶ ἀηδὴς καὶ οὐκέτι φορητὴ τοῖς πειρωμένοις ἡμῖν.* [4]*ἀλλ' οὐδὲ τῶν φίλων τι κέρδος ἐν ἀναγκαίοις καιροῖς — τὸ περιπαθέστερον —, ἀλλ' οὐδὲ τοῦ πάντων φιλτάτου καὶ διαφερόντως ἠγαπημένου. ἀλλ' ὁ μὲν ἐν*

1 Matthaeus 13, 52 | 2 Matthaeus 22, 40 | 2 Matthaeus 24, 12 | 5 Corinth β 13, 11 | 3 *πειρωμένοισ* ex *πειρομένοισ* correctum C *Studemund*

ἀνέσεσι καὶ ἔστι καὶ εἴη, καὶ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχει, κατὰ τὴν σοφὴν τραγῳδίαν, τῷ δὲ φίλῳ τῶν πόνων κοινωνεῖν οὐκ ἀνέχεται οὐδὲ χεῖρα παρέχειν ἀρωγὸν κάμνοντι· ἢ τίς ἐκείνη καὶ ποία? καὶ τί τὸ σημεῖον τῆς ἐκεῖϑεν ἐπικουρίας; [5] ζήτω οὖν ὁ ϑαυμάσιος καὶ φίλτατός μοι τῶν φίλων, ὁ καὶ πάλαι καὶ νῦν διαφερόντως ἐμός, τὸ τῶν λόγων ἄγαλμα, τῆς σοφίας ὁ οἶκος, ὃν αὐτὴ φιλοπόνως ἑαυτῇ ᾠκοδόμησε*, καὶ ἀκουέσϑω μοι οὕτω διὰ παντὸς περὶ τούτου, ἵνα ταύτῃ γοῦν ῥᾴων ἐμαυτοῦ γίνωμαι, τὴν εὐπραγίαν τοῦ φίλου πρὸς ἐμαυτὸν ἔγωγ' οὖν ἐπισπώμενός τε καὶ οἰκειούμενος, ἐπεὶ μὴ ἐκεῖνος τὴν ἐμὴν δυσπραγίαν.

160. ξα. [1] Τί μακρὰ κάμνεις, λογισμὲ τλημονέστατε,* | φαντασίας συλλέγων, 101[1]
ἵνα τὸ διαφυγόν σε ϑηράσῃς; ὕπαρ ὄντως, οὐκ ὄναρ, ὕπαρ ἦν ἀληϑῶς ἡ πρὸ πολλοῦ
τοῦ φίλου γραφὴ καὶ ὁ γράψας, ἐκεῖνος ὁ καλός τε καὶ σοφὸς Ἰωάννης. [2] καὶ ἰδοὺ
ἕκτον τοῦτον ἤδη που μῆνα ὑστερεῖ τὰ ἀντίγραφα· ἄλλοι γάρ τινες πόνοι μείζονες
ἤπειγον, καὶ ὑπ' ἀσχολίας ἠδίκησε τὴν φιλίαν ὁ φίλος, πάλαι δέον καὶ παραυτίκα, νῦν
ὀψὲ καὶ βράδιον ἀντιγράφων, ἅμα μέν, ὅτι ἐξελάϑετο (τὸ ἀληϑὲς γὰρ οὐκ ἀποκρύψομαι),
τὸ δὲ πλέον, ἀδυνατῶν ὑπὸ συμφορῶν τε καὶ περιστάσεων. [3] ὅτι δ' οὖν οὐ διέφυγεν
εἰς τέλος, ἀγαπητέον. ἀλλά μοι συγγνώμην ἔχε τῆς ὑπερημερίας, ὁ ἠγαπημένος ὁμώ-
νυμος, καὶ μηδέν τι μέμφου τῆς βραδυτῆτος, ἀλλὰ τοῦ πάϑους οἴκτειρε μᾶλλον, ὑφ'
οὗ μηδὲ τοῖς οὕτω φιλτάτοις ἔστι κατὰ καιρὸν ἀποκρίνεσϑαι· τοσοῦτον ἐλλείπομεν
λόγου προκατάρχειν αὐτοί. [4] πλὴν εὐϑύμει καὶ σύγχαιρε τῷ περὶ σὲ χορῷ τῶν μακάρων,
καὶ τὸν ὑμῶν ἀπόντα τῷ σώματι τῇ γοῦν ψυχῇ συνεῖναι λογίζεσϑε καὶ σιγῶντα καὶ
γράφοντα, καὶ δεικνύντα τὸ φίλτρον εἴτε καὶ μή. | [5] προσειρήσϑωσαν δέ σοι τὰ 101[2]
φιλικὰ παρ' ἡμῶν οἵ τε ἄλλοι συνάρχοντες καὶ ἡ καλὴ τριὰς καὶ ἁγία, ὁ ἔτι οἶμαι
διδάσκαλος, ὁ δεῖνά τε καὶ ὁ δεῖνα — οὐκ οἶδα πόϑεν καὶ πῶς προσαγορεύσω τοὺς
ἄνδρας, τὸν ἡρακλείτειον δεδοικὼς ποταμόν, μήποτε κἀκείνους ἐν τοσούτῳ παρέσυρεν εἰς
ἑτέραν κλῆσιν καὶ τάξιν, ἡμῶν ἐν ἑτέρῳ κόσμῳ (ἑνὶ τυχὸν τῶν δημοκριτείων) κατα-
κεκριμένων διάγειν, καὶ τὰ καϑ' ὑμᾶς μικροῦ τι παντάπασι διὰ τὸν ἐκτοπισμὸν ἀγνο-
ούντων. [6] ἡ χάρις τοῦ ϑεοῦ καὶ τὸ ἔλεος μετὰ τῆς ἀγάπης ὑμῶν.

161. ξβ. [1] Οὐδὲ τοὺς φιλτάτους ἐν ἅπασι τοῖς φίλοις παραδραμοῦμαι, τοὺς
ἁγιωτάτους φημὶ καὶ σοφωτάτους μαΐστωρας[sic], ἤτοι τὸν ἐμόν τε καὶ τὸν ἐμόν· τὸν
μέν, ὅτι καὶ τῶν λόγων τῶν ἡμετέρων ἡ ἐκείνου σχολὴ καϑηγεμὼν καὶ διδάσκαλος, τὸν
δέ, ὅτι ἐμὸς ἀναμφιλέκτως ὁ ἅγιος, ᾧ τὸ κατ' αὐτὸν ἀνάκειται παιδευτήριον. [2] ἐμοὶ
τοίνυν ἄμφω καὶ διὰ ταῦτα, πρὸς δέ, καὶ διὰ τὴν ἄνωϑεν ἐκ φιλίας οἰκείωσιν. προσ-
είρησϑε δή μοι τὴν αὐτὴν ἀμφότεροι πρόσρησιν, ἐπεὶ πρὸς ἑκάτερον γράφειν διῃρημένως
νῦν | οὐ σχολή. [3] ἀλλ' οὐδ' ἄλλως ἀνάγκη τις· καὶ γὰρ εἰ καὶ μὴ πρὸς ἕνα, 102[1]
ἀλλὰ παρ' ἑνὸς γοῦν ἡ πρόσρησις, ὥστε τοῖς δυσὶν ἀρκεσάτω πρός γε τὸ παρὸν καὶ
ἡ μία· τάχα δ' ἂν ποτε ϑεοῦ παρασχόντος, οὐ πρὸς ἑκάτερον μόνον, ἀλλὰ καὶ πρὸς
ἕκαστον ἤδη καὶ τῶν ἄλλων γράψομεν φίλων. [4] τέως δ' οὖν ἔρρωσϑέ μοι, καὶ ἀλλήλοις
ἅμα συγχαίρετε, μνήμην καὶ ἡμῶν εἰς καιρὸν τῶν ποτὲ συνήϑων καὶ φίλων κοινῇ τε
καὶ ἰδίᾳ λαμβάνοντες.

4 Euripides Orest 451 | 5 Proverb 9, 1 | 1 iambi vestigia: unde ille sumptus? | 5 Heracliti fragmentum 41 IBywateri | 3 γραψωμεν codex

162. ξγ. [1]Ἔδει τὸ βασίλειον ἄγαλμα τὴν βασιλίδα πόλιν κοσμεῖν· διὰ τοῦτο σὲ μὲν ὡς ἔπρεπεν ἐγκόλπιον ἔχει μετὰ τῶν ἀρετῶν καὶ τῶν λόγων, καὶ τῶν ἄλλων καλῶν, οἷς ἡ θεία σε χάρις ἀξιοπρεπῶς κατεπλούτισεν, ἡμᾶς δὲ μακρὰν ἀπεσκυβάλισε καὶ ἀπέρριψεν ὡσανεὶ συρφετόν τινα καὶ ἄχνην κῦμα θαλάσσιον. [2]ἀλλ' ἐπεὶ τὰ φίλων κοινά, κοινοποιοῦμαι μὲν ἔγωγε τὴν σὴν εὐπραγίαν, καὶ τῆς τε δόξης μετέχειν ἡγοῦμαι καὶ τῆς ἄλλης εὐημερίας· κοινώνει δὲ καὶ αὐτὸς ὅσα δεῖ τῶν ἐνταῦθα φροντίδων καὶ περιστάσεων τοῖς σοῖς ἀποδήμοις, καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε, τοῦτο δὴ τὸ τῶν τρα|γῳδῶν*, ἀλλὰ καὶ τῶν πόνων ἐν μέρει συναντιλαμβάνου τῷ φίλῳ, ἵνα 102[2]
καθ' ὅλου δίκαιος ἧς, δικαίως καὶ ἴσως διαιτῶν φιλίᾳ καὶ φίλοις. [3]καί σοι παραμείνοι τὸ εὐπραγεῖν χρονιώτερον, ὡς καὶ εὖ δράσῃς πλείω, μᾶλλον δὲ ἀναφαίρετον καὶ ἀΐδιόν σοι προσείη μετὰ τὴν ἐντεῦθεν εὐημερίαν ἐπὶ τὴν ἐκεῖ διαβάντι.

163. ξδ. [1]Δέσποτά μου ἅγιε καὶ εἴ τι πλέον ἁγίου, οἶμαι τὸν ἐμὸν δεσπότην θαυμάζειν τίνος χάριν καὶ πῶς ἐπὶ τοσοῦτον ὑπέμεινεν ὁ δοῦλος σιγῆσαι. ἀλλ' εἰ τὸ πνεῦμα τοῦ θεοῦ τὸ ἐνοικοῦν ἐν αὐτῷ καὶ τὸ διορατικὸν* αὐτοῦ χάρισμα ἐπιστραφῆναι βραχύ τι καὶ πρὸς τὴν ἐσχατιὰν ἠξίωσε ταύτην, καὶ τοὺς ἐνταῦθα κλύδωνας ἔγνω, οἷς ἡμεῖς ἐνετύχομεν παρὰ τὴν πρώτην εὐθὺς πρὶν ἢ σχεδὸν ἀμφοτέρους τοὺς πόδας εἰς τὸ τῆς χώρας ἔδαφος* θεῖναι, τοὐναντίον ἂν οἶμαι μᾶλλον ἐθαύμασε πῶς καὶ νῦν ἠδυνήθημεν ἀφεῖναι φωνήν, ἐπειδὴ καθ' ἅπερ ἀπὸ συνθήματος αὐτός τε ἄρτι τῶν πόνων τῆς ὁδοιπορίας ἔληξα μόλις, διὰ διμήνου μικροῦ τὴν μεταξὺ | διοδεύσας, 103[1]
καὶ παραχρῆμα πνευμάτων ἐμβολαὶ προσυπήντησαν, καὶ καταιγίδες καὶ λαίλαπες κακῶν περιέσχον, ἥ τε θάλασσα τῶν πειρασμῶν ἡμῖν ἐπωρύετο, καὶ συμφορῶν ἡμᾶς κίνδυνοι πανταχόθεν περιεδόνησαν· ἅπερ οὕτως ἀθρόα μοι καὶ κατὰ ταὐτὸν προσπεσόντα, ἐμαυτοῦ τε ἐξέστησαν (τὸ ἀληθὲς γὰρ ἐρῶ) τῷ αἰφνιδίῳ πληγέντα καὶ τῷ παρὰ πολὺ τῶν ἐλπίδων. [2]καὶ οὐ τοῦ φρονεῖν (ὡς ἔδοξα) μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ ζῆν ἐπιλελησμένος, ἀπηνέχθην ὑπ' ἐκείνων ὅλος καὶ παρεσύρην, ἄθλιος, ἀήθης, ἀγύμναστος, ἀμελέτητος τοιούτων κακῶν, καὶ τέλος εἰς πέλαγος ἀκηδίας ἐσχάτης ἀπερρίφην καὶ ἀθυμίας, ὡς κἀμὲ λέγειν ἔχειν τὸ γραφικὸν φιλαλήθως Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. [3]διὰ τοῦτο οὖν ἐκωφώθην καὶ ἐταπεινώθην ἄχρι τοῦ νῦν, καὶ ἐσίγησα τελέως ἐξ ἀγαθῶν, τῶν ὀφειλομένων καὶ πάλαι δηλαδὴ τούτων πρὸς τὸν ἐμὸν δεσπότην γραμμάτων. [4]ἀλλὰ νῦν οὐκ οἶδ' ὅπως ὑπὸ τῶν δεσποτικῶν καὶ ἁγίων εὐχῶν | ἐπικουφισθείς, ἃς ἐφόδιον εἴληφα κακοῦ παντὸς 103[2]
ἀποτρόπαιον, ὀψέ ποτε καὶ μόλις δι' ἑξαμήνου ὑπερκύψαι τοῦ κλύδωνος μικρὸν ἐδυνήθην, ἐν ἐμαυτῷ τε γενόμενος τῇ τῶν λογισμῶν ἐπανόδῳ, καὶ λάβρῳ μὲν ἄσθματι τὴν ἅλμην ἀποφυσήσας, τὸν δὲ ἄλυν τῶν ὄψεων ὡς εἶχον ἀποσεισάμενος, ἐνέβλεψά τι βραχὺ καὶ ἀσθενὲς καὶ λεπτόν, καὶ τὸν ἐμὸν δεσπότην καὶ ἀρχηγὸν εὐθὺς εἶδον ὥσπερ ἕτερον Χριστὸν Ἰησοῦν ἀσφαλῶς ὑπὲρ κυμάτων πεζεύοντα· [5]οὐδὲ γὰρ αὐτὸς ὁ δεσπότης μου τὸ ἀπείραστον ἔσχε, κἂν τὸ γενναῖον καὶ ἔνθεον τῆς αὐτοῦ μεγάλης ψυχῆς οὐδὲν οὐδ' ἐν περιστάσεσι καθυφῆκε τῆς ἀπαθείας. ἀλλ' ὁ δοῦλος ἔτι φερόμενος ἐν τοῖς τῶν κυμάτων διαύλοις καὶ κάμνων καὶ σῶμα καὶ ψυχὴν ἱκανῶς τὸν χειμαζόμενον Πέτρον

2 Euripides Orest 451 | 1 PdeLagarde reliquiae iuris ecclesiastici graece 75, 19 | 1 ἔδαφος cum spiritu aspero C constanter *Studemund* | 2 Psalm ξη 3 | 3 Psalm λη 3 | 4 λαύρῳ codex

ἐν πελάγει μεταξύ, καὶ Κύριε σῶσόν με[5] πρὸς τὸν σωτῆρα καὶ ἀποδεδειλιακὼς
κράζει· ἡ σωτηρία δὲ δι' εὐχῶν, ὡς οἶδ' ὅτι καὶ ἡ θάλαττα καὶ τὰ ἔργα κατὰ τὸ
ἔργον ἐπιστώσαντο. [4] ἐπιμαρτυρήσωσιν οὖν καὶ τὰ καθ' ἡμᾶς τούτοις ἐπίσημα, καὶ
πέμπω εἰς αὔριον ἡ κατάστασις τῶν τῇδε καλῶν, ἀρξαμένη καὶ ἤδη πως ἐμὲ κατα- 104[1]
σταλήσεσθαι καὶ τὸ μικρὸν ἐκτόπως καὶ ἔτερον εἰς τὸ ἡμιόλιον μεταβάλλειν. [5] τούτων
δὲ τὰ καθ' ἕκαστα τῇ γραφῇ μὲν ἐντάττειν φορτικὸν ἡγοῦμαι καὶ περιττόν, ἐπεὶ δὲ τὰ
πάντα σαφέστερον ὁ μικρὸν ὕστερον ἐκεῖσε ἐνταῦθεν ἐκπεμφθησόμενος· τῇ γραφῇ δὲ κεφάλαιον
ἡ δουλικὴ προσαγόρευσις, ἡ καὶ πάλαι καὶ νῦν ὀφειλομένη προσκύνησις, ὁ ἐπὶ πολλοῖς
χαριστήριος, ἡ ἐπὶ πᾶσιν ἀνθομολόγησις. [6] εἰ δ' ὥσπερ εἰκὸς ἐστὶ δεσπότην ἀγαθὸν καὶ
φιλόστοργον, ἤδη τι τελείως εἰδέναι καὶ τῶν τῇδε τρανότερον, ἐν βραχεῖ γνωρίζω τὸ
πᾶν. ἡ μὲν ἐκκλησία καὶ ὁ λαὸς ὃν αἱ ἅγιαι χεῖρες καὶ ἡ χάρις τοῦ πνεύματος δι' αὐτῶν
ἡμῖν ἀπεκλήρωσαν, ἄριστά τε δοκοῦσιν ἔχειν καὶ κάλλιστα· αὐτοί τε γὰρ ὡς εἰπεῖν
εὐλαβεῖς ἐπιεικῶς καὶ εὐπαίδευτοι εἰσί τε καὶ γίνονται, καὶ τὸν παρ' ὑμῶν ἐσταλμένον
οὐδεὶς αὐτῶν χάριτι καὶ νεύσει θεοῦ καὶ τῇ τῶν εὐχῶν τοῦ δεσπότου μεγάλῃ συναντι-
λήψει οὔτε τὴν ἀρχὴν ἀηδῶς ἰδεῖν ἔδοξεν οὔτε νῦν ἐπαχθῶς καὶ φορτικῶς 104[2]
θεωρεῖ· ἀλλ' ὡς ἥδιστα πάντες καὶ τὴν προχείρισιν ἤκουσαν, καὶ τὸν προχειρισθέντα
ἐδέξαντο, καὶ ὡς ἐξ ἔτι παίδων ἡμῖν συναυξηθέντας καὶ συντραφέντας, οὕτως ἕκαστος
αὐτῶν ὑπεραγαπᾷ. [9] περαιτέρω δὲ τούτων, ἐρημία χώρας πολλή, ἀοίκητος, ἄχαρις,
ἄδενδρος, ἄχλοος, ἄξυλος, ἄσκιος, ἀγριότητος ὅλη καὶ ἀηδίας μεστή, πολὺ καὶ τῆς
φήμης καὶ τῆς δόξης ἐνδέουσα· ἀπὸ καρποῦ σίτου μέν, κἂν σὺν πολλοῖς καὶ τοῦτο
καμάτοις, εὐθηνουμένη δ' οὖν ὅμως, οἴνου δὲ καὶ ἐλαίου, τῶν ἑξῆς ἐπιφερομένων,
ἀπορίαν καὶ ἔνδειαν παντελῆ δυστυχοῦσα. προσθήσω δὲ καὶ ὀπώρας καὶ ἰχθύων πρὸς
ἔτι καὶ ὅσα νοσοῦσιν ἀνθρώποις καθ' ἡμᾶς εἰς παραμυθίαν ᾖ καὶ ἄλλως τοῖς εὐτρα-
πέζοις εἰς ἀπόλαυσιν ἐπιτήδεια. [10] ἀλλ' ἀντὶ πάντων τούτων τῶν ἐλλειμμάτων ὁ μέγας
πλοῦτος ἡμῖν καὶ θησαυρὸς ἐξαρκέσει, ἡ δεσποτικὴ εὐλογία δῆλον ὅτι καὶ ἡ εὐχή, ὧν
ὀρέγομαι μᾶλλον ἢ πάσης ἁπλῶς τῆς ἀνθρωπίνης εὐδαιμονίας, καὶ ὧν μοι παρόντων,
ἥκιστά τινος ἄλλου τῶν ἀπόντων φροντίς. [11] ὑπὲρ τούτων οὖν δέομαι καὶ ταύτας 105[1]
αἰτῶ, πάνυ πεποιθὼς καὶ θαρρῶν τῇ τῆς σῆς ἁγιωσύνης χρηστότητι, ὡς οὐδὲ τῆς με-
γίστης με ταύτης δωρεᾶς τὸν δοῦλον ἀποστερήσει, ὥσπερ οὖν οὐδ' ἄλλης τινὸς ἢ αἰτη-
θείσης ἢ μηδ' αἰτηθείσης ἐστέρησεν.

164. ξε. [1] Δέσποτά μου ἅγιε καὶ πλησίον θεοῦ, μόλις διὰ ταύτης ὁδεύοντι γραμ-
ματοφόρῳ περιτυχόντες καὶ τὴν πρὸς τὴν βασιλεύουσαν τέμνοντι, δι' αὐτοῦ τῷ δεσπότῃ
μου δουλικὴν τοῦτο δεύτερον ἀποδιδόαμεν πρόσρησιν, ἁρπάσαντες τὸ πρᾶγμα ὡς ἕρμαιον
σὺν ἡδονῇ μεγίστῃ καὶ θαύματι· καὶ γὰρ δὴ καὶ ἄξιον ἡγούμεθα θαύματος οὐχ ὅτι
μόνον εὐσεβής τε καὶ δίκαιος ὁ εὐλογημένος ἄνθρωπος οὗτος (τὸ ἐν ἀνθρώποις σήμερον
σπανιώτατον), ἀλλ' ὅτι καὶ τοιοῦτος ὤν, δι' ἡμῶν ἐνταῦθα παρώδευσεν, οἷς ὁ ἄτοπος
οὗτος ἐκτοπισμὸς ὀλίγου δεῖν οὐδένα τῶν ὁδοιπόρων ἐπικαταίρειν ἐᾷ, εἰ μή που μα-
στιγοφόρος ἄρχων τις εἴη ἢ φορολόγος ἢ στρατευτὴς ἢ καινῶν τινῶν ἄλλων δαιμονίων
καταγγελεύς· ἐν γὰρ τοῖς τοιούτοις καὶ λίαν εὐθηνεῖται τὰ καθ' ἡ|μᾶς. [2] ὁ δὲ 105[2]
τούς τε ἄλλους ἐν καιροῖς λυπηροῖς τὰ εἰκότα πρὸς τὴν χρείαν ἐψυχαγώγησε τῷ τε μὴ

5 Matth 14, 30

βαρῦναι μηδένα, καὶ τῷ μᾶλλον προσελαφρῦναι, καὶ ἡμᾶς δὲ πρὸς ἔτι τούτοις τε αὐτοῖς εὖ πεποίηκε, καὶ τὸ μεῖζον, ὅτι τὸν ἡμέτερον ἅγιον δεσπότην καὶ ἀρχιποίμενα δι' αὐτοῦ τὰ δουλικὰ προσειπεῖν ἐν τοῖς παροῦσιν ἔσχομεν γράμμασι. [3]*προσκυνοῦμεν οὖν πάλιν, καὶ πάλιν προσαγορεύομεν, ἐπειδήπερ καὶ τοῦτο, εἴ τι ἄλλο, φιλοσοφία, τὸ κἂν τοῖς πειρασμοῖς οὐδὲν ἔλαττον τοῖς δεσπόταις καὶ ἄρχουσι τὸ τῆς τιμῆς ἀπονέμειν γέρας ἀνυστερήτως· αὐτὸς δὲ τἄλλα διδάξει καὶ γνωρίσει σὺν ἀκριβείᾳ, αὐτόπτης τε ὁμοῦ καὶ αὐτήκοος γεγονὼς ἁπάντων τῶν καθ' ἡμᾶς.*

165. ξς. [1]*Δέσποτά μου ἅγιε καὶ πέρα πάσης ἐντίμου καὶ δεδοξασμένης προση-*
γορίας, οὕτω καὶ τὸν ἅγιόν μου δεσπότην λιπάνοι τὸ τῆς ἀγαλλιάσεως ἔλαιον, ὅπερ
ὁ θεὸς αὐτὸν ἔχρισε παρὰ τοὺς μετόχους αὐτοῦ, ὡς ἡ θεία γραφή σου τὰ ξηρὰ ὀστᾶ*
ταῦτα τῆς ἐμῆς ἐλίπανεν οὐθενείας, ἡδυτέρα φανεῖσά | μοι καὶ σφόδρα κατὰ 106[1]
καιρὸν ὑπὲρ τὴν ψαλμικὴν ἐκείνην δρόσον τὴν Ἀερμὼν τὴν ἐπὶ τὰ ὄρη Σιὼν κατα-*
βαίνουσαν καὶ ὑπὲρ τὸν ὄμβρον τὸν ἐπ' ἄγρωστιν δόξασα καὶ ὑπὲρ τὸν νιφετὸν ἐκεῖνον*
τὸν ἐπὶ χόρτον. [2]*ὅτι δὲ καὶ δῶρα προσέθηκεν — ὁ ἅγιος ἅγια, καὶ ὁ καθαρὸς κα-*
θαρά —, τοῦτο ἤδη σαφῶς ὑπὲρ τὴν ἀξίαν τὴν ἡμετέραν, καὶ μύρου τοῦ κοσμοῦντος
ἀρχιερέως τε πώγωνα καὶ ὤαν ἐνδύματος πολὺ τιμιώτερον καὶ εὐωδέστερον ἔμοιγε·*
ἀνθ' ὧν εἴη χάρις καὶ ἔλεος τῷ ἐμῷ δεσπότῃ καὶ ἀρχιποίμενι καὶ πολλαχῶς εὐεργέτῃ·
τούτου γὰρ οὐδὲν ἔχω μεῖζον τῆς περὶ ἐμὲ τὸν ἐλάχιστον ἀντιπαρασχεῖν εὐμενείας.
[3]*ἐπεὶ δ' ὁ ἐντεῦθεν νῦν ἀφιγμένος ἐπ' αὐτὸ τοῦτο πάρεστιν, αὐτὸς παρ' ἑαυτοῦ τὰ*
ἐλλείποντα προσθήσει τῷ γράμματι, τὰ καθ' ἡμᾶς τε πάντα διασαφήσας (εἴπερ ἄρα
καὶ προσταχθείη) καὶ τὰ κατὰ τὴν ἐκκλησίαν διηγησάμενος, ἔτι δὲ καὶ τοῖς αὐτόθι μου
συνδούλοις καὶ ἀδελφοῖς διαμαρτυράμενος ἄντικρυς, εἴ τινες αὐτῶν (ὡς εἰκός) πρὸς τὴν
ψευδομένην ταύτην εὐημερίαν ὑπο|λιχνεύονται, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς 106[2]
τὸν τόπον τοῦτον τῆς βασάνου μετὰ τὴν ἡμῶν ἐντεῦθεν μετάστασιν τὴν ὁποιανοῦν τε*
καὶ ὁτεδήποτε, ἀλλὰ τῷ πράγματι προσέχοντες μᾶλλον ἢ τῷ ὀνόματι, ἀσφαλέστερον
ἔχωσι πρὸς τὰ τοιαῦτα δελέατα, ὡς καὶ ὁ σύνδουλός μου ὁ χαρτοφύλαξ, σοφώτερόν τι
φρονήσας ἢ κατ' ἐμέ, καὶ ἐν εὐλαβείας προσχήματι καὶ τῆς περὶ δόξαν ὑπεροψίας
μείνας ἔξω βελῶν ἐπιδοξότερός τε καὶ τιμιώτερος. [4]*οὐ μὴν ἀλλὰ πιστεύω τῇ θείᾳ τῶν*
δεσποτικῶν εὐχῶν ἐνεργείᾳ, καὶ θαρρεῖν ἐπ' αὐταῖς ἔχω σφόδρα, ὡς ἡ πίστις μου
σώσει με τῶν ἐνταῦθα κακῶν, καὶ — εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος*
οὐκ οἶδα — ἀπαλλάξει τὸν δοῦλόν σου τῶν καθ' ἡμέραν τούτων θανάτων.* [5]*πάλιν*

1 Psalm *μδ* 8 | 1 Psalm *ρλβ* 3 | 1 Deuter 32, 2 | 2 Psalm *ρλβ* 2. de *ὤα* videatur Stephani thesaurus V 1710—1712 VIII 1983. sunt autem *ὤα* ni fallor duo: *ᾦα* = *μηλωτής* quod GCurtius[5] 589 ad *ὄϊς* rettulit: *ωα* = עעא Syrorum IDMichaelis 629 Lagarde praetermissa 54, 44: quod ante me Georgius Hoffmannus meus ZDMG XXXII 753[m] ad צאצאה Hebraeorum referendum esse intellexit, ego in Semiticorum parte priore (non prima, taedet enim convitiis me exponere) 22 27 praetermisi, ut aliud vocabulum praetermisi theologorum, si qui sunt theologi, curae sedulo commendandum: nam ענו = *ταπεινὸς πραὺς* Hebraeos ab Aramaeis mutuo desumpsisse volueram docere inde ex anno 1863: esse enim hebraice צנוע quod aramaice עני diceretur: Arabes צנא habere Freytag III 29[a] Lane III 1806: confer Arabum שׁגע = סגע = סנא Lagarde Symmicta I 144, 10[m]. comparandum cum צאצאה Hebraeorum, עעא Syrorum Arabum ציצי et צוצו Freytag III 1[1] Lane III 1759. de *ωα* vide etiam Schleusneri opuscula critica 353. ne quis vero miretur quod עעא et צאצאה proposuerim, sciat eam semiticis vocabulis legem esse scriptam ut quotquot metaphorice usurpentur pluralem forma feminina effingant, si singularis forma masculina gaudeat, masculinâ contra, si ille femininum videatur | 3 Luc 16, 28 | 4 Matth 9, 22 | 4 Cor *β* 12, 2

οὖν ἀντιγράφων ἁγίων ἀξιωθήτω ὁ περικαῶς οὕτω ταῦτα διψῶν, καὶ τοῦ πάντων δωρημάτων μείζονος δώρου, τῶν θεοτιμήτων εὐχῶν τοῦ μεγάλου καὶ ἐνθέου δεσπότου μου, πρὸς ὃν ὡς ἐλάχιστος πάλιν ἔγραψα δοῦλος.

| **166.** ξζ. [1]*Οὐ καλὸν μὲν καὶ ἤδη τὸ μέλλον προμαντευόμενος, ἡγιασμένε* 107[1]
μου δέσποτα καὶ φίλε καὶ ἀδελφέ, βραδυτῆτα γραμμάτων διὰ τὴν τῶν πραγμάτων τραχύτητα συνταττόμενος ὑμῖν καὶ ἀπαίρων,- εἰ μὴ ἐξελάθου, προανεφώνησα, πολὺ δὲ χείροσιν αὐτοῖς ἐντυχὼν ἢ προείκασα, εἰκότως καὶ βράδιον ἢ διενοούμην ἀντέγραψα, ἀεί τινα ῥᾳστώνην ἐλπίζων καὶ μεταβολὴν πρὸς τὸ βέλτιον, ὡς ἄν τι χρησιότερον ἀντὶ τῶν ἐναντίων ἔχοιμι γράφειν. [2]νῦν οὖν μόλις τυχὼν — οὐκ αὐτοῦ ἐκείνου τοῦ ποθουμένου· πολλοῦ γὰρ ἔτι καὶ δεῖ —, ἀλλά τινος ὁρμῆς πρὸς ἐκεῖνο καὶ ἀρχῆς ἀμυδρᾶς διὰ τὴν θείαν φιλανθρωπίαν, καὶ ὡς ἐν ἡλίου προδιαυγείᾳ ἤδη καὶ αὐτὸν ἀνατείλαντα πιστεύσας ὁρᾶν, εὐθυμότερον ἔσχον τι μικρὸν καὶ ἀνέπνευσα, παραχρῆμα δὲ καὶ τοῦ χρέους εὐγνωμόνως ἐμνήσθην καὶ ἀποδίδωμι πρόθυμος — εἰ καὶ τυχὸν ὑπερήμερος — τῷ δεσπότῃ μὲν τὴν προσκύνησιν, τῷ δὲ φίλῳ τὴν προσαγόρευσιν, καὶ διὰ γραμμάτων ἀμφοτέροις γνωρίζω, τῷ | μὲν τὴν πίστιν ὅτι βεβαία, τῷ δὲ τὴν εὔνοιαν ὅτι 107[2]
ἀμετάβλητος. [3]ἡ μὲν τοίνυν σὴ τελειότης καὶ προσειρήσθω ταῖσδε ταῖς συλλαβαῖς, καὶ τὸ πάντων δικαιότατον ὄφλημα τοῦτο τῆς ἀγάπης ἀπολαβέτω· τὰ πρὸς τὴν δεσποτικὴν δὲ καὶ θείαν μακαριότητα κἀνταῦθα σὸν ἔργον καὶ τῆς εἰλικρινοῦς τῷ ὄντι φιλίας, εὖ θεῖναι πάντα καὶ ὡς ἡμῖν καταθύμιον, ἤτοι τὸν ὑπὲρ τῆς ὑστερήσεως τῶν γραμμάτων ἀπόλογον τὴν αὐτῶν τε τούτων εἰσαγωγὴν καὶ τὴν παραδοχὴν ταύτης δὴ τῆς φαυλοτάτης καρποφορίας ἣν συνεπέμψαμεν, εἶτα τὴν ἐμοὶ πολυέραστον διὰ τῶν ἐκεῖθεν ἀντιγράφων ἀπόκρισιν. [4]ταῦτ' οὖν ἅπαντα καλῶς καὶ ἀξίως ἑαυτῆς ἡ ἀκραιφνὴς φιλία διαθεμένη, κατευοδούσθω ἐν ἅπασι κοινωφελέσιν ἔργοις καὶ θεαρέστοις, καὶ σοὶ τὰ κράτιστα παρὰ τοῦ θεοῦ τῶν δικαίων (ὡς καὶ αὐτῷ δικαίῳ διαφερόντως) νῦν τε παρείη καὶ ἀεὶ παρόντα μὴ διαλίποι.*

| **167.** ξη. [1]*Εὐθηνία μὲν ἅπαντα τὰ τῇδε κακῶν· μία δ' ἐπὶ πᾶσι τούτοις* 108[1]
ἀναψυχὴ μετὰ τὴν θείαν χρηστότητα καὶ τὴν εἰς ἐκείνην ἐλπίδα, ἡ μνήμη τῶν ἐμῶν κυρίων καὶ φίλων, φίλτατέ μοι καὶ τίμιε καὶ ἅγιε κῦρι[sic]*, ὧν ἐν τοῖς μάλιστα καὶ ὅσον ἐξαίρετον ὑμᾶς ἀπ' ἀρχῆς καὶ τὰ ὑμέτερα τάττομεν. [2]καὶ οὐδ' ἔτι καὶ νῦν τὴν καλὴν ταύτην ἔχομεν ἀμεῖψαι τάξιν ἑτέρως, ἀλλ' ὡς ἐτάχθη τὸ πρῶτον, οὕτως εἰς δεῦρο μένει καὶ συντηρεῖται· πάντως δὲ καὶ συντηρηθήσεται, ἕως αἴσθησις ἔνεστιν ἡμῖν τις καὶ μνήμη, καὶ οὐδὲν ἐγχειρήσομεν, οὐδ' ἂν πειραθῶμεν, ἕξομεν ἴσως τῆς ὑμετέρας φιλίας τι καὶ δόξης προθεῖναι, τὴν ἐπ' ἀρετῇ λέγω δόξαν, ἐπεὶ ταῖς ἔξωθεν ταύταις οὐ πάνυ τι σχολάζω προσέχειν. [3]πλὴν καὶ ταύτην κἀκείνην πάντων ἅμα προέχοιτε, καὶ μηδεὶς ὑμῶν ἁγιότητι, μὴ βίου λαμπρότητι, μηδενὶ τῶν ἄλλων καλῶν — τῶν δοκούντων ἢ ὄντων — ἕξοι τι πλέον, ἀλλ' αὐτοὶ πρωτεύοιτε πάντων ἐπὶ* πᾶσι τούτοις ἀεί, παγγενεὶ* τε χαίροντες ἅμα, καὶ πανοικεσίᾳ σῳζόμενοι*· τούτου γὰρ οὐδὲν μεῖζον ἔχει προσάγειν ἢ καρποφορεῖν ἡ γραφή.*

168. ξθ. [1]*Εἰκασμός τις ἄδηλος ἔχει με, καὶ ζητῶ τὴν | ἀλήθειαν ἀνι-* 108[2]
χνεῦσαι καὶ συλλαβεῖν, μακαριώτατέ μοι καὶ φίλτατε καὶ ἅγιε δέσποτα· μὴν γὰρ ἕβδομος

3 Rom 13, 8 | 3 *ἐπῖ* C *Studemund* | 3 *παγγενῆ* codex | 3 Actor 16, 34

οὗτος, κἀγὼ τὸν δεσπότην καὶ πατέρα καὶ φίλον, τὸν ἡγιασμένον, σέ φημι, σέ, ἰδεῖν
οὐκ οἶδ' ὅπου, κατὰ τὴν βασιλίδα δ' οἶμαι τῶν πόλεων, ἀμυδρῶς λίαν ἔδοξα καὶ ὅσον
ἐν ὕπνῳ· πλὴν ἀλλ' ὕπαρ, οὐκ ὄναρ, ἀληθῶς ἦν τὸ ὅραμα· νῦν γὰρ ἔοικε μόλις
ἐπανελθεῖν ἡ ἀνάμνησις. [2]καὶ εἶδον, εἶδον τῷ ὄντι τὸν πάσης χάριτος πλήρη καὶ
μεστὸν ἁγιότητος καὶ καλοῦ παντὸς ἑτέρου δεσπότην μου, καὶ ἡ ὅρασις* αὐτοῦ ὡς
ὅρασις ἀγγέλου, καὶ τὰ ῥήματα αὐτοῦ ζωῆς ῥήματα, καὶ τῆς καλλονῆς ὁ σταθμὸς —
ἀλλὰ ταύτης με τὸ μέτρον ἐπέλιπεν, ἐπειδὴ μηδὲν ὅμοιον τῶν ὄντων εὑρεῖν ἐστί. [3]πλὴν
ἀλλ' οἷόν με πάλιν ἐκ καινῆς εἰσῆλθεν ἐνθύμημα· ὄψεις σώματος ταῦτα, καὶ διὰ τοῦτο
βραχύτατον εἰς θέαν τὸ ἐραστόν, καὶ τοσοῦτον, ὡς καὶ ἀμφίβολον εἰ ὅλως τεθέαται,
κινδυνεῦσαι γενέσθαι παρὰ λογισμοῖς ἐπιλήσμοσι, τοῖς ἐμοῖς δῆλον ὅτι, ἐπεὶ τοῖς ψυχικοῖς
ὀφθαλμοῖς καθ' ὅλου τε καὶ δι' ὅλου καὶ βεβαίως, οὐκ ἀμφιβόλως, πάρεστιν ὁρᾶν τὸν
ποθούμενον καὶ κατατρυφᾶν εἰς κόρον αὐτοῦ καὶ ἀπολαύειν ἡδέως τῶν ἐν αὐτῷ
| πολλῶν χαρισμάτων. [4]καὶ οὐδὲν ὁ τόπος ἐνταῦθα, οὐδὲν ὁ χρόνος ὁ μέσος 109[1]
οὐδ' ἑτέρα περίστασις· κρείττων γὰρ πάντων τούτων ἡ τῆς ὄψεως ταύτης φύσις καὶ
δύναμις, οὐ διὰ τοίχων ὁρᾶν καὶ διὰ λίθων ἔχουσα μόνον, ὡς ὁ παλαιὸς μῦθος βούλεται,
ἀλλὰ καὶ δι' ἑτέρου παντὸς ἐπιπροσθεῖν πεφυκότος ἐμποδίου τε καὶ κωλυματος. [5]καὶ
ἵνα σοι θᾶττον τὸν σκοπὸν τοῦ λόγου συναπαρτίσω, ἀείμνηστον ἴσθι παρ' ἐμοὶ διαμέ-
νουσαν τὴν σὴν ὁσιότητα. εἰ δ' ἀκερδὴς ἡ χάρις αὐτῇ, ἀλλ' ἡμῖν γε πάντως αὐτοῖς οὐκ
ἀκερδὴς οὐδ' ἀνόνητος· τί γὰρ μεῖζον ἐμοὶ τοῦ μνήμῃ κουφίζεσθαι δεσπότου τοσούτου
κἀντεῦθεν μετρίως ἐπὶ πολλοῖς — φεῦ ἡλίκοις τε καὶ ὅσοις — κακοῖς ψυχαγωγεῖν
ἐμαυτόν; [6]ἀλλά μοι χαρισθείης εἰς μήκιστον οὕτως ὑπὲρ γῆς διαλάμπων, καὶ μὴ
σύνοδον μόνον, ἀλλὰ καὶ σύγκλητον ἅμα καὶ πᾶν ἁπλῶς τὸ πολίτευμα τῷ τῶν ἐν σοὶ
καλῶν πλούτῳ φιλοτίμως κατακοσμῶν.

169. ο. [1]Φιλοτιμία τῆς θείας ἄντικρυς χάριτος, ὅτι τὸν πρὸ τοῦ σοφὸν φίλον νῦν
καὶ ἅγιον ἔχομεν, ἵν' ἐπὶ δυσὶ τοῖς πρώτοις καλοῖς ὡς οἰκείοις ἤδη καλλωπιζοίμεθα, εἴπερ
τὰ τῶν φίλων κοινά, ἢ μᾶλλον ἴδια θατέρῳ τὰ τοῦ ἑτέρου. [2]παραμένοι τοιγαροῦν ἐπὶ
πλέον τὸ διπλοῦν καλλώπισμα τοῦτο, κόσμος ἅμα καὶ | ὄφελος ἡμῖν τοῖς 109[2]
πλουτοῦσι, καὶ ἀκούοιτό μοι καὶ βλέποιτο ὁ καὶ τοῖς ἄλλοις μὲν πᾶσι κεχαρισμένος
οὕτω τι φίλος, ἡμῖν δὲ μάλιστα πάντων τοῖς καὶ μᾶλλον ποθοῦσιν, ἅτε πλέον ἴσως
τῶν ἄλλων συνιεῖσι τοῦ ἀγαθοῦ· καὶ μή τις φθόνος αὐτόν, μή τις ἕτερος τρόπος ἡμᾶς
τους φιλοῦντας καὶ μετέχοντας οὕτω τῶν αὐτοῦ χαρίτων ἀφέλοιτο. [3]τοῦ δὲ λόγου
κεφάλαιον, ἐρρώσθω τέως τὸ σῶμα (τὴν γαρ ψυχὴν ἀπαθής ἐστι, μεταπεπλασμένος
ἤδη τῷ πνεύματι), καὶ πάσης χαρᾶς καὶ ἀνθρωπίνης καὶ θείας ἐν παντὶ πληρούσθω
καιρῷ.

170. οα. [1]Ἀγαθοῦ δεσπότου θεράπων εἰκότως ἀγαθὸς καὶ αὐτός, ἐπειδήπερ ἀμέσως μετέχων τε καὶ βλέπων ἐξομοιοῦται. οὐκοῦν οὐδὲν θαυμαστόν, εἰ θαυμαστὸς συ τὰ πάντα, ἀρετήν τε λέγω καὶ λόγον καὶ σεμνότητα πᾶσαν. εἰ δὲ καὶ φιλίαν πρὸς τούτοις, οὐ θαρρῶ παντάπασιν ἀποφαίνεσθαι, ἐπειδὴ καὶ χρόνος καὶ τόπος ἀδικεῖν ἡμᾶς ὕποπτος, τοσοῦτον ἀπάγοντες καὶ πρὸς τοσοῦτον τοῦ φίλου, καὶ διστάζειν παρέχοντες μή τι πέπονθεν ἀνθρώπινον ἴσως, οὐχ ὁρῶν, οὐχ ὁρώμενος, ὁ πολλὰ μὲν φιλουμενος,

2 Iudd 13, 6

*ἀντιφιλεῖν δ' οὐκ ἐλάττω λέγων ἅμα καὶ πιστευόμενος. [2] εἴης οὖν μοι καὶ ζῶν καὶ
ἐρρωμένος καὶ εὔθυμος, καὶ πρὸς | τούτοις τῷ φίλῳ τὴν ἴσην ἀποσῴζων διά-* 110[1]
*θεσιν, τὴν κρείττω γάρ. διὰ τί; ἢ πῶς ἂν ἡμεῖς ἀνασχοίμεθα τὸ ἧττον εἴς γε φιλίαν
πρὸς τοὺς φιλεῖν ἐθέλοντας ἀποφέρεσθαι; ἢ οὐχ ἅλις ὅτι λειπόμεθα τοσοῦτον αὐτῶν
ἐπὶ τοῖς ἄλλοις καλοῖς; ἀλλὰ τοῦ γε φιλεῖν οὐδενὶ τῶν πάντων παραχωρήσομεν οὐδ'
ἐφήσομεν πρωτεύειν ἡμῶν, ἰσότητος δ' ἂν ἐπιεικῶς μεταδοίημεν, καὶ μάλιστα σοί, τῷ
προσθήκην τοῖς φίλτροις ἐκ τῆς καὶ καθ' αἷμα προς ἡμᾶς κοινωνίας παρέχειν ὡς
εἰκὸς ἔχοντι.*

171. *οβ. [1] Ὀλίγα μὲν ἡμεῖς δυνατοὶ διὰ τῶν σαρκικῶν τούτων ὄψεων τοῖς φίλοις
συγγίνεσθαι, οὐκ ὀλίγα δὲ πάντως διὰ τῶν ψυχικῶν καὶ ἀδήλων· ὥς που καὶ τὴν σὴν
ὁσιότητα βραχὺ πρὸ καιροῦ τινὸς συγχωρηθέντες ἰδεῖν καὶ ὅσον ἐν ὕπνῳ, κατὰ τοῦτο
δὴ τὸ βλεπόμενον ἀοράτως αὐτῇ διὰ παντὸς σύνεσμεν, καὶ τὸν πλοῦτον τῶν ταύτης
ἀρετῶν θεωροῦμεν, καὶ ἡδέως αὐτοῦ κατατρυφῶμεν καὶ ἀπολαύομεν, δι' εὐχῆς ὅτι
μάλιστα θερμοτάτης ἅμα ποιούμενοι καὶ δι' ἐφέσεως ἔχοντες, ἐπὶ μήκιστον ἡμῖν χα-
ρισθῆναι καὶ παντὶ τῷ καθ' ἡμᾶς βίῳ τοῦτο τὸ κοινὸν ἀγαθόν, ᾧ μηδὲν ὅμοιον ἰδεῖν
ἐστὶν ἕτερον | ἐν ταύταις ταῖς ἡμέραις ἡμῶν. [2] εἴη τοίνυν οὕτω καὶ γένοιτο,* 110[2]
*καὶ τὴν σὴν ἁγιότητα χρονιώτερον ἐμμεῖναι τῷ βίῳ ὁ τῶν κατὰ σὲ δικαίων θεὸς
εὐδοκήσοι, ἄλυπόν τε καὶ ἄνοσον ἀεὶ συντηρῶν καὶ παντὸς ἐλευθέραν ἀβουλήτου καὶ
ἀηδοῦς. περὶ ὧν καὶ ἀρκούντως. [3] ἀλλ' ἀντίδος καὶ αὐτὸς ἡμῖν μίαν μακαρίαν εὐχήν,
ἣν ὑπὲρ χρυσίον καὶ λίθον ἐπιποθοῦμεν, καί σοι πάντα χωροίη κατὰ σκοπὸν πανταχοῦ,
ὅσα τε πρὸς τὸ νῦν ἐστί, καὶ πολλῷ πλέον ὅσα πρὸς τὸ μέλλον καὶ τὴν ἐλπίδα.*

172. *ογ. [1] Ἀλγεινὸν μὲν σφόδρα τὸ πάθος (οὐ γάρ ἔστιν εἰπεῖν ὡς οὐχί), ἀλγεινὸν
πρὸς ἀλήθειαν καὶ λίαν ὀδυνηρόν, οὐ γηραιῷ πατρὶ μόνον καὶ τοσοῦτον φιλόπαιδι
θάνατος υἱοῦ φιλοπάτορος, τὸ σῶμα μὲν νέου, παλαιοῦ δὲ τὸ φρόνημα, καὶ παιδείᾳ
καὶ λόγοις καὶ χάρισι παντοίαις κεκοσμημένου, καὶ διὰ ταῦτα τοῖς πᾶσι προσηκόντως
ἠγαπημένου. [2] οὐ πατρὶ τοίνυν μόνον χαλεπὸν καὶ βαρύτατον ἡ τοσαύτη ζημία, οὐδ'
ἡμῖν τοῖς κοινωνοῦσιν ἀγχιστείας ἢ αἵματος καὶ διὰ φίλτρων τοσούτων ἀπ' ἀρχῆς συνημ-
μένοις, ἀλλὰ καὶ πᾶσιν (οἶμαι) τοῖς ὅλως πειραθεῖσι τῆς καλοκἀγαθίας τοῦ ἀπελθόντος
ἢ καὶ ἄλλως γνωρίσασι τὸν ἄνδρα δι' ἀκοῆς. | ἔτι δ' οἶμαι τῶν ὄντων οὐδεὶς* 111[1]
*ὃς οὐκ ἔγνω καὶ ἤκουσεν ἀνιαρὸν εἰκότως τὸ πρᾶγμα καὶ λυπηρόν, καὶ κοινή τις ζημία
καὶ συμφορὰ τὸ συμβάν. [3] ἀλλὰ τί ποτ' ἂν εἴποιμεν ἡμεῖς ἐπ' αὐτῷ; τί δ' ἂν δρά-
σαιμεν ἄλλο πλὴν ἢ μόνον ἐκεῖνο; μνησθησόμεθα θεοῦ τε καὶ φύσεως, καὶ ὡς ὁ μὲν
ὁ αὐτός ἐστιν ὁ καὶ συνδήσας καὶ λύσας, ὅ τε τὴν ἀρχὴν παρασχόμενος καὶ ὁ νῦν
ἀφελόμενος, ἡ δὲ φύσις τὸ πάθος ἀπ' ἀρχῆς κατεκρίθη, καὶ διὰ παντὸς καθ' ἅπαξ
ὁ θάνατος χωρεῖ τοῦ θνητοῦ, καὶ οὐδὲν οὔτε γέγονεν οὔτε ἔστιν οὔτ' ἔσται τῶν ὑπὸ
τὸ αὐτὸ γενομένων ἐφ' ἅπαξ τῆς φθορᾶς ταύτης κρίμα, ὃ μὴ τοῦτο καὶ πέπονθε καὶ
πάσχει καὶ πείσεται, κἂν τὸ μὲν αὐτῶν τάχιον, τὸ δὲ καὶ βράδιον ἴσως πάσχῃ καὶ
λύηται. [4] θαυμαστὸν οὖν οὐδὲν οὐδὲ τὸ νῦν καὶ[sic] ἡμέτερον, ἀλλὰ καὶ λίαν ἀνθρώποις
σύνηθές τε καὶ γνώριμον, καὶ οὐδὲν οὕτως ἕτερον ὡς ἀνθρώπινος θάνατος τῇ καθ'
ἡμᾶς ζωῇ τε καὶ γνώσει συνῳκείωταί τε καὶ κατατέτριπται. [5] εἰ δ' ἐνοχλεῖ τὸ πρὸ ὥρας
ἴσως ἐνταῦθα, ἀλλ' ἐκεῖνο πάντως οὐκ ἄκαιρον πρὸς τοῦτο λογίσασθαι, ὅτι ὁ τάττων*

καὶ κρίνων τούτων καθ' ἕκαστον καὶ πατήρ ἐστιν ἡμῶν καὶ σοφός, φιλοστοργότατος
ἁπάντων πατέρων καὶ σοφώτερος ὁμοίως πάντων τῶν ὄντων ἢ δοκούντων σοφῶν·
[6]αὐτὸς οὖν τοὺς καιροὺς ἑκάστου καὶ χρόνους ἐν τῇ ἰδίᾳ | θέμενος ἐξουσίᾳ 111[2]
ἄμεινον ἡμῶν πάντων οἶδεν ἀφορίζειν τὸν ἴδιον ἑκάστῳ καὶ πρέποντα, καὶ φιλανθρω-
πότερον χρῆσθαι τοῖς ἑαυτοῦ καὶ σοφώτερον ἢ κατὰ τὴν ἡμετέραν κρίσιν τε καὶ διάνοιαν,
οἳ μηδὲν τούτων ἴσμεν ἀκριβῶς ὅπως ἔχει, καὶ διὰ τοῦτο καθ' ἅπερ ἐπὶ πᾶσι τοῖς
ἄλλοις, οὕτω δὴ κἀνταῦθα παραχωροῦμεν καὶ παραχωρεῖν γε πάντως ὀφείλομεν τῷ
κρεῖττον ἡμῶν τὰ καθ' ἡμᾶς εἰδότι καὶ κρίνοντι καὶ πρὸς τὸν προσήκοντα λόγον καὶ
καιρὸν διατάττοντι. [7]ἅπερ καὶ αὐτὸς λογιζόμενος, ὡς φρονήσει καὶ πείρᾳ καὶ τῇ περὶ
ταῦτα παιδεύσει τῶν πολλῶν θεοῦ χάριτι διαφέρων ἢ καὶ τῶν πάντων, ἐξανάφερέ μοι
πρὸς τὸ συμβάν, καὶ τὴν συμφορὰν (ὅσον ἔνεστι) κούφιζε καὶ μετρίαζε, παρακλήτωρ
γινόμενος αὐτὸς ἑαυτῷ, καὶ τοῖς ἐπιλογισμοῖς ἤδη τούτοις καὶ εἴ τις ἄλλος συντείνει πρὸς
τὸν καιρὸν καὶ τὸ πάθος, οἷον ἐπῳδαῖς τισὶ χρώμενος, ἵνα δυνηθῇς πρὸς ταῖς ἄλλαις
ἀρεταῖς αἷς κεκόσμησαι, καὶ τὸν τῆς ὑπομονῆς λαβεῖν στέφανον ἐφ' οὕτω μεγάλῃ τε καὶ
θαυμαστῇ καρτερίᾳ, ὃν ἀποδώσει σοι κύριος ὁ δίκαιος κριτὴς ἐν ἡμέρᾳ ἐπιφανείας,
ὅτε δὴ καὶ τὸν ἀπελθόντα σοι καὶ θρηνούμενον νῦν ὄψεσθαί σε πιστεύω, μετὰ παρρη-
σίας ἐμφανιζόμενον τῷ προ|σώπῳ κυρίου, καὶ τῆς αὐτῆς ἐκείνῳ καὶ δόξης καὶ 112[1]
παρακλήσεως τεύξεσθαι. [8]καί μοι τεύξοισθε ταύτης, ὥσπερ δή που καὶ ἄξιον, ἐπ' ἔργοις
ἀμφότεροι καλοῖς στεφανούμενοι, καὶ ἀντὶ τῆς διαζεύξεως ταύτης καὶ τῆς ἐπ' ἀλλήλοις
λύπης τε καὶ ζημίας τὴν πρὸς ἀλλήλους ἕνωσιν πάλιν δικαίως ἀπολαμβάνοντες καὶ εἰς
τὴν χαρὰν τοῦ αὐτοῦ συνεισιόντες κυρίου, ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία.
[9]πρὸς δ' οὖν τὸ παρὸν ἔρρωσό μοι καὶ σῶμα καὶ ψυχὴν ὡς οἷόν τε, καὶ ὁ παρακαλῶν
πρὸς ἀξίαν τὰς ὀδυνωμένας ψυχάς, αὐτός μοι δὴ καὶ τὴν σὴν οἷς ἐκεῖνος ἐπίσταται
τρόποις, παρακαλέσοι.

173. οδ. [1]Ποταπὸς ἡμῖν ἄρα καὶ τίς ὁ γραμματικός; πότερον σοφόκλειος; ἢ
ἀριστοφάνειος ἤδη; ὡς ἔγωγε βουλοίμην ἂν καὶ ἀράτειον ἢ καὶ ἔτι προσωτέρω τοῦτον
ἀκοῦσαι, καὶ μᾶλλον ἐγγυτέρω τοῦ τέλους τῆς ἐγκυκλίου. [2]σπεῦδε τοίνυν πρὸς τοῦτο καὶ
κατεπείγου· καὶ ὀξεῖ τοῦ νοῦ τῷ πτερῷ τοὺς ἀκηράτους* τούτους λειμῶνας τῶν μαθη-
μάτων ἄριστα διϊπτάμενος, πρὸς τὸ ἄκρον ἔντεινε τῆς σοφίας, βοηθῶν εὐκαίρως περὶ
τὰ κάλλιστα διὰ τῆς ἐπιμελείας τῇ φύσει, ὅτι ὁ βίος βραχύς, αἱ δὲ τέχναι πολλαί (τὰς
λογικὰς καὶ σάς φημι ταύτας), καὶ διὰ πασῶν σε δεῖ τούτων, | ἂν καὶ τὰ τῆς 112[2]
θείας ἐπινεύῃ φιλανθρωπίας, ἐλθεῖν, εἴ τι μέλλοις προσάψασθαι τοῦ κατ' ἀνθρώπους
τελείου, καὶ γενέσθαι τοῦ γένους καὶ τῶν ἐπὶ σοὶ μεγάλων ἐλπίδων καὶ εὐχῶν ἄξιος.
[3]τὰ δὲ τῆς προκοπῆς μὴ εἰς μῆκος ἀπλατὲς προχωρείτω σοι κατὰ τοὺς τῆς λεπτῆς γραμ-
μῆς ὅρους, οὓς γεωμετρία διδάξει σε, ὥστε μόνου τοῦ σχέδους (φέρε εἰπεῖν) ἢ τῶν ποιη-
μάτων σε μόνον ἢ καὶ ἄλλου μέρους ἑνός τινος τῶν τῆς παιδεύσεως ἔχεσθαι, οὕτως
ὄντων πολλῶν, καταφρονεῖν δὲ τῶν ἄλλων, ἀλλ' εἰς βάθος ἅμα καὶ πλάτος καὶ μῆκος
συμπαρεκτείνου πρὸς τὸ τοῦ στερεοῦ παράδειγμα μᾶλλον, ἐπ' ἴσης ἁπάντων τῶν εἰς
γνῶσιν ἀναγκαίων ἐπιμελόμενος, καὶ πλείονα χώραν ἐπιλαμβάνων ἐν τοῖς μαθήμασιν,

2 Euripid Hippolyt 76

οὖν ἀντιγράφων ἁγίων ἀξιωθήτω ὁ περικαῶς οὕτω ταῦτα διψῶν, καὶ τοῦ πάντων δωρημάτων μείζονος δώρου, τῶν θεοτιμήτων εὐχῶν τοῦ μεγάλου καὶ ἐνθέου δεσπότου μου, πρὸς ὃν ὡς ἐλάχιστος πάλιν ἔγραψα δοῦλος.

| **166.** ξζ. [1]Οὐ καλὸν μὲν καὶ ἤδη τὸ μέλλον προμαντευόμενος, ἡγιασμένε 107[1]
μου δέσποτα καὶ φίλε καὶ ἀδελφέ, βραδυτῆτα γραμμάτων διὰ τὴν τῶν πραγμάτων τραχύτητα συνταττόμενος ὑμῖν καὶ ἀπαίρων, εἰ μὴ ἐξελάθου, προανεφώνησα, πολὺ δὲ χείροσιν αὐτοῖς ἐντυχὼν ἢ προείκασα, εἰκότως καὶ βράδιον ἢ διενοούμην ἀντέγραψα, ἀεί τινα ῥαστώνην ἐλπίζων καὶ μεταβολὴν πρὸς τὸ βέλτιον, ὡς ἄν τι χρησιότερον ἀντὶ τῶν ἐναντίων ἔχοιμι γράφειν. [2]νῦν οὖν μόλις τυχὼν — οὐκ αὐτοῦ ἐκείνου τοῦ ποθουμένου· πολλοῦ γὰρ ἔτι καὶ δεῖ —, ἀλλά τινος ὁρμῆς πρὸς ἐκεῖνο καὶ ἀρχῆς ἀμυδρᾶς διὰ τὴν θείαν φιλανθρωπίαν, καὶ ὡς ἐν ἡλίου προδιαυγείᾳ ἤδη καὶ αὐτὸν ἀνατείλαντα πιστεύσας ὁρᾶν, εὐθυμότερον ἔσχον τι μικρὸν καὶ ἀνέπνευσα, παραχρῆμα δὲ καὶ τοῦ χρέους εὐγνωμόνως ἐμνήσθην καὶ ἀποδίδωμι πρόθυμος — εἰ καὶ τυχὸν ὑπερήμερος — τῷ δεσπότῃ μὲν τὴν προσκύνησιν, τῷ δὲ φίλῳ τὴν προσαγόρευσιν, καὶ διὰ γραμμάτων ἀμφοτέροις γνωρίζω, τῷ | μὲν τὴν πίστιν ὅτι βεβαία, τῷ δὲ τὴν εὔνοιαν ὅτι 107[2]
ἀμετάβλητος. [3]ἡ μὲν τοίνυν σὴ τελειότης καὶ προσειρήσθω ταῖσδε ταῖς συλλαβαῖς, καὶ τὸ πάντων δικαιότατον ὄφλημα* τοῦτο τῆς ἀγάπης ἀπολαβέτω· τὰ πρὸς τὴν δεσποτικὴν δὲ καὶ θείαν μακαριότητα κἀνταῦθα σὸν ἔργον καὶ τῆς εἰλικρινοῦς τῷ ὄντι φιλίας, εὖ θεῖναι πάντα καὶ ὡς ἡμῖν καταθύμιον, ἤτοι τὸν ὑπὲρ τῆς ὑστερήσεως τῶν γραμμάτων ἀπόλογον τὴν αὐτῶν τε τούτων εἰσαγωγὴν καὶ τὴν παραδοχὴν ταύτης δὴ τῆς φαυλοτάτης καρποφορίας ἣν συνεπέμψαμεν, εἶτα τὴν ἐμοὶ πολυέραστον διὰ τῶν ἐκεῖθεν ἀντιγράφων ἀπόκρισιν. [4]ταῦτ' οὖν ἅπαντα καλῶς καὶ ἀξίως ἑαυτῆς ἡ ἀκραιφνὴς φιλία διαθεμένη, κατευοδούσθω ἐν ἅπασι κοινωφελέσιν ἔργοις καὶ θεαρέστοις, καὶ σοὶ τὰ κράτιστα παρὰ τοῦ θεοῦ τῶν δικαίων (ὡς καὶ αὐτῷ δικαίῳ διαφερόντως) νῦν τε παρείη καὶ ἀεὶ παρόντα μὴ διαλίποι.

| **167.** ξη. [1]Εὐθηνία μὲν ἅπαντα τὰ τῇδε κακῶν· μία δ' ἐπὶ πᾶσι τούτοις 108[1]
ἀναψυχὴ μετὰ τὴν θείαν χρηστότητα καὶ τὴν εἰς ἐκείνην ἐλπίδα, ἡ μνήμη τῶν ἐμῶν κυρίων καὶ φίλων, φίλτατέ μοι καὶ τίμιε καὶ ἅγιε κῦρι[sic], ὧν ἐν τοῖς μάλιστα καὶ ὅσον ἐξαίρετον ὑμᾶς ἀπ' ἀρχῆς καὶ τὰ ὑμέτερα τάττομεν. [2]καὶ οὐδ' ἔτι καὶ νῦν τὴν καλὴν ταύτην ἔχομεν ἀμεῖψαι τάξιν ἑτέρως, ἀλλ' ὡς ἐτάχθη τὸ πρῶτον, οὕτως εἰς δεῦρο μένει καὶ συντηρεῖται· πάντως δὲ καὶ συντηρηθήσεται, ἕως αἴσθησίς ἔνεστιν ἡμῖν τις καὶ μνήμη, καὶ οὐδὲν ἐγχειρήσομεν, οὐδ' ἂν πειραθῶμεν, ἕξομεν ἴσως τῆς ὑμετέρας φιλίας τι καὶ δόξης προσθεῖναι, τὴν ἐπ' ἀρετῇ λέγω δόξαν, ἐπεὶ ταῖς ἔξωθεν ταύταις οὐ πάνυ τι σχολάζω προσέχειν. [3]πλὴν καὶ ταύτην κἀκείνην πάντων ἅμα προέχοιτε, καὶ μηδεὶς ὑμῶν ἁγιότητι, μὴ βίου λαμπρότητι, μηδενὶ τῶν ἄλλων καλῶν — τῶν δοκούντων ἢ ὄντων — ἔξοι τι πλέον, ἀλλ' αὐτοὶ πρωτεύοιτε πάντων ἐπὶ* πᾶσι τούτοις ἀεί, παγγενεὶ* τε χαίροντες ἅμα, καὶ πανοικεσίᾳ σῳζόμενοι*· τούτου γὰρ οὐδὲν μεῖζον ἔχει προσάγειν ἡ καρποφορεῖν ἡ γραφή.

168. ξθ. [1]Εἰκασμός τις ἄδηλος ἔχει με, καὶ ζητῶ τὴν | ἀλήθειαν ἀνι- 108[2]
χνεῦσαι καὶ συλλαβεῖν, μακαριώτατέ μοι καὶ φίλτατε καὶ ἅγιε δέσποτα· μὴν γὰρ ἕβδομος

3 Rom 13, 8 | 3 ἐπὶ C *Studemund* | 3 παγγενῆ codex | 3 Actor 16, 34

οὗτος, κἀγὼ τὸν δεσπότην καὶ πατέρα καὶ φίλον, τὸν ἡγιασμένον, σέ φημι, σέ, ἰδεῖν οὐκ οἶδ' ὅπου, κατὰ τὴν βασιλίδα δ' οἶμαι τῶν πόλεων, ἀμυδρῶς λίαν ἔδοξα καὶ ὅσον ἐν ὕπνῳ· πλὴν ἀλλ' ὕπαρ, οὐκ ὄναρ, ἀληθῶς ἦν τὸ ὅραμα· νῦν γὰρ ἔοικε μόλις ἐπανελθεῖν ἡ ἀνάμνησις. [2]καὶ εἶδον, εἶδον τῷ ὄντι τὸν πάσης χάριτος πλήρη καὶ μεστὸν ἁγιότητος καὶ καλοῦ παντὸς ἑτέρου δεσπότην μου, καὶ ἡ ὅρασις* αὐτοῦ ὡς ὅρασις ἀγγέλου, καὶ τὰ ῥήματα αὐτοῦ ζωῆς ῥήματα, καὶ τῆς καλλονῆς ὁ σταθμὸς — ἀλλὰ ταύτης με τὸ μέτρον ἐπέλιπεν, ἐπειδὴ μηδὲν ὅμοιον τῶν ὄντων εὑρεῖν ἐστί. [3]πλὴν ἀλλ' οἷόν με πάλιν ἐκ καινῆς εἰσῆλθεν ἐνθύμημα· ὄψεις σώματος ταῦτα, καὶ διὰ τοῦτο βραχύτατον εἰς θέαν τὸ ἐραστόν, καὶ τοσοῦτον, ὡς καὶ ἀμφίβολον εἰ ὅλως τεθέαται, κινδυνεῦσαι γενέσθαι παρὰ λογισμοῖς ἐπιλήσμοσι, τοῖς ἐμοῖς δῆλον ὅτι, ἐπεὶ τοῖς ψυχικοῖς ὀφθαλμοῖς καθ' ὅλου τε καὶ δι' ὅλου καὶ βεβαίως, οὐκ ἀμφιβόλως, πάρεστιν ὁρᾶν τὸν ποθούμενον καὶ κατατρυφᾶν εἰς κόρον αὐτοῦ καὶ ἀπολαύειν ἡδέως τῶν ἐν αὐτῷ
| πολλῶν χαρισμάτων. [4]καὶ οὐδὲν ὁ τόπος ἐνταῦθα, οὐδὲν ὁ χρόνος ὁ μέσος 109[1]
οὐδ' ἑτέρα περίστασις· κρείττων γὰρ πάντων τούτων ἡ τῆς ὄψεως ταύτης φύσις καὶ δύναμις, οὐ διὰ τοίχων ὁρᾶν καὶ διὰ λίθων ἔχουσα μόνον, ὡς ὁ παλαιὸς μῦθος βούλεται, ἀλλὰ καὶ δι' ἑτέρου παντὸς ἐπιπροσθεῖν πεφυκότος ἐμποδίου τε καὶ κωλυματος. [5]καὶ ἵνα σοι θᾶττον τὸν σκοπὸν τοῦ λόγου συναπαρτίσω, ἀείμνηστον ἴσθι παρ' ἐμοὶ διαμένουσαν τὴν σὴν ὁσιότητα. εἰ δ' ἀκερδὴς ἡ χάρις αὐτῇ, ἀλλ' ἡμῖν γε πάντως αὐτοῖς οὐκ ἀκερδὴς οὐδ' ἀνόνητος· τί γὰρ μεῖζον ἐμοὶ τοῦ μνήμῃ κουφίζεσθαι δεσπότου τοσούτου κἀντεῦθεν μετρίως ἐπὶ πολλοῖς — φεῦ ἡλίκοις τε καὶ ὅσοις — κακοῖς ψυχαγωγεῖν ἐμαυτόν; [6]ἀλλά μοι χαρισθείης εἰς μήκιστον οὕτως ὑπὲρ γῆς διαλάμπων, καὶ μὴ σύνοδον μόνον, ἀλλὰ καὶ σύγκλητον ἅμα καὶ πᾶν ἁπλῶς τὸ πολίτευμα τῷ τῶν ἐν σοὶ καλῶν πλούτῳ φιλοτίμως κατακοσμῶν.

169. ο. [1]Φιλοτιμία τῆς θείας ἄντικρυς χάριτος, ὅτι τὸν πρὸ τοῦ σοφὸν φίλον νῦν καὶ ἅγιον ἔχομεν, ἵν' ἐπὶ δυσὶ τοῖς πρώτοις καλοῖς ὡς οἰκείοις ἤδη καλλωπιζοίμεθα, εἴπερ τὰ τῶν φίλων κοινά, ἢ μᾶλλον ἴδια θατέρῳ τὰ τοῦ ἑτέρου. [2]παραμένοι τοιγαροῦν ἐπὶ πλέον τὸ διπλοῦν καλλώπισμα τοῦτο, κόσμος ἅμα καὶ | ὄφελος ἡμῖν τοῖς 109[2]
πλουτοῦσι, καὶ ἀκούοιτό μοι καὶ βλέποιτο ὁ καὶ τοῖς ἄλλοις μὲν πᾶσι κεχαρισμένος οὕτω τι φίλος, ἡμῖν δὲ μάλιστα πάντων τοῖς καὶ μᾶλλον ποθοῦσιν, ἅτε πλέον ἴσως τῶν ἄλλων συνιεῖσι τοῦ ἀγαθοῦ· καὶ μή τις φθόνος αὐτόν, μή τις ἕτερος τρόπος ἡμᾶς τους φιλοῦντας καὶ μετέχοντας οὕτω τῶν αὐτοῦ χαρίτων ἀφέλοιτο. [3]τοῦ δὲ λόγου κεφάλαιον, ἐρρώσθω τέως τὸ σῶμα (τὴν γαρ ψυχὴν ἀπαθής ἐστι, μεταπεπλασμένος ἤδη τῷ πνεύματι), καὶ πάσης χαρᾶς καὶ ἀνθρωπίνης καὶ θείας ἐν παντὶ πληρούσθω καιρῷ.

170. οα. [1]Ἀγαθοῦ δεσπότου θεράπων εἰκότως ἀγαθὸς καὶ αὐτός, ἐπειδήπερ ἀμέσως μετέχων τε καὶ βλέπων ἐξομοιοῦται. οὐκοῦν οὐδὲν θαυμαστόν, εἰ θαυμαστὸς συ τὰ πάντα, ἀρετήν τε λέγω καὶ λόγον καὶ σεμνότητα πᾶσαν. εἰ δὲ καὶ φιλίαν πρὸς τούτοις, οὐ θαρρῶ παντάπασιν ἀποφαίνεσθαι, ἐπειδὴ καὶ χρόνος καὶ τόπος ἀδικεῖν ἡμᾶς ὕποπτος, τοσοῦτον ἀπάγοντες καὶ πρὸς τοσοῦτον τοῦ φίλου, καὶ διστάζειν παρέχοντες μή τι πέπονθεν ἀνθρώπινον ἴσως, οὐχ ὁρῶν, οὐχ ὁρώμενος, ὁ πολλὰ μὲν φιλουμενος,

2 Iudd 13, 6

ἀντιφιλεῖν δ' οὐκ ἐλάττω λέγων ἅμα καὶ πιστευόμενος. [2] *εἴης οὖν μοι καὶ ζῶν καὶ*
ἐρρωμένος καὶ εὔθυμος, καὶ πρὸς | τούτοις τῷ φίλῳ τὴν ἴσην ἀποσῴζων διά- 110[1]
θεσιν, τὴν κρείττω γάρ. διὰ τί; ἢ πῶς ἂν ἡμεῖς ἀνασχοίμεθα τὸ ἧττον εἴς γε φιλίαν
πρὸς τοὺς φιλεῖν ἐθέλοντας ἀποφέρεσθαι; ἢ οὐχ ἅλις ὅτι λειπόμεθα τοσοῦτον αὐτῶν
ἐπὶ τοῖς ἄλλοις καλοῖς; ἀλλὰ τοῦ γε φιλεῖν οὐδενὶ τῶν πάντων παραχωρήσομεν οὐδ'
ἐφήσομεν πρωτεύειν ἡμῶν, ἰσότητος δ' ἂν ἐπιεικῶς μεταδοίημεν, καὶ μάλιστα σοί, τῷ
προσθήκην τοῖς φίλτροις ἐκ τῆς καὶ καθ' αἷμα πρὸς ἡμᾶς κοινωνίας παρέχειν ὡς
εἰκὸς ἔχοντι.

171. *οβ.* [1] *Ὀλίγα μὲν ἡμεῖς δυνατοὶ διὰ τῶν σαρκικῶν τούτων ὄψεων τοῖς φίλοις*
συγγίνεσθαι, οὐκ ὀλίγα δὲ πάντως διὰ τῶν ψυχικῶν καὶ ἀδήλων· ὥς που καὶ τὴν σὴν
ὁσιότητα βραχὺ πρὸ καιροῦ τινὸς συγχωρηθέντες ἰδεῖν καὶ ὅσον ἐν ὕπνῳ, κατὰ τοῦτο
δὴ τὸ βλεπόμενον ἀοράτως αὐτῇ διὰ παντὸς σύνεσμεν, καὶ τὸν πλοῦτον τῶν ταύτης
ἀρετῶν θεωροῦμεν, καὶ ἡδέως αὐτοῦ καταιρυφῶμεν καὶ ἀπολαύομεν, δι' εὐχῆς ὅτι
μάλιστα θερμοτάτης ἅμα ποιούμενοι καὶ δι' ἐφέσεως ἔχοντες, ἐπὶ μήκιστον ἡμῖν χα-
ρισθῆναι καὶ παντὶ τῷ καθ' ἡμᾶς βίῳ τοῦτο τὸ κοινὸν ἀγαθόν, ᾧ μηδὲν ὅμοιον ἰδεῖν
ἐστὶν ἕτερον | ἐν ταύταις ταῖς ἡμέραις ἡμῶν. [2] *εἴη τοίνυν οὕτω καὶ γένοιτο,* 110[2]
καὶ τὴν σὴν ἁγιότητα χρονιώτερον ἐμμεῖναι τῷ βίῳ ὁ τῶν κατὰ σὲ δικαίων θεὸς
εὐδοκήσοι, ἄλυπόν τε καὶ ἄνοσον ἀεὶ συντηρῶν καὶ παντὸς ἐλευθέραν ἀβουλήτου καὶ
ἀηδοῦς. περὶ ὧν καὶ ἀρκούντως. [3] *ἀλλ' ἀντίδος καὶ αὐτὸς ἡμῖν μίαν μακαρίαν εὐχήν,*
ἣν ὑπὲρ χρυσίον καὶ λίθον ἐπιποθοῦμεν, καί σοι πάντα χωροίη κατὰ σκοπὸν πανταχοῦ,
ὅσα τε πρὸς τὸ νῦν ἐστί, καὶ πολλῷ πλέον ὅσα πρὸς τὸ μέλλον καὶ τὴν ἐλπίδα.

172. *ογ.* [1] *Ἀλγεινὸν μὲν σφόδρα τὸ πάθος (οὐ γάρ ἔστιν εἰπεῖν ὡς οὐχί), ἀλγεινὸν*
πρὸς ἀλήθειαν καὶ λίαν ὀδυνηρόν, οὐ γηραιῷ πατρὶ μόνον καὶ τοσοῦτον φιλόπαιδι
θάνατος υἱοῦ φιλοπάτορος, τὸ σῶμα μὲν νέου, παλαιοῦ δὲ τὸ φρόνημα, καὶ παιδείᾳ
καὶ λόγοις καὶ χάρισι παντοίαις κεκοσμημένου, καὶ διὰ ταῦτα τοῖς πᾶσι προσηκόντως
ἠγαπημένου. [2] *οὐ πατρὶ τοίνυν μόνον χαλεπὸν καὶ βαρύτατον ἡ τοσαύτη ζημία, οὐδ'*
ἡμῖν τοῖς κοινωνοῦσιν ἀγχιστείας ἢ αἵματος καὶ διὰ φίλτρων τοσούτων ἀπ' ἀρχῆς συνημ-
μένοις, ἀλλὰ καὶ πᾶσιν (οἶμαι) τοῖς ὅλως πειραθεῖσι τῆς καλοκἀγαθίας τοῦ ἀπελθόντος
ἢ καὶ ἄλλως γνωρίσασι τὸν ἄνδρα δι' ἀκοῆς. | ἔτι δ' οἶμαι τῶν ὄντων οὐδεὶς 111[1]
ὃς οὐκ ἔγνω καὶ ἤκουσεν ἀνιαρὸν εἰκότως τὸ πρᾶγμα καὶ λυπηρόν, καὶ κοινή τις ζημία
καὶ συμφορὰ τὸ συμβάν. [3] *ἀλλὰ τί ποτ' ἂν εἴποιμεν ἡμεῖς ἐπ' αὐτῷ; τί δ' ἂν δρά-*
σαιμεν ἄλλο πλὴν ἢ μόνον ἐκεῖνο; μνησθησόμεθα θεοῦ τε καὶ φύσεως, καὶ ὡς ὁ μὲν
ὁ αὐτός ἐστιν ὁ καὶ συνδήσας καὶ λύσας, ὅ τε τὴν ἀρχὴν παρασχόμενος καὶ ὁ νῦν
ἀφελόμενος, ἡ δὲ φύσις τὸ πάθος ἀπ' ἀρχῆς κατεκρίθη, καὶ διὰ παντὸς καθ' ἅπαξ
ὁ θάνατος χωρεῖ τοῦ θνητοῦ, καὶ οὐδὲν οὔτε γέγονεν οὔτε ἔστιν οὔτ' ἔσται τῶν ὑπὸ
τὸ αὐτὸ γενομένων ἐφ' ἅπαξ τῆς φθορᾶς ταύτης κρίμα, ὃ μὴ τοῦτο καὶ πέπονθε καὶ
πάσχει καὶ πείσεται, κἂν τὸ μὲν αὐτῶν τάχιον, τὸ δὲ καὶ βράδιον ἴσως πάσχῃ καὶ
λύηται. [4] *θαυμαστὸν οὖν οὐδὲν οὐδὲ τὸ νῦν καὶ*[sic] *ἡμέτερον, ἀλλὰ καὶ λίαν ἀνθρώποις*
σύνηθές τε καὶ γνώριμον, καὶ οὐδὲν οὕτως ἕτερον ὡς ἀνθρώπινος θάνατος τῇ καθ'
ἡμᾶς ζωῇ τε καὶ γνώσει συνῳκείωταί τε καὶ κατατέτριπται. [5] *εἰ δ' ἐνοχλεῖ τὸ πρὸ ὥρας*
ἴσως ἐνταῦθα, ἀλλ' ἐκεῖνο πάντως οὐκ ἄκαιρον πρὸς τοῦτο λογίσασθαι, ὅτι ὁ τάττων

*καὶ κρίνων τούτων καθ' ἕκαστον καὶ πατήρ ἐστιν ἡμῶν καὶ σοφός, φιλοστοργότατος
ἁπάντων πατέρων καὶ σοφώτερος ὁμοίως πάντων τῶν ὄντων ἢ δοκούντων σοφῶν·
[6]αὐτὸς οὖν τοὺς καιροὺς ἑκάστου καὶ χρόνους ἐν τῇ ἰδίᾳ | θέμενος ἐξουσίᾳ* 111[2]
*ἄμεινον ἡμῶν πάντων οἶδεν ἀφορίζειν τὸν ἴδιον ἑκάστῳ καὶ πρέποντα, καὶ φιλανθρωπότερον χρῆσθαι τοῖς ἑαυτοῦ καὶ σοφώτερον ἢ κατὰ τὴν ἡμετέραν κρίσιν τε καὶ διάνοιαν, οἳ μηδὲν τούτων ἴσμεν ἀκριβῶς ὅπως ἔχει, καὶ διὰ τοῦτο καθ' ἅπερ ἐπὶ πᾶσι τοῖς ἄλλοις, οὕτω δὴ κἀνταῦθα παραχωροῦμεν καὶ παραχωρεῖν γε πάντως ὀφείλομεν τῷ κρεῖττον ἡμῶν τὰ καθ' ἡμᾶς εἰδότι καὶ κρίνοντι καὶ πρὸς τὸν προσήκοντα λόγον καὶ καιρὸν διατάττοντι. [7]ἅπερ καὶ αὐτὸς λογιζόμενος, ὡς φρονήσει καὶ πείρᾳ καὶ τῇ περὶ ταῦτα παιδεύσει τῶν πολλῶν θεοῦ χάριτι διαφέρων ἢ καὶ τῶν πάντων, ἐξανάφερέ μοι πρὸς τὸ συμβάν, καὶ τὴν συμφορὰν (ὅσον ἔνεστι) κούφιζε καὶ μετρίαζε, παρακλήτωρ γινόμενος αὐτὸς ἑαυτῷ, καὶ τοῖς ἐπιλογισμοῖς ἤδη τούτοις καὶ εἴ τις ἄλλος συντείνει πρὸς τὸν καιρὸν καὶ τὸ πάθος, οἷον ἐπῳδαῖς τισὶ χρώμενος, ἵνα δυνηθῇς πρὸς ταῖς ἄλλαις ἀρεταῖς αἷς κεκόσμησαι, καὶ τὸν τῆς ὑπομονῆς λαβεῖν στέφανον ἐφ' οὕτω μεγάλῃ τε καὶ θαυμαστῇ καρτερίᾳ, ὃν ἀποδώσει σοι κύριος ὁ δίκαιος κριτὴς ἐν ἡμέρᾳ ἐπιφανείας, ὅτε δὴ καὶ τὸν ἀπελθόντα σοι καὶ θρηνούμενον νῦν ὄψεσθαί σε πιστεύω, μετὰ παρρη-
σίας ἐμφανιζόμενον τῷ προ|σώπῳ κυρίου, καὶ τῆς αὐτῆς ἐκείνῳ καὶ δόξης καὶ* 112[1]
παρακλήσεως τεύξεσθαι. [8]καί μοι τεύξοισθε ταύτης, ὥσπερ δή που καὶ ἄξιον, ἐπ' ἔργοις ἀμφότεροι καλοῖς στεφανούμενοι, καὶ ἀντὶ τῆς διαζεύξεως ταύτης καὶ τῆς ἐπ' ἀλλήλοις λύπης τε καὶ ζημίας τὴν πρὸς ἀλλήλους ἕνωσιν πάλιν δικαίως ἀπολαμβάνοντες καὶ εἰς τὴν χαρὰν τοῦ αὐτοῦ συνεισιόντες κυρίου, ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία. [9]πρὸς δ' οὖν τὸ παρὸν ἔρρωσό μοι καὶ σῶμα καὶ ψυχὴν ὡς οἷόν τε, καὶ ὁ παρακαλῶν πρὸς ἀξίαν τὰς ὀδυνωμένας ψυχάς, αὐτός μοι δὴ καὶ τὴν σὴν οἷς ἐκεῖνος ἐπίσταται τρόποις, παρακαλέσοι.

173. *οδ.* [1]*Ποταπὸς ἡμῖν ἄρα καὶ τίς ὁ γραμματικός; πότερον σοφόκλειος; ἢ ἀριστοφάνειος ἤδη; ὡς ἔγωγε βουλοίμην ἂν καὶ ἀράτειον ἢ καὶ ἔτι προσωτέρω τοῦτον ἀκοῦσαι, καὶ μᾶλλον ἐγγυτέρω τοῦ τέλους τῆς ἐγκυκλίου. [2]σπεῦδε τοίνυν πρὸς τοῦτο καὶ κατεπείγου· καὶ ὀξεῖ τοῦ νοῦ τῷ πτερῷ τοὺς ἀκηραίους* τούτους λειμῶνας τῶν μαθημάτων ἄριστα διϊπτάμενος, πρὸς τὸ ἄκρον ἔντεινε τῆς σοφίας, βοηθῶν εὐκαίρως περὶ τὰ κάλλιστα διὰ τῆς ἐπιμελείας τῇ φύσει, ὅτι ὁ βίος βραχύς, αἱ δὲ τέχναι πολλαί (τὰς
λογικὰς καὶ σάς φημι ταύτας), καὶ διὰ πασῶν σε δεῖ τούτων, | ἂν καὶ τὰ τῆς* 112[2]
θείας ἐπινεύῃ φιλανθρωπίας, ἐλθεῖν, εἴ τι μέλλοις προσάψασθαι τοῦ κατ' ἀνθρώπους τελείου, καὶ γενέσθαι τοῦ γένους καὶ τῶν ἐπὶ σοὶ μεγάλων ἐλπίδων καὶ εὐχῶν ἄξιος. [3]τὰ δὲ τῆς προκοπῆς μὴ εἰς μῆκος ἀπλατὲς προχωρείτω σοι κατὰ τοὺς τῆς λεπτῆς γραμμῆς ὅρους, οὓς γεωμετρία διδάξει σε, ὥστε μόνου τοῦ σχέδους (φέρε εἰπεῖν) ἢ τῶν ποιημάτων σε μόνον ἢ καὶ ἄλλου μέρους ἑνός τινος τῶν τῆς παιδεύσεως ἔχεσθαι, οὕτως ὄντων πολλῶν, καταφρονεῖν δὲ τῶν ἄλλων, ἀλλ' εἰς βάθος ἅμα καὶ πλάτος καὶ μῆκος συμπαρεκτείνου πρὸς τὸ τοῦ στερεοῦ παράδειγμα μᾶλλον, ἐπ' ἴσης ἁπάντων τῶν εἰς γνῶσιν ἀναγκαίων ἐπιμελόμενος, καὶ πλείονα χώραν ἐπιλαμβάνων ἐν τοῖς μαθήμασιν,

2 Euripid Hippolyt 76

ἵν' ὡς φοῖνιξ καρποφόρος ἀνθήσῃς. καὶ μὴ ὡς κάλαμος ἄκαρπος. [4] οὕτως οὖν ποιῶν
ἔσο μοι*,*

καὶ μὴ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλε,

*εἰς τὸ βάθος ὡς μάλιστα προϊὼν τῆς παιδεύσεως, καὶ μὴ ἐξ ἐπιπολῆς ἐπιτρέχων καὶ
μόνον ἁπλῶς ἀφοσιούμενος τὰ μαθήματα κατὰ τοὺς πολλοὺς τῶν ἀπαιδεύτων καὶ
ἀμαθῶν, ἵνα μὴ οὕτω σεαυτὸν ἀπατῶν ἐν τῷ τῆς ἐργασίας καιρῷ ἢ καὶ παρ' ἑτέρων
ἐξαπατώμενος, λάθῃς ὕστερον θησαυρίσας ἀνέμους καὶ συνά|ξῃς* ταῖς χερσὶν* 113[1]
*ἀκαρπίαν. [5] ἀλλ' ἀπείη γε τοῦτο πορρωτάτω σοῦ καὶ τῶν σῶν, αὐτὸς δὲ καὶ δόξοις
ἅμα καὶ γένοιο ἐντελὴς καὶ ἄρτιος* περὶ πάντα, καὶ δαψιλῆ τὸν καρπὸν ἐν τῷ καιρῷ
τῷ σῷ δώσοις ὡς τὸ δένδρον ἐκεῖνο τὸ ψαλμικόν*, τὸ παρὰ τὰς διεξόδους τῶν ὑδάτων
πεφυτευμένον.*

174. *οε. [1] Διέφυγεν ἡμᾶς ἡδὺ θήραμα, ὢ τῆς ζημίας! καὶ παρῆλθε φίλος ἀνήρ,
μὴ προσειπών, μὴ προσβλέψας, μὴ προσρηθείς, μὴ ὀφθείς — οὐκ οἶδ' ὅ,τι δόξαν
αὐτῷ, καὶ δι' ἥντινα πρόφασιν. [2] ἡμεῖς μέντοι πάλαι ἠλπίζομεν οὐ φίλον τοῦτον ἁπλῶς,
ἀλλὰ καὶ ἄρχοντα δέξασθαι, καὶ τὸ πρᾶγμα — πῶς ἂν εἴποις; — ἡδέως καὶ δι' εὐχῶν
ὁπόσων προσεδεχόμεθα. [3] ἀλλ' ἐπεὶ ἀνθ' ἡμῶν ἐπὶ τὰ ἡμέτερα ὁ ἡμέτερος, οὐ παντελῶς
ἡμεῖς ἀτυχεῖς, οὐδὲ δυσπραγεῖν εἰς ἅπαν ἡγούμεθα, ἀλλ' εἰ καὶ τοῦ πρώτου τῶν ἐφετῶν
διημάρτομεν*, δηλαδὴ κατ' ἐπήρειαν καὶ φθόνον τοῦ πονηροῦ, ἀλλὰ τοῦ γε δευτέρου
τῶν καλῶν μὴ διαπεσόντες, οὐκέτι δεύτερον τοῦτο, ἀλλὰ πρῶτον ἂν τάττοιμεν· πλὴν
ἀλλ' ἐπὶ πλέον ἀπόναιντο τῆς σῆς καλοκἀγαθίας οἱ διὰ σὲ τὸ ἐντεῦθεν εὐτυχεῖς Πα-
φλαγόνες, οὓς ἤδη μακαρίους ἡγοῦμαι, νικήσαντας ἡμᾶς ἐπὶ σοί, καὶ προτιμηθέντας εἰς
τοῦτο τὸ κοινὸν καὶ περιμά|χητον ἀγαθόν, τὴν σὴν ἀσύγκριτον λέγω καλλονὴν* 113[2]
*καὶ εὐσέβειαν. [4] ἐπιμείνοις οὖν πλέον, ἐπιμείνοις αὐτοῖς, καὶ εἰς μακρότερόν σου κατα-
πολαύσειαν τῆς οὕτω χρηστῆς καὶ θαυμασίας ἀρχῆς.*

175. *ος. [1] Φιλεῖν μὲν ἐγὼ τοὺς ἀδελφοὺς οὐκ ἂν ἀρνηθείην, ἵν' ἀπὸ τῶν ὑμετέρων
ὡς καὶ ὑμέτερος προοιμιάσωμαι πρὸς ὑμᾶς, καὶ ἄλλως μὲν ὄντας φιλεῖσθαι παρὰ πᾶσιν
ἀξίους, ἐμοὶ δὲ καὶ πλέον διὰ πλείω τὰ δίκαια, εἴ τι πλέον ἔχειν διδόατε τοῖς διδα-
σκάλοις παρὰ τοὺς ἄλλους, καὶ μᾶλλον τοῖς οὕτω καθαρῶς ὑμᾶς ἀγαπήσασι καὶ πρὸς
τὸν τοῦ καλοῦ ζῆλον τοῦτον καὶ τὴν περὶ τὰ κάλλιστα προθυμίαν, ἐν οἷς ὑμᾶς ἴσμεν
τῶν πολλῶν διαφέροντας, οὐ φαῦλόν τι κέντρον ἐξ ἀρχῆς προσβαλοῦσιν, ᾧ τὰς οἴκοθεν
ὁρμὰς παρασχόντες, καὶ ταύτῃ πλέον ἐρεθισθέντες, εἰς τὸ μέτρον ἐδράμετε τῆς νῦν
προκοπῆς. εἴη δ' ἀφικέσθαι καὶ πρὸς τὸ πέρας, εἰ δὴ καὶ ἔτι ἐλλείποι τι παρ' ὑμῖν
τοῦ τελείου. [2] τοσοῦτον μὲν τοῖς φιλτάτοις αὐταδέλφοις τὸ παρ' ἡμῶν. εἰ δὲ καὶ αὐτοὶ
τὸν πάλαι διδάσκαλον ἀγαθῆς ποτὲ μνήμης ἐν ταῖς ἑαυτῶν ψυχαῖς ἀξιοῦσιν, οὐκ
ἀπεικὸς τάχα ἄν, ἀλλὰ καὶ λίαν εἰκός. [3] εἴτ' οὖν οὕτως | εἴτε καὶ ἄλλως, σῴζοισθέ* 114[1]
μοι πανοικεσία, καὶ εἰρήνη καὶ ἔλεος ἐφ' ὑμᾶς τε καὶ τὰ ὑμέτερα.

176. *οζ. [1] Κἂν ὑστερῇ τὰ τοῦ γράμματος, ἀλλὰ τὰ τῆς μνήμης προφθάνει· μαρ-
τυρεῖ μοι γὰρ ἡ συνείδησις ὡς ἐν μέσῃ ψυχῇ διὰ παντὸς ὑμᾶς περιφέρω, καὶ μνημο-
νείω καὶ λόγων γλυκυτάτων ἐκείνων καὶ συναναστροφῆς μακαρίας καὶ φιλίας εἰλικρινοῦς*

3 Psalm ϙα 13 | 4 *ἴσομοι* codex | 4 Proverb 9, 12 PdeLagarde anmerkungen 32 | 5 Timoth β 3, 17 | 5 Psalm 1, 3 | 3 *διημάρτομεν* ex *διημάρτωμεν* ut videtur factum C *Studemund*

*καὶ θαυμαστῆς διαθέσεως· καὶ τίνος γὰρ ἂν ἄλλου δικαιότερον μνημονεύσαιμι, ἐπιλε-
λησμένος ὑμῶν τῶν ἐρασμίων κυρίων μου, καὶ τῶν οὐχ ἧττον ἐμῶν φιλτάτων τέκνων
ἐκείνων ἢ ὑμετέρων, καὶ τῆς Θεοφυλάκτου πάσης οἰκίας, ἥτις φιλοφρόνως ἐξένισεν ἡμᾶς
καὶ ἀνέπαυσεν οὐχ ἅπαξ ἀλλὰ πολλάκις, καὶ πρὸς ἣν ὅτε δύναμις φοιτῶντες ἐχαίρομεν,
ὅπερ οὐδενί ποτε τῶν ἄλλων οἴκων ἐχαρισάμεθα, πολλῶν ἢ καὶ πάντων οὐ παρέργως
ἐφελκομένων; [2]οὐκ ἐκ λήθης οὖν τὸ ὑστέρημα — μὴ τοσοῦτον ἀχάριστος γενοίμην πρὸς
τοὺς φιλτάτους —, ἀλλ' εἰς ἰλὺν βυθοῦ συμφορῶν (ψαλμικῶς* εἰπεῖν) ἐμπαγείς, καὶ
πολλῆς ἀηδίας καὶ ναυτίας ἀναπλησθείς, τὸ τῶν κακοσίτων πέπονθα πάθος, οἵτινες
ὁπόταν πρός τι σιτίον ἐφ' ἅπαξ ἀηδισθῶσιν, ἔσθ' ὅτε καὶ τὰ λίαν ἥδιστα δυσχεραίνουσι.
[3]καὶ αὐτὸς οὖν, ἐπεὶ μήτε πέφυκα μή|τ' ἔμαθον ψεύδεσθαι, παραπλήσιόν τι 114[2]
παθών, οὐκ αἰσχύνομαι τὸ ἀληθὲς ἐξειπεῖν πρὸς ὑμᾶς, τοὺς πάντων ἀνθρώπων πο-
θεινοτάτους ἐμοὶ καὶ οἰκειοτάτους. ἀλλ' ἀπό γε τοῦ νῦν, ἐπειδὰν καιρὸς παρεμπέσοι
(ἔσται δ' οὗτος ὁ καιρὸς πότε;), σὺν θεῷ πειρασόμεθα τὸ ὑστέρημα διορθώσασθαι.
[4]πρὸς δὲ τὸ παρὸν ἔρρωσθέ μοι, μᾶλλον δὲ συνέρρωσθε καὶ συγχαίρετε, καὶ φιλίας
ἀρχαίας ἐν καιρῷ μνημονεύετε.*

177. *Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων λόγος | μηνὶ Νο- 115[1]
εμβρίῳ η̅. εἰς τὴν σύναξιν τῶν ἁγίων ἀγγέλων.*

*[1]Καὶ τοῦτο τῆς ἄκρας ἀγαθότητος γνώρισμα, ἀπόδειξις καὶ αὕτη μεγίστη τῆς
περὶ ἐμὲ μεγάλης φιλανθρωπίας· συγχορεύειν ἀγγέλοις καὶ συνεορτάζειν ἠξίωμαι·
ἀγγελικὴ γὰρ πανήγυρις ἡμῖν τὰ παρόντα, οὐρανόθεν ἐνταῦθα συγκροτηθεῖσα καὶ μεθ'
ἡμῶν τῶν ἀνθρώπων ἐπὶ γῆς ἑορτάζουσα. [2]ὢ καινῶν μυστηρίων! ὢ θεοῦ δωρεῶν!
ἡ θνητὴ φύσις αὕτη πρὸς ἀγγέλους ἔχει τὸ ἴσον, καὶ τοῖς οὐρανίοις ἀμέσως ὁ ἐπίγειος
ὁμιλεῖ, καὶ τὴν πρώτην ὁ ἔκπτωτος ἀξίαν ἀναλαμβάνει μετὰ θαυμαστῆς τῆς προσθήκης
καὶ τελεωτέρας τῆς οἰκειώσεως. [3]τίς ἂν ἤλπισε ταῦτα πρὶν ἢ γενέσθαι; τίς δὲ παρ'
ἐλπίδας οὕτως ἐκβεβηκότα θεωρῶν οὐ θαυμάσεται; [4]οὐκοῦν θαυμασώμεθα πρὸ πάντων
ἡμεῖς περὶ οὓς ἡ τοσαύτη θεσπεσία καινοτομία (εὐτυχοῦμεν γὰρ ὄντως πέρα προσδοκίας
ἁπάσης), καὶ τὴν καθ' ἡμᾶς εὐτυχίαν | περιχαρῶς ἑορτάσωμεν, ἢ τὸ μᾶλλον 115[2]
προσῆκον, ὑπερκοσμίως καὶ οὐρανίως· ἐκεῖθεν γὰρ ἡμῖν καὶ τὸ σύνθημα, καὶ οἱ παρόντες
οὗτοι συνθιασῶται· ἑορτῆς δὲ κεφάλαιον θεὸς δοξαζόμενος, παρ' οὗ τοῖς πᾶσι τὰ πάντα,
κἀμοὶ πρὸς τοῖς ἄλλοις τὸ τηλικαύτης τυχεῖν εὐεργεσίας καὶ χάριτος. [5]ἀλλὰ τοῦτο μὲν
(ὡς εἰπεῖν) ἀναγκαιότατον ἅμα καὶ δικαιότατον ὄφλημα, οὐ τοῖς λογικοῖς ἡμῖν μόνον,
ἀλλ' ἤδη καὶ τοῖς ἀλόγοις, ἔτι δὲ καὶ ταῖς ἔτι πορρωτέρω τῶν φύσεων, καὶ κοινῇ καὶ
ἰδίᾳ τὸν εὐεργέτην ὑμνεῖν ἐν παντὶ καιρῷ τε καὶ πράγματι· οὐ γὰρ ἔστιν ὃ τῶν ἐκεῖθεν
πρὸς ἡμᾶς δωρεῶν, τηλικούτων ἑκάστοτε καὶ τοσούτων χορηγουμένων, ἀντιδοίη τις ἂν
εἰς ἀμοιβὴν ἕτερον ὅτι μὴ μόνον εὐγνωμονῶν καὶ τὴν θείαν ἐπὶ πᾶσι δοξάζων φιλαν-
θρωπίαν· [6]ἐμοὶ δὲ πρὸς τούτῳ καὶ δεύτερον ἀνέφανε χρέος, οὐδ' αὐτὸ παραίτησιν ἔχον,
οὐ μὲν οὖν οὐδ' ὑπέρθεσιν, ἀλλὰ καὶ θᾶττον ὡς μάλιστα τὴν εἴσπραξιν κατεπεῖγον·
αὐτίκα γοῦν ὁ καιρός, ἀναβολὴν οὐ διδούς, καταβολὴν ἀπαιτεῖ, καὶ θεὸν σὺν ἀγγέλοις
εὐλογεῖν ἡμᾶς ἀξιῶν, καὶ πρὸς | τοὺς ἀγγέλους οὐχ ἧττον μεθέλκει τὴν εὐφημίαν, 116[1]
οἳ μὴ μόνον δοξάσοντες, ἀλλὰ καὶ δοξασθησόμενοι πάρεισι, τὸ μέν, σὺν ἡμῖν, καὶ ἡμᾶς*

2 Psalm ξη 3

δὲ πρὸς ἔτι — μηδὲ γὰρ τοῦτο παρέλθωμεν, ἐπεὶ τηλικοῦτον —· τὸ δέ, παρ' ἡμῶν τε καὶ ὑπὲρ ἡμῶν αὐτῶν ἄντικρυς, οἷς ἠξίωσαν εἰς ἓν συνελθεῖν, συγκαταβάντες τοσοῦτον, ἐπί τε ἡμετέρᾳ τιμῇ καὶ συμφώνῳ δοξολογίᾳ τοῦ παραδόξως ἀμφότερα τῇ ἑαυτοῦ κενώσει ἑνώσαντος.

[7] *Ὁ μὲν οὖν ἀγών μοι διπλοῦς, καὶ δυσχερὴς ἀμφοτέρωθεν· ἣν δὲ μέθοδον πρὸς τοῦτον εὑρίσκω, καὶ τίνα δοκῶ μοι τρόπον μετελθεῖν τὰ παρόντα, καὶ ὑμῖν σημανῶ· εὖ γὰρ οἶδα, ποθεῖτε προμαθεῖν τὸ πρακτέον, ὡς οὐχ ἧττον ἐφ' ἡμῖν καὶ αὐτοὶ περὶ τὴν τοῦ κοινοῦ τοῦδε χρέους ἔκτισιν κινδυνεύοντες.*

[8] *Ἀναδραμοῦμαι μὲν ἐπὶ θεόν, τὴν ἀνωτάτω πάντων ἀρχήν, καὶ περὶ αὐτοῦ τι βραχὺ φιλοσοφήσας καὶ μέτριον, ἐκεῖθεν σπουδῇ πρὸς τοὺς ἀγγέλους χωρήσω, τοῦ μὲν ὡς ἀπροσίτου πυρὸς παραψαύων μὲν ὑφειμένως, ὑποχωρῶν δὲ ταχύ, καὶ τῇ βελτίστῃ δειλίᾳ ποριζόμενος τὸ ἀκίνδυνον· | τοῖς δὲ προστρέχων ἡδέως ὡς ἧττον μὲν* 116[2]
φοβεροῖς, τὴν δὲ φύσιν μᾶλλον οἰκειοτέροις· κτίσμα γὰρ ὡς ἐγώ, κἂν τοσοῦτον ἀξίᾳ τε καὶ δόξῃ προέχωσιν. ἄλλως τε καὶ τῆς πρὸς θεὸν μὲν τιμῆς ὁ σύμπας χρόνος καιρός, τοῖς δὲ τὴν παροῦσαν ἴσμεν οὖσαν ἐξαίρετον· τῷ τοι καὶ σύναξιν καλοῦμεν ἀγγέλων, ἥν τε συνήχθησαν αὐτοὶ παρ' ἡμῖν, ἥν τε συνήγαγον ἡμᾶς ἐφ' ἑαυτοῖς, οἱονεί τινα μοῖραν τοῦ ἔτους ἀφωρισμένην τὴν ἡμέραν ἐξοικειούμενοι. [9] *δεῖ δὴ πάντως αὐτοὺς νῦν εἴπερ ποτέ, τυγχάνειν τῶν καθηκόντων· καθήκοι δ' ἂν λόγος πρὸ τῶν ἄλλων εἰκότως οἰκειότατον δῶρον ἡμῖν τε προσενεγκεῖν, ὅτι λογικοί, κἀκείνοις δή που λαβεῖν, ὡς κρατίστοις τῶν λογικῶν· λόγον οὖν καὶ προσάγομεν εὐλόγως διὰ τὸν λόγον, ἐπεὶ δὲ πρὸς οὕτω λαμπροὺς ὁ λόγος ἡμῖν, καὶ λαμπρὰν ἀρχὴν ἕξει μετὰ λαμπροῦ παραδείγματος· ὅρα γὰρ εὐθὺς οἷον ἀπολάμπει λεγόμενον.*

[10] *Τί τῶν ὁρωμένων τὸ κάλλιστον; ἥλιος. τί δὲ τῶν νοουμένων; θεός. ὁ μέν, πᾶν αὐγάζων τὸ κάτω καὶ τὸ ἐγκόσμιον, ὁ δέ, | πᾶν τὸ ἄνω φωτίζων καὶ ὑπερκόσμιον.* 117[1]
[11] *τί δ' εὐθὺς καλὸν μετὰ ἥλιον; ἀστέρων χορός· περὶ αὐτόν τε κινούμενος ἐν τάξει παναρμονίῳ, καὶ φαιδρὸν ὅτι μάλιστα μετ' ἐκεῖνον ἐκλάμπων. τί δ' αὐτίκα μετὰ θεόν; ἀγγέλων πληθύς· φῶτα δεύτερα λαμπρὰ καὶ μεγάλα, ἐξ ἑνὸς ἀναπτόμενα τοῦ μεγίστου καὶ πρώτου, καὶ ἀπ' αὐτοῦ μὲν ὁρμώμενα, περὶ αὐτὸ δὲ στρεφόμενα, καὶ δι' ἑαυτῶν πρὸς ἡμᾶς τὸν ἐκεῖθεν φωτισμὸν παραπέμποντα, ἵνα μηδὲν ᾖ κενὸν μηδὲ ἄμοιρον τῆς ἀστέκτου τοῖς πᾶσι καὶ ἀχωρήτου δόξης ἐκείνης·* [12] *τοιοῦτον γὰρ ἡ θεία μεγαλειότης, ἀόριστος καὶ ἀνέφικτος τήν τε δύναμιν ἅμα καὶ τὴν δόξαν καὶ τὴν οὐσίαν. πῶς δ' οὐκ ἀνέφικτος; ἣ καὶ τούτοις αὐτοῖς, οἳ καὶ στάσιν καὶ τάξιν ἐγγυτάτω ταύτης εἰλήχασι, τοσοῦτον παραδείκνυσι μόνον ὅσον τὸ τρισσὸν ἑαυτῆς καὶ ἑνιαῖον γνωρίσαι, ἀμερίστως μὲν μεριζόμενον, ἀσυγχύτως δὲ συναπτόμενον· πρὸς ὃ καὶ τὸν ἀοίδιμον ὕμνον* ἐκεῖνον μετ' ἐκπλήξεως ἡλίκης κεκράγασιν, εἰς μίαν κυριότητος | ἕνωσιν, εἴτ' οὖν θεότητος,* 117[2]
τοὺς τῶν ὑποστάσεων τρεῖς συναιροῦντες ἁγιασμούς. [13] *τἄλλα δὲ συγκαλύπτεται καὶ καθ' ἑαυτὴν ἀπορρήτως καὶ μυστικῶς ἀποκρύπτεται· ὅμως μέντοι καὶ οὕτω τὴν λαμπηδόνα συστέλλουσα, περιλάμπει τε σφόδρα τῷ φαινομένῳ, καὶ ὑπερλάμπει πρώτους αὐτούς, ὡς μὴ δυνατοὺς εἶναι φέρειν τῆς ἀστραπῆς μηδὲ τὸ μετρούμενον· διὰ τοῦτο καὶ πρόσωπα καὶ πόδας ὁμοῦ ταῖς ἑαυτῶν καλύπτουσι πτέρυξιν, ὡς οὔτ' ἀρχὴν οὔτε πέρας*

8 C[m] *διατί σύναξις ἀγγέλων ἡ ἑορτὴ ὀνομάζεται Studemund* | 12 ♂ C[m] | 12 Isaias 6, 3

*ἔχον οὐδέν, ἀλλ' ἑκατέρωθεν ἄπειρον καὶ πάντοθεν ἄληπτον τὸ μέγα ἐκεῖνο καὶ
ἀθέατον θέαμα.* [14]*ὅταν δὲ τοῖς οὕτως ἐγγὺς καὶ καθαροῖς καὶ ἀΰλοις μόλις ἔκ τινος
μέρους τὸ θεῖον ἐπιγινώσκηται, τί ποτ' ἂν ἡμεῖς πλέον ἕξειν ἐλπίσαιμεν, οἱ κείμενοι
πόρρω καὶ τὸ παχὺ τοῦτο νέφος τῆς σαρκὸς περιφέροντες; ὅθεν ἄχρι τούτων ἡμῖν ὁ
περὶ θεοῦ τέως λόγος· τὸ γὰρ ὑπὲρ ταῦτα ζητεῖν οὐκ ἀσφαλὲς οὐδὲ εὔλογον· *ὧν γὰρ
ἀνέλπιστον ἡ γνῶσις, ἀλόγιστον ἡ ἐξέτασις. εἰ δ' οὐκ ἀνέλπι|στον ἀγγέλοις,* 118[1]
ζητείτωσαν ἄγγελοι. [15]*ἐμοὶ δὲ κἀκεῖνοι πρὸς τὸ θαυμάζειν ἀρκέσουσιν· εἴη δὲ μᾶλλον
εἰπεῖν ὅτι αὐτὸς ἐξαρκέσω τῷ ἐγχειρήματι, πρὸς αὐτοὺς τρεπόμενος ἤδη καὶ τὴν τούτων
χάριν καὶ δύναμιν ὑμνῆσαι προῃρημένος.* [16]*διαφορὰς μὲν οὖν τάξεων καὶ τόπων
ἀφορισμούς, προσηγοριῶν τε δυνάμεις καὶ ἰδέας λειτουργιῶν, ἔτι δὲ βαθμούς τε καὶ
μέτρα φωτισμοῦ καὶ γνώσεως, καὶ σχημάτων ὑποτυπώσεις καὶ μορφῆς σύμβολα ἢ σκιὰς
ἢ ἰνδάλματα ἢ οὐκ οἶδ' ὅ,τι προσειπεῖν οἰκειότερον, τάς τε πρὸς ἀλλήλους σχέσεις αὐτῶν
καὶ ὁπόσα γε ἄλλα τοῖς ἀγγελικοῖς διακόσμοις προσμαρτυρεῖται, διεξιέτωσαν ἕτεροι, οἷς
σχολὴ καὶ σπουδὴ τὰ τηλικαῦτα φιλοσοφεῖν· τὸ δ' ἡμέτερον οἷον, λέγειν ἤδη καιρός.*

[17]*τούτοις ὕπαρξις, ἄχρονος μέν, οὐκ ἄναρχος δέ· χρόνος γὰρ κόσμῳ σύνδρομος,
πρὸ δὲ κόσμου τὰ ὑπερκόσμια· ταύτῃ τοι καὶ τῶν ἄστρων ἄρτι παραγομένων, οἷς ὁ
χρόνος μετρεῖσθαι παρὰ τοῦ δημιουργοῦντος* ἐτάττετο, αὐτοὶ θεὸν ᾔνεσαν μεγάλῃ φωνῇ,
| ὡς ἡ θεοῦ* μαρτυρία, τοῦτο μέν, ὡς εἰκός, τῆς μεγαλουργίας τοῦ κτίσματος* 118[2]
*τὸν κτίστην ὑπεραγάμενοι, τάχα δὲ καὶ πλέον ἡσθέντες τῷ δημιουργήματι τούτῳ διὰ τὸ
συγγενὲς τῆς λαμπρότητος.* [18]*ἀλλὰ μὴν οὐδ' αὖ πάλιν ἀπ' ἀρχῆς ἦσαν ἄγγελοι, ἐπεὶ
μηδ' ἀγένητοι· μόνος γὰρ ἄμφω ταῦτα θεός, ἄναρχός τε ὢν καὶ ἀγένητος· οἱ δὲ καὶ
γεγόνασι, καὶ γένεσις τούτοις πρὸ τῆς τῶν ὅλων γενέσεως, ὅθεν οὐδ' ἐπίζευξίν πως
ἐνταῦθα πρὸς τὴν ἑαυτῆς ἔχει σύζυγον, δηλαδὴ τὴν φθοράν, ἀλλ' εἰσὶν οὐκ ἄναρχοι
μέν, ἄφθαρτοι δέ, καὶ τῶν περάτων ἀμφοῖν (ἀρχῆς τε λέγω καὶ τέλους, οἷς τὸ ὑπὸ
γένεσιν ἅπαν ἐμπεριείληπται) τὸ μὲν οὐ διέφυγον, τοῦ δὲ πόρρω μένουσι καὶ μενοῦσιν
ἄχρι παντός.* [19]*ἀθανάτου δόξης ἀθάνατοι μύσται καὶ θεωροί· παραστάται τοῦ θρόνου
τῆς ὑπερφυοῦς ἐξουσίας· ὑψηλοῦ βασιλέως ὑψηλοὶ δορυφόροι· ἀκραιφνεῖς ὅλοι νόες,
ἀκραιφνεστάτου νοῦ λειτουργοί· χορὸς ἐπουράνιος· στρατὸς ὑπερκόσμιος· πρωτοτόκων
ἐκκλησία· ἑορταζόντων πανήγυρις· δῆμος ἅγιος· ζῶσα | πόλις θεοῦ· συναγωγὴ* 119[1]
θεῶν — τὸ μεγαλοπρεπέστερον —, ἧς ἐν μέσῳ τῶν θεῶν ὁ θεὸς ἕστηκέ τε καὶ κάθηται —
καὶ οὐδ' ἕτερον τούτων (ὑπὲρ πᾶν γὰρ σχῆμα τὸ θεῖον), πάντως δὲ μέσος πάρεστι —, δια-
κρίνων αὐτούς, καὶ διαιρῶν ἑκάστῳ τὰ πρόσφορα, ἐπειδήπερ κἀκείνοις ἐν σταθμῷ τὰ
χαρίσματα*.* [20]*οὐσία — τῶν ἄλλων ἡ πρώτη μετὰ τὴν πρώτην, μᾶλλον δὲ καὶ πρώτη
κυρίως· ὑπὲρ οὐσίαν γὰρ τὸ ἐπέκεινα. εἶδος — ὄψεως κρεῖσσον, θᾶττον πλῆσσον τὴν
αἴσθησιν ἢ λαβὴν ἀναμένον. ἀριθμὸς — ὑπὲρ ἀριθμόν· χίλιαι* χιλιάδες λειτουργοῦσιν
αὐτῷ καὶ μύριαι μυριάδες παρεστήκασιν αὐτῷ. ἕνα πάντες σκοπὸν τὸ θεῖον ἔχοντες
βούλημα, ἓν θέλημα πάντες, τὸ πρὸς τὸ θέλημα, μίαν νεῦσιν, τὴν πρὸς τὸ νεῦμα. ἁπλοῖ
τὴν φύσιν, πτηνοὶ τὸ τάχος, θαυμαστοὶ τὴν λαμπρότητα. αὐτοί τε μυούμενοι πρῶτοι
τὰ τῆς θείας βουλῆς, καὶ τοῖς ἄλλοις ἀγγέλλοντες σὺν καιρῷ τε καὶ λόγῳ, πρὸς τὸ μέ-*

13 *σημειῶσαι* per scripturae compendium *Studemund* | 14 *γνωμη* C[m] | 17 Gen 1, 14 | 17 Iob 38, 7 | 19 Psalm πα 1 | 19 Sap 11, 21 | 20 Dan 7, 10

τρον (ὡς οἶμαι) τῆς τῶν δεχομένων καθάρσεως· ἐξ οὕπερ αὐτοῖς καὶ τὸ τῆς προσηγορίας
κοινόν· | ἄγγελοι γὰρ πάντες ὁμοίως, ὅτι καὶ ὁμοίως ταῖς θείαις ἀγγελίαις διακο- 119[2]
νοῦσιν, ὀξεῖς μὲν πρὸς ἅπαν καλόν, βραδεῖς δὲ καὶ λίαν πρὸς τοὐναντίον· πάλαι τάχα
που τοῦτο· τὰ δὲ νῦν καὶ παντάπασιν ἀκίνητοι πρὸς τὸ χεῖρον, ὥσπερ ἕξιν ἀσάλευτον ἤδη
περὶ τὸ καλὸν καὶ φυσίωσιν ὑπὸ τῆς μακρᾶς προσλαβόντες ἐργασίας καὶ συνηθείας. ἐπαινῶ
γὰρ τὴν γνώμην, καὶ τοῖς εἰποῦσι συντίθεμαι. [21]*τοιαύτη μὲν δὴ τῶν τοῦ θεοῦ κτισμάτων*
ἡ ἀπαρχή, στρατόπεδα θεῖα καὶ νοητά, τὸν ἄνω κόσμον πληροῦντα καὶ θεὸν ἀϊδίως ἐν
ὑψίστοις δοξάζοντα· τοῦτο γὰρ αὐτοῖς ὡς οὐδὲν ἄλλο τῶν πάντων μάλα πρέπον ἦν
ἔργον, διὰ τοῦτο καὶ μόνον, ἄχρι καὶ μόνοι. [22]*ἐπεὶ δ' οὐρανὸς ὑπέστη καὶ γῆ, καὶ δεύ-*
τερος κόσμος ἄλλος οὗτος κατεσκευάσθη, ἄνθρωπός τε παρήχθη, δεσπότης τῶν ὁρωμένων,
ἄγγελος ἕτερος, νοερός [κἂν μὴ] νοητός, λογικὸς, [κἂν] οὐκ ἄϋλος, χρονικῶς μὲν ἀρξά-
μενος, οὐδ' αὐτὸς δὲ λήγων εἰς ἅπαν, κατ' οὐδένα καιρὸν οὐδὲ τοῦ εἶναι παυόμενος,
κἂν ἐκ μέρους πρόσκαιρα παύηται, ἀμφοτέρων τῶν κόσμων οἱ|ονεί τις δεσμὸς 120[1]
τῇ πρὸς ἑκάτερον αὐτῶν οἰκειώσει καὶ κοινωνίᾳ, ἕν τι μῖγμα καὶ κρᾶμα τῶν ἐναντίων,
δηλαδὴ λεπτότητος καὶ παχύτητος, διαμονῆς τε καὶ λύσεως, ὕψους καὶ χθαμαλότητος,
ὁ αὐτὸς νοῦς καὶ χοῦς, θεία φύσις ἅμα καὶ γεηρά — ἐπειδὴ τοίνυν ταῦτα τοῦτον ἔσχε
τὸν τρόπον, τότε δὴ καὶ δεύτερον ἔργον, προσῆκον οὐχ ἥκιστα καὶ αὐτό, τοῖς ἱεροῖς
ἀγγέλοις προσανετέθη, ἡ τοῦ πλάσματος τοῦδε φυλακή τε καὶ σωτηρία καὶ τὸ παν-
ταχοῦ συμπαρεῖναι καὶ ἀεὶ τοῦ συνοίσοντος αὐτῷ προνοεῖν κατὰ τὴν μεγάλην εὐδοκίαν
καὶ κρίσιν τοῦ τὰ πάντα σοφῶς ὑποστήσαντός τε καὶ τάξαντος.

[23]*ὡς ἀπόλοιτο καὶ νῦν ἐξ ἀνθρώπων, ὥσπερ ἐξ ἀγγέλων τὸ πρότερον, ὁ κακῶς*
ἐκεῖθεν ἀποστήσας, ὁ πικρὸς καὶ ἀρχέκακος ἡμῶν δυσμενής, καὶ τοῦ θεοῦ τῶν δυνά-
μεων ἀσθενὴς μὲν ἐχθρός, ἀλλ' ἀναιδέστερος μᾶλλον ἢ ἀσθενέστερος, καθ' οὗ τὰ πρῶτα
μανεὶς καὶ τολμήσας πτέρναν ἐπᾶραι καὶ διὰ τοῦτο πεσὼν ὡς ἀστραπὴ ἐκ τοῦ οὐρανοῦ,*
ἅτε καὶ τὴν δόξαν λαμπρὸς καὶ τὴν ἐκεῖθεν πτῶσιν ὀξύς, τά τε ἄνω καὶ κάτω (τό γε
μέ|ρος αὐτοῦ) μετεκίνησε καὶ ἀνέτρεψε, καὶ πολλῆς τὸ πᾶν ἔπλησε ταραχῆς καὶ 120[2]

20 C[m] *διατί πάντες οἱ θεῖοι νόες ἄγγελοι λέγονται Studemund* | 22 was ich umzog [ego uncis inclusi. Lagarde] schrieb eine spätere Hand auf Rasur in C. Diese selbe spätere Hand schreibt am Rand

⁖ γρ ' εἰ καὶ αἰσθητός

Eine wenig *ältere* Hand schreibt (zum Theil unlesbar) folgendes am Rand

..δια τῶν τοι
??? ??? ?
. . . .
κεῖνο, τό
τεπλέον
ὡς ἐκ τοῦ
κρείττο
νος

Die zwei obersten Zeilen sind zum großen Theil eben von der etwas späteren Schrift *γρ ' εἰ καὶ αἰσθητός* verdeckt. In der obersten Zeile hatte also diese alte Hand etwa folgendes geschrieben:

. . *δια τῶν το*
unlesbar sehr oder
unsicher *τοι*

Die 2te Zeile ist absolut unlesbar, weil von der zweiten Schrift bedeckt *Studemund*. etiam accentus vocis *νοητος* a Studemundo serius scriptus vocatur | 23 C[m] *περὶ τοῦ σατανᾶ Studemund* | 23 Isa 14, 12 Luc 10, 18

συγχύσεως, μειώσας μὲν τὴν ἀμείωτον τῶν ἐπουρανίων πληθύν, καὶ τὴν ἄλυτον τάξιν
τῶν ἀΰλων λύσας ταγμάτων, τὸν ἄρρηκτόν τε καὶ μέγαν συνασπισμὸν διαρρήξας, καὶ
τοσαύτην ἑαυτῷ φάλαγγα καὶ συναποστήσας ἐκεῖθεν καὶ συγκατασπάσας εἰς γῆν, εἰς
ἀναγκαίαν δὲ χρείαν τηλικαύτης ἐπικουρίας ἐμβαλὼν τὸ ἀνθρώπινον, πρός τε τὴν ἐντὸς
μάχην ταύτην τὴν τῶν παθῶν καὶ πρὸς τὴν ἐκτὸς τὴν ἀπ' ἐκείνου ταλαιπωροῦν. [24]προσ-
θήκη δὲ τοῦ κακοῦ ὅτι καὶ τῶν ὑπολοίπων ἀγγέλων, τῶν ἐκλεκτῶν καὶ θεοειδῶν, —
βαβαὶ μέχρι τίνος ἡ τόλμα τοῦ ὑβριστοῦ — κατεσκέδασε δόξαν ἀμφίβολον, καὶ διστά-
ζειν ἠνάγκασεν ἡμᾶς ἐπ' αὐτοῖς πότερον τρεπτοί τινες ὅλως ἢ τὸ σύνολον ἄτρεπτοι, ἐπεὶ
τρεπτὸς καὶ αὐτός, ὅτι καὶ παντάπασι τέτραπται — τὴν ἀπὸ τοῦ κρείττονος λέγω πρὸς
τὸ χεῖρον τροπήν· οὐ γὰρ δὴ καὶ τὴν ἔμπαλιν, ὡς ὄφελόν γε κἀκείνη τῷ παλαμναίῳ
προσῆν· ἦν γὰρ ἂν καὶ ἡμῖν οὕτως ἄμεινον, ὥσπερ πάλαι καὶ ἦν· πῶς δὲ οὐκ ἔμελλεν,
ἀπαλλα|γεῖσι τοιούτου χαλεποῦ πολεμίου καὶ γενομένοις ὡς πρίν, ὅτε ἦμεν ἔτι μα- 121[1]
κάριοι, μήπω τούτῳ προσμίξαντες ἐπ' ὀλέθρῳ τῷ ἑαυτῶν μηδὲ τὴν ἐπ' αὐτῷ παρ' αὐτοῦ
δυστυχῆ δεξάμενοι πεῖραν; [25]νῦν δ' ὁ μὲν εἰς κακίαν ἐφ' ἅπαξ κατολισθήσας ἔτι μένει
κακός, μᾶλλον δὲ κακία τὸ ὅλον καὶ γέγονεν αὐτὸς ὑφ' ἑαυτοῦ καὶ ἔστι, κακίας ἁπάσης
δημιουργὸς καὶ πατήρ, ἐμοὶ δὲ τὸ πάλαι βασκήνας τῆς θαυμαστῆς ἐκείνης τιμῆς, καὶ
τὸ ἴσον αὐτῷ καὶ τολμῆσαι πείσας καὶ ὑποστῆναι, φεῦ οἷα πέπονθα! οὔτ' αὐτὸς ἐθέλει
τι βέλτιον ἐφ' ἑαυτῷ συμφρονῆσαι, κἀμὲ τῆς σωτηρίας ἀπάγειν φιλονεικεῖ, ἐπιβουλεύων
τε λάθρα καὶ πολεμῶν ἐμφανῶς, πανταχοῦ τε παγίδας μοι θανάτου πηγνὺς καὶ ζητῶν
ἀποκλεῖσαι τὴν εἰς τὸ ἀρχαῖον ἐπάνοδον. [26]ἀλλ' ὁ μὲν τοιοῦτός ἐστι, καὶ οὔποτε λήξει
τοῦ πρὸς τὸ γένος πολέμου, ἕως ἂν ἐπειγόμενον βλέπῃ πρὸς οὐρανόν, ὅθεν ὁ βέβηλος
αὐτὸς ἀπερρίφη, τὰ δὲ νῦν, ὡς ἀπώσθη τῶν ἀγγελικῶν καταλόγων, οὕτω δὴ καὶ τοῦ
λόγου τοῦ περὶ τῶν ἀγγέλων ἀπέστω, τοὺς ὁμοτίμους πρὶν τούτους συλλειτουργοὺς
| καὶ συνάρχοντας, φοβεροὺς δὲ νῦν ἀντιπάλους καὶ τιμωροὺς δεδιὼς καὶ κακὸς 121[2]
κακῶς φεύγων ὡς ἀμάχους τὴν δύναμιν· ὁ δὲ λόγος πάλιν ἐχέσθω τῶν ἑξῆς ἀκωλύτως,
καὶ τὰς τῶν ἁγίων ἀγγέλων ποικίλας ἀγαθουργίας ὡς δυνατὸν εὐφημείτω.

[27]εἶχεν οὖν καλῶς ἀπ' ἀρχῆς τῷ ποιητῇ τὰ ποιήματα, καὶ εἶδεν ὀφθαλμοῖς ἀδε-
κάστοις ἅπαντα ταῦτα, καὶ ἰδοὺ καλὰ λίαν*· ἐπεὶ δὲ ὁ φθόνος τοσοῦτον ἐθρασύνθη καὶ
ἴσχυσεν, ὡς ἀλλοτριῶσαι θεοῦ τὸν κατ' εἰκόνα πλασθέντα* καὶ τῆς δεδομένης ἀξίας τε
καὶ δόξης ἀπενεγκεῖν, τοῦ τῆς τρυφῆς μὲν χωρίου καὶ τῆς ἀνωδύνου ζωῆς μετ' αἰσχύνης
ὁ δείλαιος ἄνθρωπος ἀποπέμπεται, λύπῃ δὲ καὶ φθορᾷ καὶ θανάτῳ καὶ κακοῖς πᾶσιν
ἔκδοτος διὰ τὴν ἄνοιαν γίνεται, καὶ κατακρίνεται μὲν τὴν εἰς γῆν οἰκτίστην ἀποστροφὴν*
καὶ τὸν μέχρις ἐκείνης ἄσπονδον πόλεμον πρὸς τὸν αὐτοῦ δεινὸν πτερνιστήν, οὐ μὴν
παρορᾶται παντελῶς ἀβοήθητος ὑπὸ τῆς τοῦ πλάστου φιλανθρωπίας, ἀλλὰ καὶ βοη-
θεῖται βοήθειαν θαυμαστὴν καὶ μεγάλην καὶ συμμαχίας τυγχάνει κραταιᾶς | τε 122[1]
καὶ δυνατῆς. [28]καὶ οὗτοί εἰσιν ἡμῖν οἱ βοηθοί τε καὶ σύμμαχοι, ἀπ' ἀρχῆς ἄχρι δεῦρο
τὸ καθ' ἡμᾶς γένος σῴζοντες καὶ παντοδαπὴν ἐπιμέλειαν πρὸς τοῦτο εἰσφέροντες. τοῦ
λόγου δὲ μάρτυς οὐκ ἄγγελος οὐδὲ ἄνθρωπος, ἀλλ' αὐτὸ τὸ πνεῦμα τῆς ἀληθείας,
παλαιάν τε καὶ νέαν ἱστορίαν καὶ πραγματείαν τῶν ἐπ' αὐτοῖς πληρῶσαν θαυμάτων
καὶ πανταχόθεν ἡμῖν τὰς ἀγγελικάς τε καὶ θείας γνωρίσαν μεγαλουργίας. [29]ἐντεῦθεν

27 Gen 1, 31 | 27 Gen 1, 26 | 27 Gen 3, 19

μανθάνομεν ἐθνάρχας ἀγγέλους, ἕκαστον ἑκάστου τῶν τῆς γῆς ἐθνῶν ἔφορον, τά τε
ἄλλα καλῶς διατιθέντας αὐτοῖς καὶ τοὺς ὅρους τυποῦντας καὶ πηγνύντας εἰς τὸ ἀκίνητον·
ἐντεῦθεν* Ἰουδαίων, Ἑλλήνων, Ἀσσυρίων, Περσῶν, παντὸς γένους τῶν ὑπὸ τὸν οὐρανόν,
καταλαμβάνομεν ἄρχοντας· ἐντεῦθεν πάσης φυλῆς, ἐκκλησίας, οἰκίας, τοῦ κοινοῦ, τοῦ
καθ' ἕκαστον προστάτας καὶ κηδεμόνας· ἀπαθεῖς κακῶν ἀβουλήτων τοὺς ὑφ' ἑαυτοῖς
συντηροῦντας, καὶ τοῖς ἐκ θελήματος ἧττον περιπίπτειν ἐῶντας. [30] τίς ἂν κατὰ μέρος
αὐτῶν τὰς ἐνεργείας ἐξείποι; τίς τὰς ἐμφανείας καὶ ὀ|πτασίας; τὰς πολυτρόπους* 122[2]
ἰδέας; τὰ ποικίλα θαυμάσια; ὑπὸ τινῶν μὲν Ἰσραὴλ ὁδηγεῖται καὶ σῴζεται — ἐξ
Αἰγύπτου τὸ πρότερον, ἐκ Περσίδος τὸ δεύτερον, ἐκ τῆς πολλάκις αἰχμαλωσίας διὰ τὴν
πολλάκις ἀπόνοιαν —, μετὰ τινῶν* δὲ κατορθοῖ τοὺς πρὸς τὰ ἔθνη πολέμους, τὰς
ἀπίστους θαυματουργίας, τὰς τῶν στοιχείων καινοτομίας, τὴν ἐπηγγελμένην κληρονομίαν,
τὰ δι' αἰῶνος ὑμνούμενα. τίς ὁ στύλος ἐκεῖνος ὁ προάγων νυκτός; τίς ἡ ξένη νεφέλη
ἡ ὁδηγοῦσα πάλιν ἡμέρας; διὰ τίνων ὁ νόμος καὶ λαλεῖται* καὶ δίδοται; διὰ τίνων δὲ
τὰ τοῦ νόμου τὴν τελείωσιν δέχεται; παρὰ τίνων μὲν οἱ προφῆται περὶ τῶν μελλόντων
διδάσκονται; παρὰ τίνων δὲ τὰ μυστήρια τοῖς ἀξίοις ἀποκαλύπτεται; πόθεν οὕτω λαμ-
προὶ καὶ μεγάλοι τῶν ἀρχαίων οἱ πλείους; ἐν ἱερεῦσιν, ἐν βασιλεῦσιν, ἐν στρατηγοῖς, ἐν
κριταῖς, ἐν ἰδιώταις, ἐν ἄρχουσιν, ἐν παντὶ τῷ τῶν δικαίων συστήματι οἱ ἀπ' αἰῶνος
ἐκεῖνοι, οἱ ἄνθρωποι οἱ ὀνομαστοί*, ὅσοι πρὶν διὰ πίστεως κατηγωνίσαντο βασιλείας,
εἰργάσαντο | δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἠρίστευσαν εὖ μάλα τάδε καὶ* 123[1]
*τάδε τὰ ἐφεξῆς ἀριθμούμενα οἱ κατ' ἀρετὴν ἐκλάμψαντες ἄνδρες καὶ δι' αὐτὴν δυνη-
θέντες τὰ ὑπὲρ ἄνθρωπον· αἱ σοφαὶ προφήτιδες αὖθις, αἱ πολλαὶ θυγατέρες αἱ
ποιήσασαι δύναμιν — πόθεν ἅπαντες οὗτοι, καὶ πῶς, καὶ παρὰ τίνων ἐθαυμαστώθησαν;
[31] παραλείπω τὰ πόρρω· ἀλλ' ἐπείπερ ἐχρῆν ποτὲ γενέσθαι καλῶς καὶ ἡμῖν τοῖς τέως
ἀνόμοις, καὶ διὰ τοῦτο τὸν ἄγγελον τῆς μεγάλης βουλῆς* αὐτάγγελον ἔδει τῆς οἰκείας
φιλανθρωπίας μετὰ σαρκὸς ὀφθῆναι τοῖς ἐν σαρκί*, ἡνίκα καὶ μᾶλλον τῶν οὐρανῶν
κλιθέντων* καὶ ἀνοιγέντων τὰ ἐν αὐτοῖς ἐπλεόνασεν ἐπὶ γῆς ἀγαθά, τίνες οἱ τὸ μέγα
τοῦτο μυστήριον ἡμῖν εὐαγγελιζόμενοι, οἱ προτρέχοντες, οἱ συντρέχοντες, οἱ θαυμάζοντες,
οἱ δοξάζοντες, οἱ κατ' ὄναρ φαινόμενοι, οἱ ἐναργῶς ὀπτανόμενοι, οἱ προσκυνοῦντες ὡς
πρωτοτόκῳ εἰς τὴν οἰκουμένην εἰσαγομένῳ, οἱ λειτουργοῦντες βαπτιζομένῳ, πειραζομένῳ
παραχωροῦντες, νικῶντι διακονοῦντες*, — τὸ πάντων παραδοξότατον — πρὸς τὸ πάθος
ἀγω|νιῶντα καὶ δεικνύντα τὸ καθ' ἡμᾶς ἐνισχύοντες*; τίνες οἱ τοῦ θείου τάφου* 123[2]
*φρουροὶ καὶ τῆς λαμπρᾶς ἀναστάσεως λαμπροὶ μηνυταί; τίνες ἀνιόντι Χριστῷ συνανέρ-
χονται, κροτοῦντες, ὑμνοῦντες, ἀλλήλοις τὴν ἔπαρσιν* τῶν πυλῶν διακελευόμενοι, εἶτα καὶ
τὸ ξένον τοῦ θαύματος τρανοῦντες τοῖς μαθηταῖς καὶ τὴν ἔλευσιν πάλιν* τοῦ ἀπελθόντος
ἐπαγγελλόμενοι; [32] ἐπιλείψει με ὁ χρόνος, ἐπεξιόντα καθ' ἕκαστον ὅσα παρ' ἀγγέλων
εὑρίσκω καὶ πάλαι καὶ νῦν θαυματουργούμενα καὶ τελούμενα. μετὰ τούτων ἀπόστολοι
τὸν τοῦ κηρύγματος δρόμον ἀσφαλῶς ἤνυσαν· μετὰ τούτων ἐκεῖνα τὰ πολλὰ καὶ μεγάλα
κατεπράξαντο καὶ κατώρθωσαν οἷς τὸν κόσμον ἐπέστρεψαν εἰς φῶς ἀπὸ σκότους ἐν
ἔργοις καὶ λόγοις, ἐν κινδύνοις καὶ διωγμοῖς, ἐν σημείοις καὶ τέρασι· μετὰ τούτων οἱ*

29 Deut 32, 8 | 29 Dan 10, 13 | 30 *τίνων* codex | 30 *τίνων* codex | 30 Hebr 2, 2 | 30 Gen 6, 4 | 31 Isa 9, 6 | 31 Timoth *α* 3, 16 | 31 Psalm *ρμγ* 5 *ιζ* 10 | 31 Matth 4, 11 | 31 Luc 22, 43 | 31 Psalm *κγ* 7 9 | 31 Act 1, 11

μάρτυρες τοὺς ὑπερφυεῖς ἄθλους ἤνεγκαν καὶ τὰς μεγάλας ἤραντο νίκας, ἐφ' αἷς τὰ κρείττω βραβεῖα καὶ οἱ ἀθάνατοι στέφανοι· ὑπὸ τούτων ποιμένες ἄμεινον ἐποιμάνθησαν, κατηρτίσθησαν ποίμνια, διδάσκαλοι ἐσοφίσθη|σαν, κατηυθύνθησαν μαθηταί, 124[1]
ἀσκηταὶ πτερωθέντες τῶν προσγείων ἐπήρθησαν· οὗτοι — τί χρὴ λέγειν τὰ πλείω; — τῶν ἅπερ ἂν εἴποι τις ἐργάται καλῶν παρὰ θεοῦ τε δοθέντες ἡμῖν ἐπὶ παντοίαις εὐεργεσίαις καὶ πρὸς θεὸν ἡμᾶς ἄγοντες διὰ τῆς τοιαύτης χειραγωγίας· ἀγγέλοις μὲν γὰρ οὐδὲ ταύτην ἴσως ὑπέταξε τὴν κτίσιν ὁ κτίστης ὥσπερ οὐδὲ τὴν μέλλουσαν, καθ' ἅπερ ἀκούομεν*· δι' ἀγγέλων δὲ σῴζει καὶ κυβερνᾷ τὰ ποιήματα, ἄλλῳ πρὸς ἄλλο τι τῶν καλῶν κεχρημένος, καὶ πρὸς ἅπαντα πᾶσιν, ὡς ὀργάνοις ἐπιτηδείοις· διὰ τοῦτο μεστὴ πᾶσα γῆ τε καὶ θάλασσα, νῆσος καὶ ἤπειρος, πόλις καὶ χώρα, οἰκουμένη καὶ ἔρημος χαρίτων ἀγγελικῶν· καὶ οὐκ ἔστιν εὑρεῖν ὅθεν ἄλλοθεν μᾶλλον ἢ ἐντεῦθεν ἡμῖν παρὰ θεοῦ καὶ μετὰ θεὸν ὁ θνητὸς κόσμος οὗτος εὖ τε πέπονθεν ἤδη καὶ οὐ πρὶν πάσχων παύσεται πρὶν καὶ δέξεται λύσιν· τάχα δὲ καὶ τὸ ἔμπαλιν· οὐ πρὶν ἕξει λύσιν πρὶν οὕτως εὖ πάσχων ὑπ' αὐτῶν παύσεται.

[33] ἐπὶ τοιούτοις ἡμῖν ἡ παροῦσα λαμπροφορία· τοῦτο νῦν ἡμῶν | τὸ μυ- 124[2]
στήριον· τούτοις ἑορτάζομεν σήμερον. ὦ πῶς ἐκλαλήσω τῆς χάριτος τὴν ὑπερβολήν; πῶς δὲ συνεπαρθῆναι δυνήσομαι τῷ μεγέθει τοῦ πράγματος; ἀγγέλους ξενίζομεν ὡς πρὶν Ἀβραάμ*, οὐχὶ δύο καὶ τρεῖς, ἀλλὰ σύμπαν τὸ σύστημα τῶν ἄνω ταγμάτων· ἀγγελικὴ παρουσία τὸ παρ' ἡμῶν τιμώμενον νῦν· ἀγγέλων στρατόπεδον βλέπω τὴν ἐκκλησίαν· παρεμβολὴ* θεοῦ αὕτη, λεγέτω σὺν ἡμῖν Ἰακώβ, ὡς φοβερὸς δὲ καὶ οὗτος ὁ τόπος* καὶ θαυμαστός· ἄμφω γὰρ ὁ αὐτός, ὅτι καὶ οὓς ὑποδέδεκται οὐκ ἔστιν ἀληθῶς τοῦτο ἀλλ' ἢ οἶκος θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ, καὶ ἡ πρὸς οὐρανὸν ἀνατρέχουσα κλίμαξ ἀπὸ τῆς γῆς, ᾗ ὁ κύριος ἐπεστήρικται, καὶ καθ' ἣν οἱ ἄγγελοι πάλιν ἀναβαίνουσί τε καὶ καταβαίνουσι, τὰς ἡμετέρας εὐχὰς ἐπὶ θεὸν ἀναφέροντες κἀκεῖθεν αὖθις ἡμῖν πᾶσαν ἀγαθὴν ἀντικομίζοντες δόσιν καὶ πᾶν δώρημα τέλειον*. [34] εἰκότως δ' ἂν μοι δοκῶ καὶ τὸ τοῦ Δαβὶδ ἀναφθέγξασθαι Τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν; σὺ τῷ ὄντι θεός, ὁ ποιῶν θαυμάσια μόνος, ὁ ποιῶν τοὺς ἀγγέλους σου πνεύματα καὶ τοὺς | λει- 125[1]
τουργούς σου φλόγα πυρός, ὁ τοῖς Χερουβὶμ ἐποχούμενος καὶ τοῖς Σεραφὶμ δοξαζόμενος καὶ ὑπὸ πάσης τῆς ἄνω χοροστασίας ὑμνούμενος· οἷς μικροῦ καὶ αὐτὸς ὑφ' ἡδονῆς συνεπαίρομαι καὶ συμπτερύσσεσθαί πως δοκῶ καὶ τὴν αὐτὴν συνεκπέμπω θεσπεσίαν φωνὴν μετὰ τῆς αὐτῆς κραυγῆς καὶ ἐκστάσεως Ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης. ἔτι δὲ κἀκεῖνα* προστίθημι Ἐμεγάλυνας, κύριε, τοῦ ποιῆσαι μεθ' ἡμῶν· ἐπλήθυνας ὄντως τοῦ πλουτίσαι ἡμᾶς· ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ· ὡς φῶς βολίδες σου πορεύονται, αἱ σαὶ δηλαδὴ νοεραὶ δυνάμεις αὗται καὶ φαειναί, ἃς καθ' ἅπερ ἀκτῖνας σελασφόρους ἄνωθεν πέμπεις, ἐκ τῆς σῆς τηλαυγήσεως ἀθρόας ἐκδιδομένας καὶ σοὶ τῇ μεγάλῃ συνυπαστραπτούσας ἀνατολῇ. [35] οἷον δὲ καὶ τὸ ἅρμα* τοῦ θεοῦ τὸ μυριοπλάσιον, χιλιάδες ἀληθῶς εὐθηνούντων, ὧν αὐτὸς ἐπι-

32 Hebr 2, 5 | 33 init κά superimposito θ C[m] *Studemund* | 33 Gen 18, 2 Hebr 13, 2 | 33 asperum codicis servavi | 33 Gen 32, 1 | 33 Gen 28, 17 | 33 Gen 28, 12 | 33 Iacob 1, 17 | 34 Psalm ος 14 15 | 34 Psalm οα 18 | 34 Psalm ργ 4 | 34 Psalm ιζ 11 | 34 Isaias 6, 3 | 34 Psalm ρκε 3 | 34 Psalm ξδ 19 | 34 Psalm ος 18 | 34 Ambacum 3, 11 | 35 Psalm ξζ 18

βαίνων, εἰς σωτηρίαν ἱππάζεται τοῦ οἰκείου λαοῦ, περιουσίαν δυνάμεως καὶ ἐνεργείας*
ὀξύτητα θαυμαστῶς ἐμφαίνων τῇ ἱππασίᾳ, | καὶ προνοίας χαλινοῖς θειοτέρας 125[2]
αὐτούς τε πανσόφως καὶ ἡμᾶς δι' ἐκείνων ἡνιοχῶν. ἅρμα μέν, ἀλλὰ φλόγινον, ὁποῖον
ἐκεῖνο τὸ πάλαι τὸν Ἠλίαν ἁρπάσαν εἰς οὐρανόν. ἵπποι μέν, ἀλλὰ πύρινοι· θεοῦ γὰρ*
καὶ θεῖοι· καθ' ἃ καὶ τῷ διπλῷ Ἠλίου, Ἐλισσαίῳ λέγω τῷ πάνυ, συμμαχοῦντες*
ὀπτάνονται.*

[36] *οὕτω μέγα τι χρῆμα καὶ παντοδαπὸν καὶ πολύχρηστον ἡ φύσις ἡ τῶν ἀγγέλων·*
τά τ' οὖν ἄλλα καλῶς καὶ ὡς οὐκ ἦν ἄλλως ἄμεινον ἡμῖν χρησιμεύουσι πρὸς τὴν
ἑκάστοτε χρείαν, καὶ τῆς ὁρωμένης φαιδρότητος καθεστήκασιν αἴτιοι, ἄλλος ἀλλαχόθεν
ἡμᾶς περιλάμποντες, καὶ πάντες μὲν ἐξαισίαν ἀφιέντες αὐγήν, ὑπὲρ πάντας δὲ μάλιστα
δύο δή τινες οὗτοι τὰς ἐμὰς ἀμφοτέρωθεν καταστράπτουσιν ὄψεις, οὓς οὐδ' ἔχω προσ-
βλέψαι διὰ τὸ τῆς αἴγλης ὑπέρλαμπρον. ἐοίκασι δ' οὖν, εἰ μὲν χορός ἐστιν οὗτος ὁ
τῶν μυριάδων ἐσμός, ἐπεὶ καὶ ᾄδειν δοκοῦσι, κορυφαίους ἔχειν αὐτούς· εἰ δὲ στρατὸς
στ[ρ]ατηγούς· τοσοῦτον τῶν ἄλλων ὑπερέχειν ἐοίκασι. θαυμαστὸν δὲ οὐδέν· καὶ ἀστὴρ γὰρ
ἀστέρος διαφέρει | ἐν δόξῃ, καθ' ἅπερ ἀκούομεν, πρὸς δὲ καὶ ὁρῶμεν. τοὺς δὲ τὸν* 126[1]
αὐτὸν μὲν λόγον ἔχειν ἡγοῦμαι πρὸς τοὺς ἄλλους ἀγγέλους ὃν οἱ δύο φωστῆρες πρὸς τοὺς
ἄλλους ἀστέρας, ὑπεραίρειν δ' ἔτι κἀκείνους ἀσυγκρίτως ταῖς ἀστραπαῖς κατὰ πολὺ τὸ
εἰκός, ἐπεὶ καὶ τοῖς ἥττοσιν ἀγγέλοις ἡ λαμπηδὼν ὑπὲρ ἥλιον, καθ' ὃν καὶ τῶν ἀν-*
θρώπων οἱ δίκαιοι λάμψειν ὁμολογοῦνται· καὶ ἰδού, πλεῖον ὧδε τῶν ἀνθρωπίνων.*
ἀλλήλοις μέντοι καὶ πάνυ συμβαίνειν εἰς ὁμοίωσιν φαίνονται, ὁ μέν, τῆς προτέρας
λατρείας καὶ διαθήκης, ὁ δέ, τῆς δευτέρας τὴν ἐφορίαν πεπιστευμένος· ὁ μέν, τὸν νόμον*
ἐπισκοπῶν, ὁ δέ, τὴν χάριν οἰκονομῶν· καὶ ὁ μέν, τὸν παλαιόν, ὁ δέ, τὸν νέον ἄγων
λαόν· ἄμφω τῶν πιστῶν προεστῶτες· ἄμφω συγκροτοῦντες τὴν θεοσέβειαν· τῆς αὐτῆς
ἀξίας, καὶ ἄμφω τῆς αὐτῆς χάριτος· ἴσοι τὴν δόξαν· ἴσοι τὴν δύναμιν. ἥδιστα δ' ἄν τι
καὶ προσφθεγξαίμην αὐτοῖς. [37] *Δέσποτα· τί προστάσσεις τῷ σῷ οἰκέτῃ; καὶ αὐτὸς γὰρ*
πρὸς σὲ τὸ Ἰησοῦ καὶ πάσχω καὶ λέγω, αἰδοῖ τε καὶ φόβῳ καὶ θάμ|βει κατεσχη- 126[2]
μένος, κἂν οὐχ ὁμοίως ἔτι φρικτόν σε μετὰ τῆς ῥομφαίας ὁρῶ, Μιχαὴλ ἑωσφόρε, ἀρχι-
στράτηγε δυνάμεως κυρίου· οὕτω γὰρ αὐτὸς σεαυτὸν ὀνομάζειν μᾶλλον φιλεῖς· τῆς
μεταβολῆς δὲ τὸ αἴτιον; οὐ γὰρ καὶ ἡμῖν μαχομένοις συμμαχήσων ἀφῖξαι· ἀλλὰ τοῦτο
μὲν ἐν ἑτέροις χαρίζῃ πλεονάκις καιροῖς, τὰ δὲ νῦν ὡς εἰς ἑορτὴν ὄντως ἥκεις, ἐσταλ-
μένος ἑόρτια, καὶ λαμπρὸς λαμπρῶς πάρει, τὸ μέν, μεταδώσων, τὸ δέ, καὶ συμμεθέξων
τῆς εὐφροσύνης. [38] *χαῖρε δέ μοι σφόδρα καὶ σύ, πρωτάγγελε φαιδρὲ Γαβριήλ, ὁ παρε-*
στηκὼς ἐνώπιον τοῦ θεοῦ· ταῦτα δὴ τὰ σὰ πάλιν, πρός τε Ζαχαρίαν τὸν μέγαν καὶ
τὴν ἁγίαν παρθένον, καὶ πρὸς ἡμᾶς δὲ οὐχ ἧττον δι' ἐκείνης καὶ παρ' ἐκείνης. ὅθεν
ἄρα καὶ χαίρομεν ἐπί τε τοῖς ἄλλοις ὅσα δὴ χρηστὰ παρ' ὑμῶν ἔσχομέν τε καὶ ἔχομεν,
καὶ νῦν ἐφ' ὑμῖν τοῖς τῆς παγκοσμίου χαρᾶς εὐαγγελισταῖς καὶ διακόνοις· ἐπεὶ πῶς οὐκ
ἄτοπον ὑμᾶς μὲν ἅπαντας χαίρειν ἐπὶ ἑνὸς ἡμῶν τῶν ἁμαρτωλῶν μετανοίᾳ καὶ διορ-*
θώσει, ἡμᾶς δὲ μὴ | τοῦτο πάσχειν προθύμως ἐφ' ὑμῖν ἅμα πᾶσιν εἰς κοινὴν 127[1]

35 Psalm *μδ* 5 | 35 Regn *δ* 2, 11 | 35 Regn *δ* 2, 9 | 35 Regn *δ* 6, 17 | 36 C[m] ***περὶ τῶν δύο ἀρχαγγέλων Studemund*** | 36 Corinth *α* 15, 41 | 36 C[m] ***σημείωσαι*** per scripturae compendium ***Studemund*** | 36 Daniel 12, 3 | 36 ***ἐφορείαν*** codex | 37 Iosue 5, 14 | 38 Luc 1, 11 26 | 38 Luc 15, 7

ἀγαλλίασιν ἐνταῦθα συναθροισθεῖσι καὶ τοσαύτας ἡμῖν πρὸς πανηγυρισμὸν ἐνδοῦσι τὰς
ἀφορμάς; [39] ἐπὶ πᾶσι τοιγαροῦν καὶ ἠδόμεθα μεγαλοπρεπῶς τε καὶ θαυμαστῶς, ἐφ'
ὑμῖν δὲ καὶ μάλιστα τοῖς τῶν ἄλλων ἐξάρχοις. ὦ δυὰς μεγίστη καὶ κορυφαία, τῆς βα-
σιλίδος τριάδος ὑπασπισταὶ προσφιλεῖς καὶ δεξιοὶ δορυφόροι, ὧν ἡ δόξα πληροῖ τὸν
οὐρανὸν καὶ τὴν γῆν, οὓς ἐκ περάτων ἄχρι περάτων μόνους ὁρᾶν ἔστι κατ' ἐξοχὴν παρὰ
πᾶσιν ὑμνουμένους καὶ τιμωμένους, οὓς οὐδεὶς ἐν ἀνθρώποις οὐ σωτῆρας ἀνακηρύττει,
ὧν αἱ συνεχεῖς ἐπισκέψεις καὶ ὀπτασίαι, καὶ τὸ πολυειδὲς καὶ πολύτροπον τῆς περὶ
ἡμᾶς εὐποιΐας, ὧν τὰ θαυμαστὰ καὶ πολλὰ πανταχοῦ γῆς τεμένη μετὰ τῶν σεμνῶν καὶ
ἀρχαίων διηγημάτων καὶ τῶν ἔτι νῦν πλημμυρούντων θαυμάτων καὶ ἰαμάτων, ἐν οἷς
που καὶ τοῦτο τὸ μέγα καὶ περιώνυμον, ὁ καινὸς οὐρανός, τοῦ θεοῦ τὸ βασίλειον, ὁ
παράδεισος τῆς Ἐδέμ, τὸ θαῦμα τῶν ἐπιγείων, τῶν οὐρανίων τὸ | ἐνδιαίτημα, 127[2]
οἷς ἵνα συνέλω τὸ πᾶν, ἀγγελικῶν δεῖ γλωσσῶν αἵτινές εἰσι πρὸς εὐφημίαν ἀξίαν, ἡ
δὲ παρ' ἡμῶν οὐδὲν πλέον, συντηροῦσα τῷ λόγῳ τὴν συμμετρίαν, πλὴν ὅτι τοιούτοις
ἡγεμόσι καὶ ἄρχουσι τὸ ἀγγελικὸν σύμπαν χρώμενον πάρεστί τε καὶ χαίρει παρ' ἡμῶν
δοξαζόμενον· καὶ δὴ δοξαζέσθω προσφόρως καὶ προσηκόντως· τοῦτο δ' ἂν ὅπως γένοιτο,
καλὸν ὑποθέσθαι.

[40]* Ἐπιγνῶμεν εὐαισθητότερον, ἀδελφοί, τοὺς παρόντας, ἢ μᾶλλον πρὸ τούτων
ἑαυτοὺς ἐπιγνῶμεν. λογισώμεθα τίνες τε ἡμεῖς οἱ τὴν ξενίαν παρέχοντες, καὶ τίνες αὖ
οὗτοι πάλιν οἱ παρ' ἡμῖν καταγόμενοι. ἐννοήσωμεν ὁπόσον αὐτοῖς ὡς πρὸς ἡμᾶς τὸ
διάφορον· κἂν γὰρ τῷ Βραχύ τι παρ' ἀγγέλους* μέγα τάχα φρονοίη τις, ἀλλ' οὐ μικρὸν
αὖθις ἴσμεν πανταχοῦ τὸ παρὰ μικρόν. ἐῶ γὰρ εἰπεῖν ὅτι τὸ ῥητὸν ἀφωσίωται, πρὸς
ἄλλο τι μεῖζον καὶ μυστικώτερον φέρον, ὡς τῷ θείῳ Παύλῳ* δοκεῖ, καὶ ὑπεραῖρον τὸ
μέτρον τῆς καθ' ἡμᾶς ταπεινότητος. εἰ δέ τις καὶ ταύτῃ πρὸς αὐ|τὸ μετουσία, 128[1]
παραδέχομαι μὲν οὐκ ἀηδῶς τὴν ἐξήγησιν, ὁρῶ δ' αὐτὸ τοῦτο καὶ τὸν λόγον ἀγωνι-
ζόμενον ἐγγὺς ὅτι μάλιστα προσάξειν ἡμᾶς τῆς τῶν ἀγγέλων ἀξίας δι' ἀγγελικῆς πολι-
τείας καὶ τῆς πρὸς αὐτοὺς ὡς ἐφικτὸν ὁμοιώσεως· ἐπεὶ νῦν ὡς ἔχομεν, δέδοικα μὴ κἂν
τὴν τοσαύτην πάλαι τιμὴν ὑπὸ θεοῦ ἐτιμήθημεν, ὅμως οὐ συνιέντες, μέγα τε ἤδη τοῦτο
τὸ βραχὺ πεποιήκαμεν καὶ οὐ τοῖς θείοις μᾶλλον ἀγγέλοις ἢ τοῖς ἀνοήτοις, εἰ καὶ
δύσφημός πως ὁ λόγος, παρασυνεβλήθημεν κτήνεσιν*, ὡς ὁ αὐτὸς μάρτυς αὖθις ἐγκα-
λῶν διατείνεται. [41] ὅτι δ' οὐ μικρά τις ἡμῖν ἡ παρ' ἀγγέλους ἐλάττωσις, οὕτω σκόπει
καὶ πείθου. οἱ μὲν καθαρῶς εἰσὶν ἀπαθεῖς τε καὶ ἄϋλοι, μετὰ δὲ τῆς ὕλης ἡμεῖς καὶ
τῶν τῆς ὕλης παθῶν καὶ ἐλαττωμάτων· οἱ μὲν ὑψηλοὶ καὶ μετάρσιοι καὶ θεῖοι τὸ ὅλον,
ἡμεῖς δὲ σὰρξ ἐπιεικῶς ἀσθενὴς καὶ τὸ πλέον γῆ καὶ σποδός*, ἐρχόμενοί τε χαμαὶ καὶ
ἀεὶ κάτω βρίθοντες· οἱ μὲν φλόγες ᾄττουσαι καὶ πᾶν ἐμπιπρῶσαι τὸ μὴ καλῶς προσ-
πελάζον, | ἡμῖν δ' ἐνταῦθα δεῖ μάλιστα τῆς ἀρίστης βουλῆς, τίνα τρόπον αὐτῶν 128[2]
τοῦ θαυμαστοῦ φωτὸς ἀπολαύσαντες, τοῦ φοβεροῦ πυρὸς μὴ μετάσχοιμεν· εἰ γὰρ καὶ
πάντες εἰσὶ λειτουργικὰ* πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς κληρονόμους
τῆς βασιλείας, ἀλλὰ καὶ πάντες πῦρ φλέγον, ἀναλωτικὸν μοχθηρίας, καὶ πνεῦμα δια-
λῦον ὄρη καὶ πέτρας ἐκτρῖβον — ἀντιτύπους οἶμαι ψυχὰς καὶ σκληράς, πρὸς τὴν ἀπ'
αὐτῶν συνεργίαν τραχυνομένας καὶ κατεπαιρομένας ἀβούλως τῆς τούτων ἐπιστασίας· ὃ

40 C[m] ἠθικόν *Studemund* | 40 Psalm η 6 | 40 Hebr 2, 6 | 40 Psalm μη 13 | 41 Gen 3, 19 18, 27 | 41 Hebr 1, 14

καὶ φοβητέον ἡμῖν καὶ φυλακτέον εἰς δύναμιν. καίτοι τίνα τίς ἂν καταφυγὴν ἑτέραν
εἰρήσοι ταῖς ἐναντίαις κάμνων δυνάμεσιν, εἰ τοσοῦτον δεήσοι πτοεῖσθαι καὶ τὰς φιλίους;
πρὸς γὰρ ἄλλας πάντως ἀρχὰς δεῖ πυκτεύειν, πρὸς ἄλλας ἐξουσίας ἀνταγωνίζεσθαι,
πρὸς τοὺς κοσμοκράτορας* τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς
πονηρίας, οὐ μὴν καὶ τῆς ἀγαθότητος· ἡ γὰρ ἀμφοτέρωθεν μάχη τοῖς πολεμουμένοις
ἀμήχανος. [42]ἀλλ' ἐγγὺς[sic] ὃ ζητεῖς, ὁ τὰ τοιαῦτα θαυμάζων, καὶ τὸ | ἄπορον 129[1]
εὔλυτον· ἐπὶ σοὶ γὰρ τὸ πᾶν ἐστί, καὶ τῆς σῆς ἀδεσπότου προαιρέσεως ἤρτηται· ἐπεὶ
προπολεμεῖ σου μὲν ἐρρωμένως καὶ κυκλόθεν ὑπερασπίζει* ὁ τοῦ φωτὸς οὗτος ἄγγελος,
ὁ ἐκ νεότητός σε ῥυόμενος καὶ τὴν σὴν οἰκονομῶν φυλακήν· ἢ γὰρ ἂν τῆς ἐκεῖθεν
συμμαχίας ἐρημωθεὶς οὐκ ἂν φθάνοις ἤδη ταῖς τοῦ μισανθρώπου λαβαῖς ἐν ἀκαρεῖ
πλειστάκις ἀναρπαζόμενος, ὡς πολλαχόθεν δῆλόν ἐστι τῷ σκοπεῖν βουλομένῳ· ἐξαι-
ρεῖται τοίνυν καὶ σῴζει, περιέπων σε πάντοθεν, ἀλλὰ σοῦ δῆλον ὅτι καὶ συγγρηγοροῦν-
τος καὶ συμπονοῦντος· σύ μοι τοίνυν καὶ νῆφε καὶ κακοπάθει· τοῦτο γάρ σοι τὸ πρόσ-
τιμον ἐφ' οἷς ἐξύβρισας πρίν, οὐδ' εἰς ὅλην μίαν ἡμέραν μετριάσας ἐν εὐπαθείᾳ· ἅμα
δὲ καὶ πῶς νικητής, μὴ πρὸς ἀγῶνας ἀποδυόμενος; ὁ δὲ κακοπαθήσει μὲν οὐδαμῶς,
φύσιν ἔχων ἀπαθῆ καὶ ἀκάματον, συγκατορθώσει δέ σοι τὴν νίκην καὶ τὸν ἐπ' αὐτῇ
λαμπρὸν στέφανον. [43]μὴ δῷς οὖν εἰς σάλον τὸν πόδα σου, καὶ οὐ νυστάξει ὁ φυλάσ-
σων σε*. εἰ δ' αὐτὸς ἑκὼν πρόῃ τὴν ἀσφάλειαν σεαυτοῦ, καταρραθυμήσας | εἰς 129[2]
τέλος καὶ τὸν φυσικὸν ἡγεμόνα (τὸν λογισμόν) ἀπορρίψας, ἀχθεσθήσεται μὲν (πῶς γὰρ
οὔ; φιλανθρωπότατος ὤν) ὁ θαυμαστός σου προασπιστής, καὶ προσυπομνήσει μέν σε
τυχὸν καὶ ἀφυπνίσει καθεύδοντα, οὐκ ἀντιστήσεται δέ, προσβιαζόμενος ἀντιτείνοντα·
συγκροτεῖν γάρ, οὐ λύειν, ἐτάχθη τὸ αὐτεξούσιον. εἰ δ' ἐθελοκακεῖς ἐπὶ πλέον καὶ τῷ
κακῷ παραμένεις, τάχα δή σου τελέως καὶ ἀποστήσεται· ἀποστὰς δέ, δικαίως καὶ
μισήσει καὶ πολεμήσει καί σε δίκας ἐνδίκους ἴσως εἰσπράξεται τῆς πολλῆς ἀπονοίας καὶ
τῆς πρὸς αὐτὸν εἰς τοσοῦτον ὀλιγωρίας, ἔργοις ἤδη διδάσκων, ὅπερ ὁ λόγος, ὡς οὐ φῶς
ἐστὶ μόνον, ὁδηγοῦν σε πρὸς τὰ βελτίω, ἀλλὰ καὶ πῦρ, ἀνακόπτον σοι τὴν εἰς τὰ χείρω
φοράν, ὡς ἄν τι κἀντεῦθεν παρὰ τῆς ἐκείνου κερδάνῃς ἐπιστασίας, τὸν τραχύτερον
τρόπον ἀναγκαίως οἰκονομούμενος, ἐπειδὴ τὸν πρᾳότερον ἀπήλεγξας ἄπρακτον. ὅθεν
οὗτος ἡμῖν ὁ περὶ τοὺς ἀγαθοὺς ἀγγέλους εἰκότως ἐπιφύεται φόβος, ἐξ ἡμῶν τε γεννώμενος
καὶ πρὸς ἡμᾶς ἀναστρέφων· | ὅπερ ἵνα μὴ πάθῃς, ἀεὶ προσεκτικὸς ἔσο μοι, καὶ 130[1]
τῆς προθυμίας μηδέποτε τῆς περὶ τὸ καλὸν ἀποστῇς, τἄλλα δὲ μὴ πτοοῦ, τῷ προ-
στάτῃ τῆς σῆς ζωῆς κατωχυρωμένος, καὶ θεῷ πεποιθὼς τῷ τοιούτους ἡμῖν τοὺς βοηθοὺς
ἐπιστήσαντι· εἰ γὰρ αὐτός τε προσέχεις, καὶ τὸν ὕψιστον* ἔχεις καταφυγήν, οὐ προ-
σελεύσεται πρὸς σὲ κακά· τῆς ἀψευδοῦς φωνῆς ἄκουε, καὶ τῶν ἀνιᾶν πεφυκότων οὐδὲν
προσεγγίσει σοι· τίνα τρόπον συντηρουμένῳ; ὅτι τοῖς ἀγγέλοις αὐτοῦ (φησίν*) ἐντελεῖται
περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, ὡς μὴ βιασθῆναι τυχὸν ὑπὸ τῶν ἐχθραινόντων
σοι μάτην* καὶ κύκλῳ συνεπιτιθεμένων, μηδὲ παθεῖν τι τῶν ἀνηκέστων, καταδυναστευ-
θέντα καὶ μὴ θελήσαντα.

[44]μὴ τοίνυν θελήσωμεν, ἀδελφοί, μὴ θελήσωμεν, εἴ τις λόγος ἡμῖν τῆς ἑαυτῶν

41 Ephes 6, 12 | 42 *ὑπερασπίζει* linea addita a manu recentiore *Studemund* | 43 Psalm ρκ 3 | 43 Psalm Ϙ 9 10 | 43 Psalm Ϙ 11 12 | 43 Psalm λδ 19 (ξη 5) γ 7

σωτηρίας, ἢ καὶ θελήσαντες (τὸ γὰρ ἀναμάρτητον οὐκ ἀνθρώπινον) αὐτίκα μεταγινώ-
σκωμεν· καὶ τὸ πᾶν ἡμῖν ἕξει καλῶς τε καὶ σωτηρίως, τῆς ἀγγελικῆς τε καὶ θείας προ-
νοίας ἀξιουμένοις. ἀλλ' οἱ μὲν ταῦτα πάντα καὶ πολλῷ πλείω | συντελοῦσιν 130[2]
ἡμῖν κατὰ πάντα χρόνον καὶ τρόπον, ἡμεῖς δ' αὐτοὺς σήμερον ὑποδεξώμεθά τε γνησίως
καὶ τῶν τοσούτων χαρίτων ἐκ μέρους ὡς ἐνὸν ἀμειψώμεθα, πάντα καὶ ποιοῦντες καὶ
λέγοντες πρὸς τὴν αὐτῶν θεραπείαν καὶ μηδενὸς ἀπεχόμενοι — μὴ ἔργου, μὴ λόγου —
τῶν εἰς τοῦτο φερόντων, ἵνα καὶ τὸ μέλλον ἐντεῦθεν ἐπὶ μᾶλλον ἑαυτοῖς εὖ θῶμεν,
εὐγνωμοσύνῃ τελείᾳ τελεωτέραν ἐκεῖθεν τὴν εὔνοιαν ἐκκαλούμενοι καὶ προθυμοτέρους
καθιστάντες αὐτοὺς [πρὸς] τὴν εἰς ἡμᾶς ἐπιμέλειαν, ὃ κατορθοῦν οἶδεν οὕτως οὐδὲν
ὡς καθαρότης τε βίου καὶ πολιτείας λαμπρότης, τῆς ἀγγελικῆς (ὅσον θέμις) ἐξεχομένη
μιμήσεως, ᾗ καὶ μᾶλλον τῶν ἄλλων χαίρουσιν ἄγγελοι καὶ πρὸ τούτων θεός, ἡ ἀληθὴς
καθαρότης, οὗ τὸ πρόσωπον οὗτοι διὰ παντὸς βλέπουσι* καθ' ὅσον αὐτοῖς ἐστὶ χωρητόν
τε καὶ φορητόν· εἰ γὰρ καὶ ἡμῖν κάτω σύνεισιν, ἀλλ' οὐδὲ τὴν ἄνω καὶ μείζω τάξιν
ἐκλείπουσιν, ἀμηχάνῳ τάχει τινὶ περὶ τὴν κίνησιν χρώμενοι, καὶ πανταχοῦ μὲν παρόντες,
ἀφεστηκότες | δ' αὖ οὐδαμόθεν, ἀλλὰ τῷ πληροῦντι τὸ πᾶν ἐν παντὶ λατρεύ- 131[1]
οντες τόπῳ· περιγράφονται γάρ πως, ἵν' οὕτως εἴπω, τὴν οὐσίαν, οὐ τὴν ὀξύτητα· διὰ
τοῦτο κἀκείνοις ἐντρυφῶσιν ἀεὶ τοῖς μακαρίοις θεάμασι, καὶ ἡμῖν οὐδὲν ἧττον ἐνταῦθα
προσεδρεύοντες πάρεισιν, οὐχ ἁπλῶς ἐπίκουροι μόνον, ἀλλὰ καὶ τῶν ἡμετέρων πάντων
ἁπαξαπλῶς καὶ λογισμῶν καὶ λόγων καὶ πράξεων θεαταὶ καὶ συνίστορες· ἐφ' ᾧ δὴ καὶ
πάλιν οὐ τῆς τυχούσης ἡμῖν εὐλαβείας χρεία καὶ ἀσφαλείας, μὴ καὶ λάθωμεν ἡμᾶς
αὐτοὺς δι' ἀπροσεξίαν καθ' ἑαυτῶν τοὺς προμάχους τε καὶ φύλακας ἔχοντες. 45 ἀλλὰ
τοῦτο μὲν ὡς ἀπαίσιον ἀπείη τοῦ λόγου· εἰς τοσοῦτον δὲ καὶ ὁ λόγος, ἐπεί, κἂν πλείω
προσθῶμεν, οὐδέν τι μᾶλλον ἀνύσομεν· τῆς ἀγγελικῆς γὰρ ἀξίας ἐπ' ἴσης ἀνάγκη καὶ
τοὺς βραχυτέρους τῶν λόγων καὶ τοὺς μακροτέρους ἀπολειφθῆναι, κἂν λαμπρῶς ὅτι
μάλιστα συντιθῶνται καὶ φιλοτίμως.

46 Ὑμεῖς δέ, μεγάλοι θεράποντες τῆς ὑπὲρ τὸ μέγα μεγαλοσύνης, τοῦ τῶν φώτων
φωτὸς ἀπαυγάσματα καὶ ἰνδάλματα, λειτουργοὶ τῶν ἁ|γίων καὶ τῆς σκηνῆς τῆς 131[2]
ἀληθινῆς ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος*, φίλοι γνήσιοι θεοῦ καὶ πιστοί, τῶν
ἀπορρήτων τε κοινωνοὶ καὶ τῶν κρυφίων ἐπόπται, πληρωταὶ προθυμότατοι τῶν λόγων
αὐτοῦ, δυνατοὶ* ἰσχύϊ, ποιοῦντες τὸ θέλημα αὐτοῦ, θεοφόροι Χερουβίμ, ὑμνολόγοι* Σεραφίμ,
θρόνοι μετάρσιοι, κυριότητες θεῖαι, δυνάμεις, ἐξουσίαι, ἀρχαί, ἀρχάγγελοι, ἄγγελοι,
πᾶσα φύσις καὶ τάξις λογικὴ καὶ οὐράνιος, πᾶν ὀνομαζόμενον καὶ τιμώμενον ὄνομα,
νῦν μέν μοι δέχοισθε τόνδε τὸν ἡμέτερον λόγον — ὅπως ἂν ἔχοι — ἀγαθοπρεπῶς τε
καὶ εὐμενῶς, ὥσπερ οὖν καὶ πεφύκατε, τῇ καθ' ἡμᾶς δυνάμει συμμετρηθέντα, μετὰ ταῦτα
δὲ καὶ ἡμᾶς αὐτοὺς εὐμενέστερον, τοὺς ὑμνητάς τε καὶ δωροφόρους, ἵνα κἀκεῖ συγχο-

44 Matth 18, 10 | 44 C[m] σημείωσαι per scripturae compendium *Studemund* | 46 Hebr 8, 2 | 46 Psalm ρβ 20 | 46 in margine γρ θεολόγοι legi serius additum testatur Studemundius C[1] litteris α β γ impositis hunc ordinem indicavit τὸ θέλημα αὐτοῦ· ὑμνολόγοι σεραφίμ, θεοφόροι χερουβίμ, θρόνοι μετάρσιοι: C[2] υμνολογοι in θεολογοι mutari voluit *Studemund*. qui theologiam doctus est, Χερουβιμ θεοφοροι ad Ezechielis 1 pertinere scit (Lagarde die evangelien arabisch xviii[m] Symmicta II 190[m]), Σεραφιμ θεολογοι (id est deum trinum profitentes) ad Isaiae 6, sequentia e Coloss 1, 16 sumpta esse. θειαι ego scripsi. apographum Bolligii a Studemundo non mutatum θεῖοι

ρεύσοιμεν αἰδίως ὑμῖν, ὥσπερ ὧδε προσκαίρως, καὶ τὴν ὄντως χαρμόσυνον ἑορτὴν ἐκείνην
καὶ ἀκατάλυτον ἐν ὑψίστοις ἅμα συνεορτάσοιμεν, ἧς εἰκών τε καὶ τύπος ἐναργὴς ἡ παρ-
οῦσα, καὶ πρὸς ἣν ὑφ' ὑμῶν ἀνεμποδίστως μετενεχθείημεν· ὁμολογῶ γὰρ χρῄζειν ἀεὶ
τῆς ὑμετέρας φιλαν|θρωπίας, τὰ παρόντα τε ῥᾷστά μοι τιθείσης ἐκ δυσχερῶν καὶ* 132[1]
προσηνῶς δεχομένης ἐκεῖσε μεταχωροῦντα. ὑμεῖς γάρ, ὑμεῖς, οἱ κἀνταῦθα πρὸς πᾶν καλὸν
ὁδηγοῦντες κἀντεῦθεν ἀπάξοντες ἡμᾶς μετ' ὀλίγον καὶ συνάξοντες αὖθις ἐν μεγάλῃ
φωνῇ καὶ φοβερᾷ σάλπιγγι ἐπὶ τὰς εὐθύνας τῶν τῇδε βεβιωμένων, ὧν ὑμᾶς αὐτοὺς
ἔχομεν ἐλέγχους καὶ μάρτυρας· πιστεύομεν δὲ ὅτι καὶ πρεσβευτὰς δυνατοὺς πρὸς τὸν
εἰς κρίσιν ἐρχόμενον σὺν ὑμῖν ἐπ' ἐσχάτων καὶ ἐπὶ θρόνου δόξης αὐτοῦ καθεζόμενον·
ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ εἰς τοὺς αἰῶνας. ἀμήν.

|**178.** *Μηνὶ Ἰαννουαρίῳ λ. Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων* 132[2]
λόγος εἰς τοὺς τρεῖς ἁγίους πατέρας καὶ διδασκάλους, Βασίλειον τὸν μέγαν, Γρηγόριον
τὸν θεολόγον, καὶ Ἰωάννην τὸν Χρυσόστομον.

1 *Πάλιν Ἰωάννης ὁ τὴν γλῶσσαν*[a] *χρυσοῦς, καὶ πάλιν ἡμῖν ἐπιφανὴς ἑορτή· τρίτος*
μέντοι[b] *μὴν οὗτος, ἐξ οὗ τῷ μεγάλῳ λαμπρῶς ἐπανηγυρίσαμεν. ὡς δὲ δυσχεραίνοι*
τάχα[c] *μηδὲν πορρωτέρω τεταγμένος τῶν ὁμοτίμων, ἄγχιστά*[d] *που κἀκείνους*[e] *αὐτῷ συ-*
νηγάγομεν[f]. *τίνας τούτους φημί;*[g] *τοὺς τῆς οἰκουμένης λαμπτῆρας*[h] *τοὺς δύο, τοὺς πάνυ,*
τοὺς οὐδ' ἔχω πῶς ὀνομάσω, Βασίλειον καὶ Γρηγόριον, τὰ σεπτὰ καὶ ἀγγέλοις καὶ ἀν-
θρώποις ὀνόματα· [i]*τούτων γὰρ ἑκατέρῳ, τῷ μὲν*[k] *ἑωρτάζομεν*[l] *χθές, τῷ δὲ*[m] *μικρὸν*
πρὸ τῆς χθές. αὖθις οὖν ἡμῖν[n] *ἐπεισῆλθεν ὁ καὶ φωνὴν καὶ πάντα χρυσοῦς, καὶ τὸ*
πρᾶγμα χορεία τις[o] *ἡδίστη δοκεῖ, πρὸς ἑαυτὴν εὐρύθμως ἑλιττομένη*[p] *καὶ θαυμαστόν*
τινα κύκλον ἀποτελοῦσα, ἐκεῖ καλῶς λήγοντα ὅθεν ἤδη[q] *καὶ ἤρξατο· πλὴν ὅσον οὐ*
δευτέρας ἡ σή|μερον περιόδου κατάρχει, ὅτι μηδ'[r] *ἔχει τοὺς συγχορευτὰς ἑξῆς*[s] 133[1]
ἑπομένους[t], *ἀλλ' ἐνταῦθα δεῖ στῆναι τὸν πόθον τοῖς φιλεόρτοις καὶ πάλιν ἀναμένειν*
ταύτην ἀρχὴν εἰς τὰ ἐπερχόμενα, ἥνπερ δὴ καταλείπουσι[u] *νυνὶ τελευτήν.* 2 *ὁ*[v] *γὰρ αὐτὸς*
ἀνὴρ οὗτος, ἢ ὁ[w] *ἄγγελος μᾶλλον τὸ δικαιότερον, τὴν παροῦσάν τε*[x] *κάλλιστα φαιδρύνει*
διὰ τῆς μνήμης, καὶ τῆς προσδοκωμένης ἐντεῦθεν ὑπόθεσις ἀπαντήσεται[y]. 3 *τί ποτ' οὖν*
τοῦτο πέπονθας, ἄνθρωπε τοῦ θεοῦ[z]; *ἐρωτήσω γάρ σε τολμήσας ὥσπερ παρόντα*[a], *ὁ*
τοῦ δικαίου κανών[b], *ἡ τῆς ἰσότητος στάθμη, ὁ τῆς πλεονεξίας μέγας*[c] *ἀντίπαλος, ὃς*

46 *τιθείης* apographum | o Ea quae iam sequitur oratio sola extat etiam in codice Reginensi (nobis R) 15 membranaceo saeculi XI, qui amplam continet collectionem orationum sacrarum a variis oratoribus compositarum, (inde a folio 273[r]) hoc titulo rubro praemisso: *ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου εὐχαΐτων ἐγκώμιον εἰς τοὺς ἁγίους μεγάλους τρεῖς λαμπτῆρας καὶ διδασκάλους τῆς οἰκουμένης βασίλειον τὸν μέγαν γρηγόριον τὸν θεολόγον, καὶ ἰωάννην τὸν χρυσόστομον ἐυō:* — Binis columnis paginae scriptae sunt. Codicis R discrepantes a C lectiones omnes subscripsi; silentio tamen praetermisi nonnullas in codice R correctiones et iota subscriptum. Codice R repraesentatur recensio huius orationis prorsus diversa ab ea, quam codex C reddit. Videtur fere Iohannes ipse orationem denuo tractasse, priorem recensionem nescio an servatam esse dicam in R, posteriorem in C *Studemund* | *a γλῶτταν* R | *b τρίτος μέντοι* C, *καίτοι τρίτος ἐστὶ* R | *c τάχα* om R | *d ἄγχιστά* C, *ἐγγύς* R | *e κακείνους* C | *f συνηγάγομεν* C, *συνετάξαμεν* R | *g* tria haec vocabula om R | *h λαμπτῆρας* C, *λέγω φωστῆρας* R | *i* novum versum orditur R | *k μὲν* R | *l ἑορτάζομεν* R | *m δὲ* R | *n ἡμῖν* om R | *o τίς* R | *p ἑλιττομένη* R | *q ἤδη* C, *ἄρα* R | *r μὴδ'* C, *μηδ'* R | *s ἑξῆς* om R | *t ἑπομένους* R | *u καταλείπουσιν* R | *v* novum versum orditur C, non orditur R | *w ὁ ἄγγελος μᾶλλον τὸ δικαιότερον* C, *μᾶλλον ἄγγελος* R | *x τὴν παροῦσάν τε κάλλιστα* C, *τήν τε παροῦσαν πανήγυριν* R | *y ἀπαντήσεται* C | *z* Timoth *α* 6, 11 | *a ὥσπερ παρόντα* om R | *b* vide quae de *κανων* congessi in reliquiis iuris ecclesiastici graecis vi vii *Lagarde* | *c μέγας* om R

*οὔτ' αὐτὸς δύο χιτῶνας[d] ἠνέσχου τὴν ἀρχὴν κτήσασθαι, πολὺ μὲν οὖν εἰ καὶ ἕνα, καὶ
ἡμᾶς τοῖς οὐκ ἔχουσι συμμερίζεσθαι πείθεις. πῶς οὖν ἐνταῦθα σὺ μόνον ἑτερορρεπής[e]
τε καὶ ἄνισος, διττὰς μὲν δι' ἔτους σεαυτῷ[f] τὰς μεγίστας[g] τελετὰς καὶ τιμάς, τοῖς δ'
ὁμοτίμοις τούτοις καὶ ὁμοδόξοις[h] ἀνὰ μίαν ἑκατέρῳ τοσαύτην[i] τελεῖσθαι καταδεχόμενος;
4 οὐ μὴν <ὡς εἰκὸς>[k] εἰς τὸ ἑξῆς καταδέξεται, ἵν' ὑπὲρ αὐτοῦ καὶ ἀπο|λογή-* 133[2]
*σωμαι[l], κἂν[m] εἰς δεῦρο συνεχώρει τοῖς περὶ αὐτὸν θερμοτέροις ὡς ἐξαιρετόν τινα ταύτην
ἀπονέμειν μοῖραν αὐτῷ, οὐδ' ἀνέξεται <πάντως — τό γ' οὖν ἐφ' ἡμῖν τε καὶ παρ' ἡμῶν —
πλέον αὐτός τι>[n] μόνος <καρπούμενος, μειονεκτούντων>[o] ἐκείνων οἷς ὑπὲρ εὐσεβείας
τὰ ἴσα συνέπνευσε καὶ συνέκαμεν, ἀλλὰ προτιμήσει κἀνταῦθα συνήθως τὸ κοινὸν τοῦ
ἰδίου, καὶ οὐ ζητήσει μόνον τὸ ἑαυτοῦ*, ἀλλὰ καὶ τὸ τῶν ἑτέρων, εἴτουν[p] ἑταίρων καὶ
συνάθλων αὐτοῦ[q], μεθ' ἡδονῆς παραλήψεται. ἐγὼ[r] τῆς τοῦ μεγάλου ψυχῆς τε καὶ
γνώμης ἐγγυητὴς ἀξιόχρεως[s]. εἰ δ' οὖν, ἀλλὰ συλλάβεσθέ μοι[t] καὶ ὑμεῖς τῆς σπουδῆς,
οἱ τῶν τριῶν μαθηταί, καὶ τὴν αὐτὴν θαρρούντως ἐγγύην ὑπὲρ τῶν δύο συνεγγυήσασθε.
5 μία μὲν δόξα τοῖς τρισίν, ἡ τριάς. εἷς δὲ σκοπός, ἀρετή. εἷς δὲ ἀγών, κλονουμένην
στηρίξαι καὶ κατασφαλίσασθαι τὴν εὐσέβειαν. ἓν ἔργον ἄληκτον, ψυχῶν σωτηρία ἔργοις
πᾶσι καὶ λόγοις καὶ τρόποις σπουδαζομένη. ἐπ' ἴσης οἱ τρεῖς <ἐπὶ γῆς>[u] θεὸν ἐμεγά-
λυναν. ἐπ' ἴσης <τὸν λόγον τῆς ἀληθείας ἐκράτυναν. ἐπ' ἴ|σης τῷ λόγῳ τὰς συ-* 134[1]
*νάξεις, τὰς ἐκκλησίας,>[v] τὰς τῶν μαρτύρων μνήμας ἐκόσμησαν. εἴ πω τι δυσωπητικώτερον,
ἐπ' ἴσης ἡμεῖς ὑπὸ τῶν τριῶν[w] εὖ πεπόνθαμεν. ἐπ' ἴσης τοιγαροῦν καὶ[x] τοὺς εὐεργέτας
ἀντιτιμήσωμεν. οὗτος ὁ τοῦ λόγου σκοπός, τοῦτο τῆς προθυμίας ἡμῶν τὸ μυστήριον,
αὕτη τῆς παρούσης διαλέξεως ἡ ὑπόθεσις. 6 ἐπεὶ[y] οὖν οὕτω ταυτα, καὶ κατὰ[z] γνώμην
ἡμῖν ἀπαντᾷ τὸ ὑμέτερον[a] (αἰσθάνομαι γὰρ συμπροθυμουμένων ὑμῶν καὶ τῇ συμβουλῇ
τῇ δικαίᾳ συντιθεμένων), φέρε τὴν θαυμαστώσασαν ἐκείνους χάριν τοῦ πνεύματος ἐπι-
καλεσάμενοι, πειραθῶμεν αὐτοὺς δεξιώσασθαι τοῖς καταλλήλοις ξενίοις καὶ οἷς μάλιστ'[b]
ἂν ὡς οἰκείοις[c] ἡσθεῖεν οἱ μεγαλόφρονες. τί δ' ἂν γένοιτο λόγου τοῖς σοφοῖς οἰκειότερον;
τί τοῖς λόγον πρεσβεύσασι καὶ δοξάσασι λόγους τῆς ἐκ τῶν λόγων τιμῆς πρεπωδέστερον
ἢ προσφιλέστερον; λόγος οὖν ἔσται[d] δῶρον τοῖς λογιωτάτοις πρὸς λόγον[e], οἳ μηδενὶ
κατὰ τοῦτο πλέον ἔχειν ἑαυτῶν[f] παρεχώρησαν ὅτι μὴ μόνῳ τῷ Λόγῳ καὶ ταῖς περὶ
αὐτὸν λογικαῖς καὶ νοεραῖς[g] φύσεσιν. | 7 ἀλλ' ἡ μὲν πρόθεσις τοιαύτη θαυμαστὴ* 134[2]
*καὶ γενναία[h], ἡ δ' ὑπόθεσις οὕτω <κατὰ τὸν εἰπόντα> μεγάλη καὶ <παντάπασι> κρείττων
ἢ καθ' ἡμᾶς[i]· ὅπου γὰρ <ἀξίως οὐκ ἔνεστιν> οὐδὲ τὸν ἕνα θαυμάσαι[k] (πῶς γάρ, οὗ οὐκ
ἦν ἄξιος ὁ κόσμος[l];), πηλίκη τις ἂν ἁρμόσειεν[m] <ἅμα> τοῖς τρισὶν εὐφημία παρὰ τῶν ἐν
<τῷ> κόσμῳ προσφερομένη τοῖς ὑπερκοσμίοις καὶ οὐρανίοις; ὥστε νῦν <,οὐκ οἶδ' ὅπως,>*

d Matth 10, 10 | *e ἑτερορεπής* R | *f σαυτῷ* R | *g τὰς μεγίστας* om R | *h ὁμοτίμοις τούτοις καὶ ὁμοδόξοις* C, *ὁμοτρόποις καὶ ὁμοψύχοις* R | *i τοσαύτην* om R | *k* omnia vocabula a R omissa ab hoc inde loco his uncinis < > circumdabo | *l ἀπολογίσωμαι* R | *m κἂν* C | *n* pro < > R habet *θαυμάζεσθαι* | *o* pro < > R habet *παρ' ὁρωμένων* | * Cor α 13, 5 | *p εἴτ' οὖν* R | *q συνάθλων αὐτοῦ* C, *φιλτάτων αὐτῷ* R | *r* novum versum orditur R. similia deinceps non curabo nec in C curavi *Lagarde* | *s ἀξιόχρεος* R | *t συλλάβεσθε δή μοι* R | *u* pro < > R habet *τὸν* | *v* pro < > R habet *τὴν πίστιν εἰς τὴν οἰκουμένην ἐκήρυξαν· ἐπίσης τῆς ἐκκλησίας τὰς συνάξεις,* | *w ὑπὸ τῶν τριῶν* C, *παρ' αὐτῶν* R | *x καὶ* om R | *y Ἐπεὶ* R | *z κατα* R | *a ἡμέτερον* R | *b μάλλιστ'* R | *c οἰκείοις* R | *d ἔσται* C, *τὸ παρ' ἡμῶν ἔστω* R | *e πρὸς λόγον* C, *τῶν λογικῶν* R | *f αὐτῶν* R | *g νοεραῖς* C, *ἀΰλοις* R | *h τοιαύτη θαυμαστὴ καὶ γενναία* C, *οὕτω θερμή τε καὶ ζέουσα* R | *i* R in margine *γνώμη* | *k θαυμάσαι* C, *πρὸς ἀξίαν ἐπαινέσαι* R | *l* Hebr 11, 38 | *m τίς ἁρμόσει* R

κινδυνεύω νοῦν ἐνεγκεῖν· συνίημι γὰρ καὶ ἐμαυτοῦ[n] σοφισάμενος ὁπότε[o] διὰ τῆς τῶν
τριῶν <τούτων> τῶν μεγίστων ἑνώσεως ἔλαθον σαφῶς[p] ἐμαυτῷ παρασκευάσας τὸν
ἀγῶνα βαρύτερον. οὕτω τοίνυν ἐνταῦθα τοῦ σκοποῦ μοι περιτραπέντος, τίς ἤδη γένωμαι
καὶ ποῖ ποτε τράπωμαι; ἡ μὲν γὰρ ἔφεσις τὴν ἐλπίδα προτείνει καὶ κατεπείγει πρὸς
τὸ ἐγχείρημα, ὁ δὲ φόβος συστέλλει καὶ ἀποτρέπει τὴν ἐπιχείρησιν. 8 ἀλλ' ὑμεῖς, οἱ τοῦ
σκοποῦ κοινωνοί, βοηθήσατε κινδυνεύοντι πόθῳ, καὶ παράσχετε θάρσος ὀκνοῦντι καὶ
μετοκλάζοντι· παρέξετε δέ, φιλοπονώτερον[q] ἀκροώμενοι· τάχα γὰρ ἄν τι λέγειν[r] ἡμῖν
αὐτοῖς δόξαιμεν, εἰ | προσεκτικώτερον ἔχοντας ὁρῷμεν ὑμᾶς, μᾶλλον δὲ — 135[1]
βαβαί[s] τῆς ἐπινοίας, ὡς εἰς καιρὸν ἐπῆλθεν ἡμᾶς· ὄντως ἀνάγκης οὐδὲν ποριμώτερον·
εὗρον ὅπως ὡς ῥᾷστα τὸ παρὸν διαθήσω, καὶ σκοπεῖτε <τὸν τρόπον>, εἰ μὴ καλῶς.
9 τῷ μεγάλῳ μὲν Βασιλείῳ τὴν λαμπρὰν ἐπιστήσω γλῶσσαν καὶ Θεολόγου μετὰ τῆς
οὐρανίου φωνῆς <καὶ> τῶν πολυτιμήτων ἐκείνων καὶ ὡς εἰπεῖν ἀθανάτων <ἀθανατι-
ζόντων δὲ μᾶλλον> ἐπιταφίων, οἷς σαφῶς ἔδειξεν ὡς ἔστιν, ἔστι ποτὲ καὶ λόγον ἔργῳ
παρισωθῆναι, καὶ οἱ πανταχοῦ τῶν πραγμάτων οἱ λόγοι κατόπιν (ὡς ἡ παροιμία) βα-
δίζουσιν[t], Ἰωάννην δὲ καὶ Γρηγόριον (εἰ βούλει δὲ καὶ Βασίλειον αὖθις, ὡς μηδ' ἐν-
ταῦθα[u] χωρίζοιντο) πρὸς <ἑαυτοὺς> ἐπιστρέψω, καὶ ταῖς ἰδίαις φωναῖς (ταὐτὸν δὲ[v] εἰπεῖν
ταῖς τοῦ πνεύματος) προσσχεῖν[w] δεηθήσομαι, αἷς αὐτοὶ σχεδὸν ἅπαντας[x] τοὺς εὐηρεστη-
κότας θεῷ[y], μάλιστα δὲ τοὺς ὑπὲρ αὐτοῦ γενναίως ἀνδρισαμένους ἐτίμησαν· οὔτε γὰρ
πλείους τούτων ἢ κρείττους ἀρετῆς ἐπαίνους εὑρεῖν ἔστιν οὔτε <μᾶλλον> ἄλλοις ἁρμό-
ζοντας ἢ τούτοις[z] | αὐτοῖς, εἰς ἓν πανταχόθεν ἅπαντας συνδραμόντας[a] καὶ 135[2]
τούτους κοινὴν ποιησαμένους ὑπόθεσιν. 10 οἱ μὲν[b] οὖν ἑαυτοῖς <τε> καὶ ἀλλήλοις τὸν
ἔπαινον συμπληρούτωσαν· πάντως γὰρ οὐδὲν οἰκειότερον, εἴτουν[c] ὁμοιότερον, ὃ δὴ λέ-
γεται· ἡμεῖς δ' ὑπεκστῶμεν αὐτοῖς· δῆλον ὅτι καὶ σιωπήσομεν· οὐδὲ γὰρ θέμις, ἐκείνων
λαλούντων, ἄλλο τι[d] τολμᾶν τῶν ἁπάντων οὐδένα ἢ (καθ' ἅπερ ἐν τελετῇ[e] μυστηρίων)
ἀκροᾶσθαι σιγῇ <μετὰ πολλοῦ τοῦ σεβάσματος>. ἀλλὰ τί ποτε δοκεῖ καὶ ὑμῖν, τοῦτο
κελεύετε, καὶ σιωπὴν τὸ ἐντεῦθεν ἡμῖν ἐπιτρέπετε, ἢ παραινεῖτε, <καὶ αὐτὸν> ἐπενθου-
σιάσαι τῷ καιρῷ τι μικρόν, καὶ τῇ μεγίστῃ τριάδι τῶν θεολόγων προσλαλῆσαι τὰ ἐπει-
σόδια[f]. 11 τοιγαροῦν ἐπεὶ[g] συνδοκεῖ, ὁ τῆς νῦν ἡμῖν ἔξαρχος μελῳδίας Δαβὶδ προανα-
κρουσάσθω καὶ τῷ λόγῳ παρὰ τῶν ἑαυτοῦ τὸ προοίμιον, ἑψόμεθα[h] δ' ἡμεῖς ὅπῃ ἄγει,
συνῳδὰ[i] καθ' ὅσον[k] ἐξῇ[l], τοῖς ἐκείνου φθόγγοις ὑποφωνοῦντες. ἰδοὺ[m] <δὴ> τί καλὸν
ἢ τί τερπνὸν ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό. ὁρᾶτε τὸ τοῦ πνεύματος θέλημα;
ἐπευδοκεῖ[n] τῇ | τῶν ἁγίων ἑνώσει καὶ κοινωνίᾳ· ὁμοῦ τε γὰρ αὐτοὺς ὑποδέχεται, 136[1]
καὶ τῆς εἰς τὸ αὐτὸ συνδρομῆς καὶ συνελεύσεως ἀποδέχεται, ὡς δηλοῖ καὶ ὁ ἔπαινος,
<σὺν ἡδονῇ τοσαύτῃ καὶ θαύματι παρόντας φιλοφρονούμενος·>[o] οὐ μὴν ἀλλ' ἐκδεχέσθω
τὴν πρότασιν ἐντεῦθεν ὁ λόγος καὶ καθ' εἱρμὸν <ἀκολούθως> περαινέσθω[p] συνυφαινό-

n ἐμ' αὐτοῦ R | *o* σοφισάμενος ὁπότε C, βουλευσάμενος· ὅτι R | *p* σαφῶς C, οὐκ οἶδ' ὅπως[sic] R | *q* προθυμότερον R | *r* ἀντιλέγειν R, ἄν τι λέγειν C | *s* βαβαὶ R | *t* βαδίζουσι R | *u* ἐν τούτῳ R | *v* ταὐτόν δ' R | *w* τοῦ πνεύματος προσσχεῖν C, θεοῦ προσέχειν R | *x* πάντας R | *y* τῷ θεῷ R | *z* τούτων R | *a* πανταχόθεν ἅπαντας συνδραμόντας C, συνενεχθέντας ὁμοῦ R | *b* μὲν R | *c* ἤ τ' οὖν R | *d* ἀλλ' ὅτι R | *e* ἐντελῆ R | *f* ἐπισόδια R | *g* ἐπεὶ R | *h* ἑψόμεθα R | *i* συνῳδᾶ R | *k* καθ' ὅσον R, καθόσον C | *l* ἐξῇ C, οἷόν τε R | *m* Psalm ρλβ 1 | *n* ἐπ' εὐδοκεῖ R | *o* pro < > R habet μετὰ θαύματος τοσούτου ῥηθεὶς | *p* παραινέσθω R

μενος [q]. [12] ἐκδέχεται τοίνυν οὐκ ἀηδῶς [r], καὶ τηρεῖ τὴν συμφωνίαν οὐκ ἀφυῶς [s]. τίνα
ταύτην καὶ πῶς; τούτους τοὺς συνοίκους ἀδελφοὺς καὶ συμψύχους <· ἀδελφοὶ γὰρ ὄντως
ἐκεῖνοι· καί τι πλέον, περὶ τὰ κράτιστα — λόγον λέγω καὶ τρόπον καὶ τὴν τῶν ἐπιτη-
δευμάτων ὁμοίωσιν>. δέδωκε μὲν [t] οὐρανὸς τοῖς ἐν γῇ (εἰ χρή τι σύντομον φάναι καὶ
ἀληθές), ὅθεν ἅπαν [u] δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ τοῦ τῶν φώτων
πατρός, <οὐ κατὰ τὸν αὐτὸν τοὺς τρεῖς ἅμα συναναψας καιρόν, ἀλλὰ τοὺς μὲν συνα-
νίσχοντας ἀλλήλοις καὶ συνεκλάμποντας, τὸν δὲ φαιδρὸν οἷον ἐκείνοις ἐπανατέλλοντα,
ἵνα καὶ βραδύτερον δύναντος, ἀπολαῦσαι τῷ βίῳ χρο|νιώτερον γένοιτο τῆς θε- 136[2]
σπεσίας αἴγλης ἐκείνης καὶ διαρκεστέρας ἀπόνασθαι τῆς ἐκεῖθεν ὠφελείας καὶ σωτηρίας·>
ἀντέλαβε δὲ παρὰ τούτων <αὖθις> τὴν γῆν, δηλαδὴ [v] τοὺς κατοικοῦντας αὐτήν, οὓς ἐν-
τεῦθεν οὗτοι <τηνικαῦτά τε προὔπεμψαν κατὰ πλήθη συνεχῆ καὶ συστήματα, καὶ νῦν
δὲ οὐχ ἧττον εἰς ἔτι> προπέμπουσι [w] <ταῖς καλαῖς τε καὶ σοφαῖς εἰσηγήσεσιν>, ἐκεῖ
τὸ πολίτευμα δεικνύντες ἡμῖν, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός, καὶ τὴν
μὲν ἐν αὐτῷ κεκρυμμένην ζωὴν ζητεῖν πείθοντες, ἀτιμάζειν δὲ πᾶν τὸ φαινόμενον [x], ὡς
ἐκλεῖπον δίκην καπνοῦ καὶ ταχὺ διαρρέον καὶ <ἀτεχνῶς> ἀπολλύμενον, ἕως <πᾶσιν>
ὁρᾶται καὶ κρατεῖσθαι δοκεῖ, κἂν [y] μικρὰ τὴν αἴσθησιν σαίνῃ, τῷ ἤδει παρακλέπτον
τῆς πρὸς τὸ παρὸν ἀπολαύσεως. [13] πλὴν ἡ [z] μὲν γένεσις ἐκεῖθεν τούτοις σαφῶς καὶ
οὐκ ἄλλοθεν, ἀναγωγὴ δὲ καὶ αὔξησις τὸ πνεῦμα τὸ ἅγιον, σοφίᾳ καὶ συνέσει [a] καὶ
χάριτι τὰς αὐτῶν κατακοσμῆσαν ψυχὰς καὶ τοιούτους αὐτοὺς ἀποτελέσαν καὶ ἀπαρτίσαν
οἵους ἔπρε|πεν εἶναι τοὺς ἐκείνου συμμάχους καὶ συνηγόρους· καὶ γὰρ ἐκινδύνευε 137[1]
θεὸς [b] δοκεῖν εἴτε μή, μᾶλλον δὲ καὶ τοὺς ὁμοδόξους καὶ ὁμοτίμους (πατέρα φημὶ καὶ
υἱόν) συγκινδυνεύοντας [c] εἶχε καὶ μικροῦ ταὐτὸν [d] <πάλιν> ὑποστῆναι προσδοκωμένους,
ὅπερ ἤδη [e] καὶ [f] πρότερον, ἡνίκα τὸν μὲν ὄντως [g] θεὸν οὐδεὶς ἦν ὁ συνιῶν [h] οὐδ᾽ ὁ ἐκ-
ζητῶν ὡς ἐχρῆν, ἄνω δὲ καὶ κάτω τὸ πᾶν ἐδονεῖτο καὶ συνεστρέφετο, μάτην κατὰ τὸ
γεγραμμένον [i] τῶν ἀνθρώπων ταρασσομένων, καὶ ἀντὶ τῆς ἀληθείας ἀγαπώντων μα-
ταιότητα καὶ μανίαν ψευδῆ, ἧς ἔργον ἡ τῶν βεβήλων εἰδώλων τιμὴ καὶ προσκύνησις,
κακῶς μὲν εἰς νοῦν τοῖς ἀνοήτοις ἐλθοῦσα τὴν ἀρχὴν ὡς μὴ ὤφελε, κακῶς δὲ παρεισ-
φθαρεῖσα τῷ βίῳ καὶ παραδεχθεῖσα, καὶ πρὸς τοσοῦτον κρατήσασα ἐπ᾽ ὀλέθρῳ σαφεῖ
καὶ τῆς ἀνοίας ἐλέγχῳ τῶν ἀνασχομένων τοιαῦτα σεβασθῆναι βδελύγματα· [k] τί γὰρ ἔδει
πλειόνων θεῶν τοῖς οὐδὲ τὸν ἕνα φυλάξασι; τί δὲ τῶν κιβδήλων καὶ νόθων τοῖς τὸν
ἀληθινὸν καὶ γνήσιον [l] ἀθετήσασι; [14] τοῦτο ἡμῖν ὁ <τὸ πρόσθεν μὲν ἄδικος> διώκτης
<ἐκεῖνος, τὰ δὲ νῦν | μάλα δίκαιος δραπέτης> Ἑλληνισμός, θεοὶ πολλοὶ καὶ 137[2]
ψευδώνυμοι, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν· ἀπολέσθωσαν οὖν· μᾶλλον δὲ
κακοὶ κακῶς ἤδη <πανδημεὶ> φθαρέντες ἀπώλοντο ἀφ᾽ οὗπερ ἡμῖν ὁ μόνος ἐπὶ πάντων [m]
θεός, ὁ ἀκατάληπτος, ὁ ἀόρατος, διὰ σαρκώσεως γέγονε καὶ θεατὸς καὶ ληπτός, ἵνα
γνωσθῇ καὶ ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις τὸ κἀκείναις [n] ἀπ᾽ αἰῶνος ἠγνοημένον μυ-

q σὺν ὑφαινόμενος R | *r* αηδῶς R | *s* ἀφηῶς R | *t* μὲν R | *u* Iacob 1, 12 | *v* δηλαδὴ C, ἤ τ᾽ οὖν R | *w* προπέμπουσιν ἄχρι καὶ σήμερον R | *x* δρώμενον R | *y* κἂν R, κὰν C | *z* εἰ R | *a* ἐπι-στήμῃ R | *b* τὸ add R | *c* συνκινδυνεύοντας R | *d* τάυτὸν R | *e* δὴ R | *f* τὸ add R | *g* ὄντως C, ἀληθῆ καὶ μόνον R | *h* συνιών R Psalm ιγ 2 | *i* Psalm λη 7 | *k* C[m] ὡραῖον per scripturae compendium | *l* τὸν ἀληθινὸν καὶ γνήσιον C, καὶ τὸν πλάστην ἑαυτῶν R | *m* μόνος ἐπὶ πάντων C, πρὸ αἰώ-νων R | *n* κακείναις C

στήριον, καὶ δείξῃ κατελθὼν ἐπὶ γῆν[o] ἑαυτὸν τοῖς ἐπὶ γῆς ὁ θεός. [15]κλίνει[p] τοίνυν
οὐρανοὺς[q] καὶ κατέρχεται, καὶ γίνεται παρθένου καθαρᾶς ἀπάτωρ υἱὸς ὁ ἀμήτωρ τὸ
πρὶν μονογενὴς τοῦ θεοῦ, καὶ λαβὼν τὸ ἡμέτερον, ἀντέδωκε τὸ οἰκεῖον. ἐνανθρωπεῖ[r],
καὶ θεοῖ. θνήσκει, καὶ ζωοῖ. θάπτεται, καὶ ἀνίστησι. πρὸς δὲ τούτοις καὶ διὰ τούτων
ἀπελαύνει τὴν ἀθεΐαν, ἀντεισάγει[s] τὴν θεοσέβειαν, ὅλον ἀναφέρει τὸν κόσμον εἰς
οὐρανόν [t]<καὶ τοῦτο πέρας ποιεῖται τῆς πρὸς ἡμᾶς ἀρρήτου συγκαταβάσεως, τὴν ἐμὴν
χαμόθεν ἀνύψωσιν καὶ ἀνάβασιν διὰ τῆς αὐτοῦ ἐπιγνώσεως>. [16]ἐπεὶ[u] δ' οὖν ἐν ταῖς
ἐσχάταις ἡμέραις ἐπεφά|νη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος[v], καὶ τὸ φῶς τοῦ 138[1]
κόσμου εἰς τὸν κόσμον ἀνέτειλε, καὶ λάμψαν ἐν τῇ σκοτίᾳ[w] τὴν σκοτίαν διέλυσεν, ἥτις
ἦν ἡ περὶ τὰ εἴδωλα καὶ τοὺς δαίμονας τῶν ἀνθρώπων μανία· παρὰ ταύτης γὰρ
<ἐπὶ ποσὸν> καὶ διώκεται[x], τοῖς ἑαυτῆς ἀδρανῶς ἐπισπαιρούσης[y] ἔτι λειψάνοις καὶ
μετὰ τὴν διάλυσιν οἱονεί[z] τινος δράκοντος <ἀνῃρημένου μὲν> ἄρτι[a], <κινουμένου δ'
ὅμως βραχύ τε καὶ βραχεῖ τινι μέρει> καὶ <τούτῳ> ζητοῦντος[b] ἀντιπλῆξαι τὸν ἀναιρέτην,
πρὶν εἰς τέλος ἀπείποι[c], συμπατηθεὶς[d] <κἀκεῖ βιαιότερον — [17]ὅτε δὴ τοῦτο γέγονε,>
τηνικαῦτα φωτίζει μὲν τὸ φῶς τὸ ἀληθινὸν πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον[e],
εἰς κρίμα δὲ γίνεται τοῖς ἐν τῷ κόσμῳ φανέν, ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ
βλέποντες τυφλοὶ γένωνται[f], μᾶλλον δὲ καὶ τῶν βλεψάντων ἐκείνων ἀποτυφλωθῶσι
πολλοὶ διὰ τὴν ἑαυτῶν ἀπειρίαν[g] ἢ μοχθηρίαν, ἄρτι μὲν[h] ἀνεθέντες[i] τῆς ἐν[k] σκότει
μακρᾶς τε[l] καὶ χρονίου[m] διατριβῆς, ὅλῃ δὲ τῇ λαμπρᾷ μαρμαρυγῇ τοῦ φωτὸς ἀτενῶς
εὐθὺς προσβαλόντες, καὶ μήτε τὴν ἀθρόαν μεταβολήν, | ὡς ἐπισφαλής, μήτε τὴν 138[2]
τῶν οἰκείων ὄψεων[n] φύσιν, ὡς ἀσθενής, ὑπολογισάμενοι. [18]ἐντεῦθεν αὐτοῖς τὸ περι-
πλανᾶσθαι τῇδε κἀκεῖσε, καὶ τὸ τῆς θείας γραφῆς, τοῖχον ψηλαφᾶν ὡς τυφλούς[o], κατὰ[p]
κρημνῶν τε[q] φέρεσθαι καὶ βαράθροις ἐμπίπτειν, ἀλλήλοις τε περιπίπτειν καὶ ὑπ'
ἀλλήλων ὠθεῖσθαι καὶ ἀνατρέπεσθαι· ἐντεῦθεν αὐτοῖς κατὰ τῆς ἀπροσίτου θεότητος
τὸ μεῖζον καὶ ἧττον, καὶ πρῶτον καὶ ὕστερον, κτιστόν τε καὶ ἄκτιστον, ἄρχον τε καὶ
ἀρχόμενον, καὶ ὁ[r] τῶν τοιούτων <ἀλλοκότων ἀτοπημάτων ἑσμός· [19]ἐντεῦθεν ἡ τῶν
ἀσυγχύτων> κακίστη συναλοιφὴ[s] καὶ τῶν ἀδιαιρέτων κακιῶν κατατομή[t], αἱ[u] πρῶται
κορυφαὶ καὶ πηγαὶ τῶν αἱρέσεων, ὁμοίως ἀλλήλαις καὶ τῇ εὐσεβείᾳ[v] μαχόμεναι. ἄλλη
τις[w] πλάνη μετὰ τὴν πλάνην οὐχ[x] ἥττων· καὶ δευτέρα φανεῖσα μετὰ τὴν πρώτην[y] ἀσέ-
βεια[z], ἵν' ἡ τοῦ ψεύδους κατάλυσις εἰς ψεύδους ἀρχὴν περιστῇ καὶ τὸ κακὸν κακὸν
διαδέξηται, καὶ λάθωμεν ἡμᾶς αὐτοὺς — ὢ τῆς ἐπηρείας — τηνικαῦτα θεὸν ἀπολέσαντες
ὅτε[a] | θεὸν μόλις εὕρομεν· οἶδε γὰρ ταῦτα τεχνάζειν τε[b] καὶ στρέφειν πολλάκις ὁ 139[1]
σοφιστὴς τῆς κακίας, ὁ πικρὸς τοῦ γένους ἡμῶν ἀπ' ἀρχῆς ἐχθρὸς[c] καὶ πολέμιος, ὃς ἀπο-

o γῆς R | *p* C[m] σημείωσαι per scripturae compendium | *q* Psalm ρμγ 5 | *r* ἐνανθρωποῖ R | *s* ἀντεπάγει R | *t* pro < >, quae sequuntur, R haec habet ἄλλον ἀνελθὼν ἀντιπέμπει παράκλητον. ἵνα κἀκεῖνος τὴν οἰκείαν δόξαν ἀγνοουμένην τέως γνωρίσει καὶ αὐτῷ μαρτυρήσει τὴν υἱότητα καὶ θεότητα. μόνος γὰρ ὁ πατὴρ οὐκ ἐδεήθη καθόδου· ἅτε καὶ παρὰ τῶν κατελθόντων (sic) δοξασθεὶς ἱκανῶς καὶ παρὰ τῆς παλαιᾶς οὐκ ἀμιδρῶς (sic) ὡς ἐκεῖνοι, ἀλλὰ καὶ σφόδρα περιφανῶς κηρυττόμενος | *u* Ἐπεὶ R | *v* Tit 2, 11 Ioh 1, 5 | *w* σκοτεία R | *x* μέχρι τινὸς addit R | *y* ὑποσπαιρούσης R | *z* ὥσπέρ R | *a* πεφονευμένου add R | *b* ὁπωσοῦν add R | *c* πρὶν εἰς τέλος ἀπείποι C, ἕως οὗ νεκρωθῇ παντελῶς R | *d* ὑπ' αὐτοῦ add R | *e* Iohann 1, 9 | *f* γένονται R | *g* πονηρίαν R | *h* μὲν R | *i* ἀναθέντες R | *k* τῷ add R | *l* τε om R | *m* χρονίας R | *n* ὀφθαλμῶν R | *o* Isa 59, 10 | *p* κατα R | *q* τὲ R | *r* ἡ R | *s* συναλοιφὴ C[2] οι litteris ex correctione effectis | *t* κατὰ τομὴ R | *u* αἳ R | *v* ἀσεβείᾳ R | *w* τίς R | *x* οὐχ' R | *y* πρώτην R | *z* ἀσέβειαν R | *a* ὅτι R | *b* τεχνάζεσθαι R | *c* ἀπαρχῆς δυσμενὴς R

γινώσκων τὰ στέρνα τοῖς νώτοις ἐπιχειρεῖ[d], καὶ τῶν ἀριστερῶν ἐκκρουσθεὶς προσβάλλει
τοῖς δεξιοῖς, σφόδρα ποικίλος ὢν τὴν ἐπίνοιαν καὶ πάνυ τολμηρὸς[e] τὴν ἐπίθεσιν· οἷον
δή τι κἀνταῦθα κακουργεῖ καὶ σοφίζεται· τὴν γὰρ ἑαυτοῦ[f] τιμήν τε καὶ θεραπείαν ἧς
μετεῖχε[g] τὸ πρότερον, ἀπελπίσας καθ' ἅπαξ[h], διὰ τὴν τοῦ[i] καταλύσαντος αὐτὸν δύνα-
μιν ἑτέρως ἡμῖν ὁ ἀναιδὴς ἐπιτίθεται καὶ δι' ἄλλης[k] προσβάλλει. 20 τὰς διαφόρους
γοῦν[l] περὶ τοῦ ἑνὸς ὑπολήψεις ταύτας καὶ δόξας κατασκεδάσας ἡμῶν, καὶ τὴν μίαν
καὶ ἁπλῆν[m] φύσιν πολυτρόπως τε[n] καὶ ποικίλως παρασκευάσας φαντάζεσθαι, ὑπηγάγετο
μικροῦ τὸ ἀνθρώπινον αὖθις εἰς ἀθεΐαν, τῷ[o] τοῦ δόγματος ἀνίσῳ καὶ ἀνομοίῳ[p] σκαν-
δαλίζων τοὺς πλείονας καὶ πείθων καταγινώσκειν ὡς ἀσυστάτου τῆς πίστε|ως 139²
διὰ τὸ πρὸς ἑαυτὴν <ὡς ἂν εἴποι τις> ἀσύμβατον καὶ ἀσύμφωνον. 21 τίς οὖν ἐπὶ
τούτοις ἡ τῆς ἀπορρήτου σοφίας οἰκονομία; καὶ ποταπὴν εὑρίσκει βοήθειαν οὕτω πάλιν
οὐχ[q] ἧττον ἢ πρότερον κινδυνευούσῃ τῇ εὐσεβείᾳ; τὰς μεγάλας σάλπιγγας ταύτας τῆς
ἀληθείας ἢ τὰς οὐρανίους βροντὰς (ἵν' οἰκειότερον εἴπω) τοῖς κακοῖς ἐκείνοις[r] τοῦ λόγου
σπαράκταις καὶ ὑβρισταῖς τῆς θεότητος ἐπαφίησι, δι' ὧν ἔτι ἅπαξ ἡ ὑπ'[s] οὐρανὸν πᾶσα
σείεται, καὶ καταβάλλεται μὲν αὖθις ὁ τῆς Χαλάνης[t] πύργος ἐκεῖνος, μετὰ τῆς ἐναντίας
θαυματουργίας οὐ σύγχυσιν ὁμοίως γλωσσῶν, ἀλλὰ συμφωνίαν ἀπεργαζόμενος, μᾶλλον
δὲ τῶν ἀγνωμονεστέρων καὶ σύγχυσιν· καθαιρεῖται δὲ τείχη πονηρὰ καὶ πολέμια, περι-
σαλπισθέντα[u] στερρῶς ἃ σαθρῶς ᾠκοδόμητο· ταπεινοῦται δὲ καλῶς ἅπαν ὕψωμα[v]
κατὰ τῆς θεογνωσίας κακῶς ἐπαιρόμενον· μετασκευάζεται δὲ καὶ μεταρρυθμίζεται[w] τὸ
πᾶν πρὸς τὸ βέλτιον, καὶ τὴν ἀρίστην ὄψιν καὶ τάξιν λαμβάνει ταῖς ἐκκλησίαις τὰ
πράγματα, τῶν | σκολιῶν εἰς εὐθέα μεταβληθέντων καὶ τῶν τραχέων εἰς λείας 140¹
μεταποιηθέντων ὁδούς. 22 τί γὰρ ὁμαλώτερον ἢ εὐθύτερον τῆς τούτων θεολογίας, ἣ τῷ
τῆς ὑψηλῆς θεωρίας ὄρει προσβαίνουσα[x] τὸ μὲν ἄναντες καὶ τὸ κάταντες, εἴτουν[y] τὰς
προσθέσεις καὶ τὰς ὑφέσεις, ἔτι δὲ τὰς κατατομὰς καὶ συγχύσεις καὶ τὸ ἀντίστροφον
ἴσον τῆς[z] ἐν κακοῖς ἀνισότητος ἐπ' ἴσης ἐκκλίνει[a], μετὰ τῶν βλασφήμων ἐκείνων καὶ
θεομάχων γλωσσῶν καὶ τὰ δι' αὐτῶν ἀνιέναι πειρῶντα θηρία στερροτάτοις λόγοις λι-
θοβολοῦσα ἀπωθεῖται καὶ διώκει μακρὰν ὡς ἀκάθαρτα καὶ τοιαύτης ὀπτασίας ἀνάξια,
αὐτὴ δὲ τὸ μέσον ἀπολαβοῦσα καὶ ὁμαλόν, ὡς δ' εἰπεῖν ἁπλῶς ἀσφαλές, ἐκεῖ τὴν
νεφέλην[b] εὑρίσκει, καὶ ταύτης εἴσω χωρεῖ, καὶ θεῷ προσλαλεῖ, καὶ γνωστῶς αὐτὸν βλέπει,
καὶ μυεῖται καθαρὰν τὴν ἀλήθειαν. 23 ἀποκαλύπτεται[c] γὰρ αὐτῇ[d] φανερῶς καὶ γνωρί-
ζεται θεὸς μὲν ἀγέννητος ὁ πατήρ, θεὸς δὲ γεννητὸς ὁ υἱός, καὶ θεὸς ἐκπορευτὸς τὸ
πνεῦμα τὸ ἅγιον· οἱ αὐτοὶ τρεῖς καὶ εἷς — τὸ παραδοξότατον καὶ | πᾶσι πλὴν 140²
τοῖς γνησίοις λατρευταῖς τῶν τριῶν ἀσαφὲς[e] καὶ ἀπερινόητον[f]. — τρεῖς μὲν χαρακτῆρες,
οὐχὶ θεοί, εἷς δ'[g] <οὐχ ἧττον> θεός, ὅτι μία θεότης καὶ ἡ αὐτὴ <τῶν τριῶν>, οὔτε τὰς
ὑποστάσεις ἑνοῦσα τῷ ἑαυτῆς ἑνιαίῳ, οὔτε πάλιν ἐκείναις[h] συμπληθυνομένη διὰ τὸ
πλῆθος, ἀλλ' οἷον ἀκτῖνας ὁμοίας <ἀπορρήτως>[i] προβαλλομένη, ἐξ ἡλίου τε προϊούσας

d ἐπιχωρεῖ R | *e* τολμηρῶς R | *f* γὰρ ἑαυτοῦ C, ἑαυτοῦ γὰρ R | *g* ἧς μετεῖχε C, ἣν παρὰ ἀν-θρώποις εἶχε R | *h* ἐφ' ἅπαξ R | *i* του R | *k* ἄλλοις R | *l* γ' οὖν R | *m* ἁπλὴν R | *n* τε om R | *o* τὸ R | *p* ἀνομιώς R | *q* οὐχ' R | *r* κακοῖς ἐκείνοις C², κακοῖς? C¹, κακοῖς R | *s* ὑπ R | *t* χαλάννης R Genes 11 10, 10 | *u* Iosue 6 | *v* Isaias 40, 4 | *w* μεταρυθμίζεται R | *x* προσβαίνοντα R | *y* ἤτ' οὖν R | *z* τοῖς R | *a* κλίνει R | *b* Exod 33, 9 | *c* [illegible] Cᵐ | *d* αὐτὴ R | *e* ἀσαφές τε R | *f* ἄγνωστον R | *g* δὲ R | *h* ἐκεῖναις R | *i* R in marg: ὡρ π^ε δ^ο i e ὡραία περίοδος?

ἑνὸς καὶ τηρούσας ἕνα τὸν ἥλιον[k], *οὐδὲν ἐχούσας διάφορον πλὴν ἢ μόνον ἑκάστην*[l] *τὴν*
ἰδιότητα, οὐδὲν περιττὸν ἢ ἐλλεῖπον, ἀλλὰ καὶ φύσει καὶ δόξῃ καὶ δυνάμει καὶ ἀγα-
θότητι λίαν ἀκριβὲς ἀποσῳζούσας τὸ ἴσον, μᾶλλον δὲ τὸ ταὐτόν, καὶ ἀϊδίως ἀλλήλαις
συνούσας καὶ συνεσομένας εἰς τὸ ἀπέραντον. αὕτη τοῦ παντὸς δημιουργὸς ἡ τριάς, οὗτος
ὁ θεὸς ὁ ἡμέτερος, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν <οὐδ' ἑτέρως ἢ οὕτως περὶ αὐτοῦ
τις λογίσεται τῶν φρονούντων ὀρθῶς>. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης <προφητικὴ λεγέτω
φωνή> καὶ δέδωκεν αὐτὴν πάλαι μὲν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπη-*
μένῳ[m] *αὐτοῦ, μετὰ ταῦτα δὲ*[n] *τοῖς* | *τρισὶν αὐτοῦ τούτοις λατρευταῖς καὶ προσ-* 141[1]
κυνηταῖς· ἔδει γὰρ πάντως τὴν δι' ἧς πάντα γέγονεν ἁγίαν τριάδα ἰσαρίθμους ἑαυτῇ
θεραπευτὰς ὑποστῆσαι, καὶ μετὰ τῆς πρὸς ἑαυτὴν συμβουλῆς ποιῆσαι πάλιν ἀνθρώπους
κατὰ <τὴν> ἰδίαν εἰκόνα <τε> καὶ[o] *ὁμοίωσιν, πολὺ τῆς προτέρας ἀκριβεστέραν καὶ*
σαφεστέραν, κατὰ[p] *τρία τοὺς τρεῖς, ὅτι τε*[q] *τοσοῦτοι, καὶ ὅτι τὰ πάντα θεοειδεῖς, καὶ*
τρίτον κατὰ τὴν σύμπνοιαν, τὸ δὲ μεῖζον καὶ τέταρτον καὶ τῆς ἐμφερείας <μᾶλλον>
συνεκτικόν, κατὰ τὴν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας σπουδήν, ἧς οὐδενὶ τῶν πάντων[r] *το-*
σοῦτον ὅσον θεῷ τε[s] *κἀκείνοις ἐμέλησε.* [24] *τὰ μὲν οὖν ἄλλα*[t] *τῶν <ἐν> ἐκείνοις καλῶν*
καὶ τὸ τῶν ἀγαθῶν ἔργων φῶς ὃ τῶν ἀνθρώπων ἔμπροσθεν ἔλαμψαν, θαυμαζέτωσαν*
ἕτεροι· λέγω δὲ[u] *ψυχῆς καθαρότητα, σώματος ἁγιασμόν, λαμπρότητα βίου, χρηστότητα*[v]
τρόπων, εὐκοσμίαν ἠθῶν[w], *τὴν ἀσαρκίαν, τὴν ἀϋλίαν, τὴν ἐν νεκρώσει ζωήν, τὴν ἀπά-*
θειαν, τοὺς ἐπὶ τούτοις ἱδρῶτας, τοὺς ὑπὲρ τῶν ὀρθῶν δογμάτων ἀγῶνας[x], *τοὺς διω-*
γμούς, τοὺς | *πολέμους, τοὺς κινδύνους, τὸν θάνατον, ὃν μετὰ Παύλου*[y] *κά-* 141[2]
κεῖνοι διὰ τὸ κήρυγμα καθ' ἡμέραν ἀπέθνησκον[z]. [25] *δεῦρο δή, συμπανηγυρίσατέ μοι*
πάντες ὁπόσοι τῶν καλῶν ἐρασταί[a]· *ὀργᾷ γὰρ ὁ λόγος τοῖς ἐκείνων ἐπ' ἐκείνοις ἐγκαλ-*
λωπίσασθαι· καὶ νεμεσήσει πάντως οὐδείς, ὅπουγε κἀκεῖνοι[b] *πολλάκις εἰς τὰς αὐτὰς*
ἐμπίπτοντες ὑποθέσεις παρ' ἑαυτῶν ἀνεπαισχύντως τὰς ἐξηγήσεις δανείζονται, δεικνύντες
ὥσπερ ἡμῖν, ὅτι ὅπερ ἂν[c] *ἔφθασαν εἰπόντες αὐτοί, ἀμήχανον ἑτέρως*[d] *ῥηθῆναι μεθ'*
ὑπερβαλλούσης[e] *ὥρας καὶ χάριτος, ἐπεὶ*[f] *καὶ μόνους*[g] *ὡς ἔοικεν <ἐκείνους τοὺς ἀηττήτους*
οὐδ' ὑφ' ἑαυτῶν ἦν νικᾶσθαι>[h] *διὰ τὸ πανταχοῦ τῆς ἀκρότητος τὴν παρ*[i] *αὐτοῖς ἀκρί-*
βειαν ἔχεσθαι. [26] *δεῦρο τοιγαροῦν, ἡλικία πᾶσα καὶ φύσις, συνερανίσασθέ μοι τὰ πρὸς*
τὸν ἔπαινον, καὶ ἀγῶνα καλὸν ἀγωνίσασθε πρὸς ἀλλήλους — ἄνδρες ὁμοῦ καὶ γυναῖκες,
νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, ἱερεῖς καὶ λαός, οἱ μοναδικοὶ καὶ
μιγάδες, οἱ τῆς ἁπλότητος καὶ τῆς ἀκριβείας, ὅσοι τῆς | *θεωρίας καὶ ὅσοι τῆς* 142[1]
πράξεως· ὁ μὲν[k] *ἐπαινείτω τὸ ἐν νηστείαις καὶ προσευχαῖς οἷον ἀσώματόν τε καὶ ἄϋλον·*
ὁ δὲ[l] *τὸ ἐν ἀγρυπνίαις καὶ ψαλμῳδίαις εὔτονον καὶ ἀήττητον· ἄλλος τὸ ἐν προστασίαις*
τῶν δεομένων· ἄλλος τὴν πρὸς[m] *τὸ ὑπερέχον ἀντιτυπίαν ἢ πρὸς τὸ ταπεινὸν συγκατά-*
βασιν· αἱ παρθένοι τοὺς νυμφαγωγούς· αἱ ὑπὸ[n] *ζυγὸν τοὺς σωφρονιστάς· οἱ τῆς ἐρη-*

k εἴ τι δεῖ τὸ ἀνείκαστον καὶ οὕτως εἰκάσει· τὸν παρ' ἄλλοις εἰκασμὸν ἀναστρέψαντα in margine addidit corrector coaevus (non C[2]), haec omittit R | *l ἑκάστη* R | * Baruch 3, 36 | *m ὑπ'* add R | *n μετὰ δὲ ταῦτα* R | *o τὴν* add R Gen 1, 26 | *p κατα* R | *q τὲ* C, *τε* R | *r ἁπάντων* R | *s τὲ* R | *t ἄλλα* C, *ἐλάττω* R | * Matth 5, 16 | *u λέγω δὲ* C, *οἷον* R | *v σεμνότητα* R | *w εὐκοσμίαν ἠθῶν* C, *ἠθῶν εὐκοσμίαν* R | *x ἀγῶνας* R | *y παύλου* R | *z* Corinth *α* 15, 31 | *a ἐρασθέ* (sic) R | *b κακεῖνοι* C | *c ἂν* R | *d ἄλλως* R | *e μετὰ τηλικαύτης* R | *f ἐπεὶ* R | *g μόνους* C, *μόνοις τούτοις* R | *h* pro < > R habet *ἑαυτοὺς νικᾶν οὐκ ἐνῆν* | *i παρ'* C, *ἐν* R | *k μὲν* R | *l δὲ* R | *m προς* R | *n ὑπο* R

μίας τοὺς πτερωτάς· οἱ τῆς ἐπιμιξίας τοὺς νομοθέτας· οἱ τῆς ἁπλότητος τοὺς ὁδηγούς·
οἱ τῆς θεωρίας τοὺς θεολόγους· οἱ ἐν εὐθυμίᾳ τὸν χαλινόν· οἱ ἐν συμφορᾷ τὴν παρά-
κλησιν· τὴν βακτηρίαν ἡ πολιά· τὴν παιδαγωγίαν ἡ νεότης· ἡ πενία τοὺς ποριστάς·
ἡ εὐπορία τοὺς οἰκονόμους. δοκοῦσί μοι καὶ χῆραι τοὺς προστάτας ἐπαινέσεσθαι καὶ
ὀρφανοὶ τοὺς πατέρας καὶ οἱ πτωχοὶ τοὺς φιλοπτώχους[o] καὶ τοὺς φιλοξένους[p] οἱ ξένοι
καὶ τοὺς φιλαδέλφους οἱ ἀδελφοί, οἱ νοσοῦντες τοὺς ἰατροὺς ἣν βούλει νόσον καὶ
ἰατρείαν, οἱ ὑγιαίνοντες τοὺς φύλακας τῆς ὑγείας, οἱ πάντες τοὺς πᾶσι τὰ πάντα γινο-
μένους, ἵνα κερ|δάνωσι πάντας ἢ πλείονας[q]. [27] ταῦτα μὲν[r] ἅπερ εἶπον — αὐτοὶ 142[2]
δῆλον ὅτι[s] καὶ οὐκ ἐγώ — διεξιέτωσαν ἕτεροι, ἐπεὶ[t] πρὸς τοῖς ἄλλοις καὶ τὸ παρ' ἑκάστῳ[u]
τούτων δοκοῦν πλεονεκτεῖν ἐν τοῖς λόγοις καὶ πρὸς τοὺς λοιποὺς παραλλάττειν λογικώ-
τερόν τινες ἐπισκέπτονται· τοῦ μὲν[v] γὰρ πρὸ πάντων τὸ λαμπρὸν καὶ διάτορον[w] τῆς
γλώττης θαυμάζουσι καὶ τὸ περὶ πᾶν εἶδος λόγου προσφυὲς καὶ κατάλληλον· θεολογεῖ
τε γὰρ ὑψηλῶς, καὶ τὰς φύσεις τῶν ὄντων ἐναργῶς παριστᾷ· ἐρρωμένος[x] δὲ κἀν τοῖς
ἐξηγητικοῖς ὅτι μάλιστα, οὐχ[y] ἧττον[z] ἀκμάζει τοῖς ἠθικοῖς· πανηγυριστής τε λαμπρό-
τατος, εἴ τις ἄλλος, <τῶν πάντων>, καὶ δεινὸν <αὖθις> πνεῖ περὶ τὰς ἀντιθέσεις καὶ
τὰ παλαίσματα, κἂν[a] αὐτὸς ἐπὶ πᾶσι μετριάζειν εἰδώς, ἀποπροσποιῆται τὸ μέρος τοῦτο
τῶν λόγων[b]· <ἅπερ> οὕτω μάλα τρανῶς τῷ μεγάλῳ πάντα διασαφεῖται, καὶ[c] <ἵν'
ἐμφαντικώτερον εἴπω,> διαζωγραφεῖται καὶ δείκνυται, ὡς δοκεῖν τὸν ἀκροατὴν ὁρᾶν
μᾶλλον ἤπερ[d] ἀκούειν τὸ παρ' ἐκείνου λεγόμενον· μόνος γὰρ τῷ ὄντι Βασίλειος τοῖς
ἀψύχοις λόγοις ψυχὴν ἐχαρί|σατο, ὅπερ ἄλλοις αὐτὸς ἐπιμαρτυρεῖ. [28] Γρηγορίου[e] 143[1]
δὲ τοῦ σοφοῦ τοῦτο δὴ σοφώτερον οἴονται[f], τὸ καθεστηκὸς[g] ἐν τῷ λόγῳ καὶ βεβηκός,
ἔτι δὲ τὸ τοῦ νοῦ μεγαλοπρεπὲς καὶ μετέωρον, καὶ τὸ ἐν ὄγκῳ βραχεῖ[h] πολλὴν κρύπτειν[i]
δύναμιν ὡς ὁ νάπυος κόκκος ἢ ὁ τίμιος μαργαρίτης, τὰ τῆς βασιλείας ἀφομοιώματα[k]·
ὃν ὀρθῶς τις εἴκασεν[l] ἤδη κἂν[m] οὐκ ὀρθῶς αὐτὸς εἶχεν, ἐξ οὐρανοῦ προκύπτοντα
φθέγγεσθαι, οὗ[n] λόγου μὲν παντὸς κρείττων,[o] ὁ γλυκασμὸς ἐκεῖνος τοῦ λόγου καὶ τὸ τοῦ
κάλλους ἀμήχανον, ὃ καὶ τεχνικῆς ὑψηλότερον μεθόδου καὶ πραγματείας, ὕψει καὶ
μεγέθει λόγου τοσούτῳ[p] τηλικαύτην ἡδύτητα καὶ χάριν ἀναμεμῖχθαι· πέρα δὲ παντὸς
θαύματος ἡ πανταχοῦ συμμετρία, στοχαζομένη μὲν εὐστοχώτατα τοῦ σκοποῦ τε καὶ τοῦ
καιροῦ, ἐν δὲ ζυγῷ καὶ σταθμῷ φράσιν ἅμα καὶ νόημα τιθεῖσα καὶ ταλαντεύουσα,
ὥσπερ κέντρῳ καὶ διαστήματι πρὸς κανόνα τινὰ καὶ διαβήτην ἐξακριβούμενα. [29] τοῦ δὲ
Χρυσορ[ρ]όου[q] τὸ ῥεῦμα καὶ τὴν ἀεικίνητον καὶ ἀκάματον πρὸς τὸ λέγειν φορὰν ὑπερ-
φυῶς καταπλήττονται, τὰ τῶν ψυχῶν[r] μὲν[s] | ὦτα <ζητοῦσαν καὶ> πρὸς[t] ἐκεῖνα 143[2]
τὴν πᾶσαν ποιουμένην[u] ὁρμήν, συνεφελκομένην[v] δ' ὅμως οὐχ[w] ἥκιστα καὶ τὴν θαυμαστὴν
εὐγλωττίαν, οὐ τεχνικήν τινα μᾶλλον δοκοῦσαν ἢ φυσικήν, οὐδ' ἀνθρωπίνην <μᾶλλον>
ἢ θείαν, δι' ἧς ἡ ἄμαχος <δύναμις> ἐκείνη τοῦ λόγου θεραπεύουσα πρότερον τὰς σω-

o φιλοπτόχους R | *p* ξένους R | *q* Corinth α 9, 19 | *r* μὲν R | *s* δηλονοτι CR | *t* ἐπεῖ R (sic R constanter) | *u* ἑκάστου R | *v* μὲν R | *w* C^m et R^m βα͞ id est βασιλ(ε)ίου | *x* ἐρρωμένως R | *y* οὐχ' R | *z* ἧττων R | *a* κἀν C | *b* τὸν λόγον R | *c* και R | *d* ἢ R | *e* C^m et R^m γρηγορίου per scripturae compendium vel quemlibet casum alium | *f* οἴονται R | *g* καθεστηκὼς R | *h* βραχὺ R | *i* κρύπτει R | *k* Matth 13, 31 45 | *l* τις εἴκασεν C, εἴκασέ τις R | *m* κἂν R, κἀν C | *n* et ante et post οὗ punctum ponit C, recte quo modo intellegenda sit oratio monens *Lagarde* | *o* κρεῖττον R | *p* τοσοῦτον R | *q* C^m et R^m χρυσοστόμου per scripturae compendium | *r* πιστῶν R | *s* μὲν R | *t* προς R | *u* ποιούμενα R | *v* συνεφελκόμενα R | *w* οὐχ' R

ματικὰς ἀκοὰς οἱονεὶ πυλωρούς τινας λίχνους καὶ ἀναιδεῖς, οὕτω δι' αὐτῶν εἰς τὰς ψυχικὰς καταρρεῖ· προσηνῶς καὶ ἠπίως, δίχα ψόφου καὶ ῥοίζου, τὸν ἐλαίου καὶ μέλιτος. τρόπον εἰσχεομένη καὶ τὰ βάθη καθαίρουσα, πιαίνει καρδίας καὶ πρὸς ὠδῖνας ἐγείρει νοητῆς εὐκαρπίας οἷς τε[x] *τὴν γραφὴν σαφηνίζει μετά τινος χάριτος ἀρρήτου καὶ θεσπεσίας καὶ οἷς ἑτέρως ὁ πάνσοφος τὰς ἀνθρωπίνας γνώμας ἐπάγεται.* [30]*τῶν τριῶν*[y] *δ' αὖ ὁμοίως ἐξυμνοῦσι καὶ ὑπεραίρουσι τῆς καρδίας τὸ πλάτος καὶ τῆς σοφίας τὸ χύμα*[z] *καὶ τὸ πάντων μὲν ἄριστα <τὰ πάντα> νοῆσαι, <πάντων> δὲ κάλλιστα*[a] *περὶ πάντων εἰπεῖν.*

[31]*Ἃ*[b] *τοίνυν εἴρηται, τὰ τοιαῦτα μὲν ὁ βουλόμενος σκοπείτω φιλοπονώτερον, ἐγὼ*
| δὲ τοῖς εἰρημένοις ἔτι προσθεὶς ὃ πλέον τῶν ἄλλων παρ' ἐκείνοις ἔχω θαυ- 144[1]
μάσας, παραχωρήσω τοῦ λέγειν τοῖς <ἀπαριθμεῖσθαι καθ' ἕκαστα τὰ πάντα> προθυμουμένοις[c] *ὡς ἂν μὴ τὸ παραδεδομένον ἡμῖν ὑπ' ἐκείνων μέτρον τοῦ λόγου διὰ τὴν καλὴν περὶ τὸν ἔπαινον αὐτῶν ἀπληστίαν*[d] *λυμήνωμαι*[e]*.* [32]*τί δὲ τὸ καθ' ὑπεροχὴν ἐμοὶ θαυμαζόμενον; τὸ καθ' ὑπερβολὴν αὐτοῖς σπουδαζόμενον; ἡ τῶν ἀνθρωπίνων ψυχῶν κηδεμονία*[f] *καὶ πρόνοια, καθ' ὃ*[g] *καὶ μᾶλλόν φαμεν*[h] *τὴν πρὸς τὸ θεῖον ὁμοίωσιν τούτοις ἐξηκριβῶσθαι· τὸ μὲν γὰρ ἕκαστον σῶσαι τὴν ἰδίαν ψυχὴν*[i] *καὶ τὸν βίον ἀσφαλῶς παρελθεῖν μετὰ τῶν ἀνθράκων καὶ τῶν παγίδων ὧν ἐν μέσῳ στρεφόμεθα, οὔπω τι*[k] *σεμνὸν οὐδὲ μέγα, ἀλλὰ πλείστοις μὲν κατορθούμενον, ἀναγκαίως δὲ πᾶσι χριστιανοῖς ὀφειλόμενον· τὸ δὲ καὶ τὸ*[l] *τῶν ἄλλων ζητεῖν καὶ σπουδάζειν κερδῆσαι τὴν τῶν πέλας ὠφέλειαν, τοῦτο ἔργον ψυχῆς θεοειδοῦς καὶ μεγάλης καὶ Χριστὸν <ὡς ἐφικτὸν> μιμουμένης, τὸν λύτρον ἑαυτὸν <καὶ ἀντάλλαγμα>*[m] *ὑπὲρ τῆς τοῦ κόσμου*
παρασχόντα ζωῆς. | πῶς οὖν περὶ τοῦτο τὰ τῶν πατέρων ἔχει καὶ διδασκάλων, 144[2]
σκοπήσωμεν. [33]*σκοπῶμεν δὲ οὕτως. ὑπέστη θεῷ τὸ πᾶν τόδε*[n] *διὰ τὸν εἰκόνι τιμηθέντα θεοῦ, ἐσαφηνίσθη δὲ παρὰ τούτων ἡ φύσις ἑκάστου τῶν παραχθέντων*[sic] *ἐπὶ φωτισμῷ τῆς εἰκόνος καὶ τῇ διὰ τῶν κτισμάτων ἐπιγνώσει τοῦ κτίσαντος· οὐρανοὶ μὲν γὰρ διηγοῦνται δόξαν θεοῦ*[o]*, μετὰ κάλλους τοσούτου καὶ μεγέθους ὁρώμενοι, οἱ δὲ*[p] *καὶ τοὺς οὐρανοὺς καὶ τὴν γῆν καὶ τὸν ὁρώμενον κόσμον καὶ τὸν ἀόρατον τρανῶς ἐξηγοῦνται ὅπως ἕκαστον ἔχει θέσεώς τε καὶ τάξεως καὶ ὅπως δυνάμεως, περὶ τί τε*[q] *χρησιμεύει τῇ τῶν ἀνθρώπων ζωῇ, καὶ τίς ὁ λόγος τῆς τούτου δημιουργίας, ὡς οὐχ*[r] *ἧττον αὐτοῖς ἢ ἐκείνοις ἁρμόζειν τὸ ψαλμικὸν Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν*[s] *<, ὃ καὶ περὶ τῶν ἀποστόλων ὁ ἀπόστολος*[t] *ἐξεδέξατο>. διέθετο τοῖς δούλοις αὐτοῦ διαθήκας — παλαιάν τε καὶ νέαν — ὁ τῶν ἀμφοτέρων θεός, ἵνα εὖ ἡμῖν γένηται, ἐὰν ἀκοῇ ἀκούσωμεν καὶ ἐν τοῖς προστάγμασιν*
αὐτοῦ πορευθῶμεν· οἱ δὲ[u] *τὰς | <θεϊκὰς> ἐντολὰς μετ' εὐγνωμοσύνης <ὅσης>* 145[1]
ἐδέξαντο, καὶ τοῦτο μέν[v]*, περὶ τὴν αὐτῶν ἐργασίαν φιλοπονήσαντες ὡς ἄλλος οὐδεὶς <περὶ οὐδὲν ἕτερον>, τοῦτο δέ*[w]*, μελετήσαντες <ἐπιμελῶς> ἐν αὐταῖς <ὑπὲρ ἀνθρωπίνην ἅπασαν φύσιν> ἡμέρας <τε> καὶ νυκτός, πρῶτα μὲν*[x] *μεσιτεύουσιν ἀμφοτέραις ταῖς*

x *τὲ* R | *y* *γ´* C¹ in margine minio | *z* *χύμα* ex *χῦμα* R | *a* *πάντων δὲ κάλλιστα* C, *κάλλιστα δὲ* R | *b* *ὃ* C | *c* *βουλομένοις* R | *d* *ἀπλειστίαν* R | *e* *παρέλθομεν* R (sic) | *f* *κηδεμονοία* R (at voluit R *κηδεμονία*) | *g* *καθ' ὃ* R, *καθὸ* C | *h* *μᾶλλον φαμὲν* R | *i* Cᵐ et Rᵐ *γνώμη* | *k* *τί* R | *l* *τὸ* om R | *m* pro < > R habet *φιλανθρώπως* | *n* *θεῷ τὸ πᾶν τόδε* C, *τόδε τὸ πᾶν τῷ θεῷ* R | *o* Psalm *ιη* 2 | *p* *δὲ* R | *q* *τὲ* R | *r* *οὐχ'* R | *s* Psalm *ιη* 5 | *t* Rom 10, 18 | *u* *δὲ* R | *v* *μὲν* R (et sic plerumque in R, non constanter) | *w* *δὲ* R | *x* *μὲν* R

διαθήκαις, καὶ συμβιβάζουσιν ἄριστα τὸ γράμμα τῷ πνεύματι καὶ πρὸς συμφωνίαν
συνάγουσι τὴν χάριν τῷ νόμῳ, τὸ μεσότοιχον[y] τοῦ φραγμοῦ καθελόντες, καὶ τοῦ μὲν[z]
περιελόντες τὸ κάλυμμα, τῆς δὲ[a] τῇ λαμπρότητι τὴν νομικὴν σκιὰν περιλάμψαντες,
καλῶς τε[b] τοῖς τύποις τὴν ἀλήθειαν ἐφαρμόσαντες καὶ οὕτως ἀναπλήρωσιν δείξαντες
ταύτην ἐκείνης, ἀλλ' οὐ κατάλυσιν· εἶτα καὶ πρὸς τὴν κατ' αὐτὰς ζωήν τε καὶ πολιτείαν
τὸν ἡμέτερον βίον ὁδηγοῦσι καὶ κατευθύνουσι, τά τε ἤθη κοσμοῦντες καὶ τοὺς τρόπους
ῥυθμίζοντες καὶ παντοίως ἡμᾶς χειραγωγοῦντες ἐπὶ τὰ κρείττονα. [34] τί ἔτι; σαρκοῦται
θεὸς δι' ἡμᾶς· οἱ δὲ[c] τὸ τῆς οἰκονομίας μυστήριον — τίνα τε τρόπον καὶ κατὰ τίνα
λόγον ἐπραγματεύθη — γνωρίζουσι[d], καὶ | ὅτι τοῦτο κεφάλαιον τῆς μεγάλης 145[2]
ἐκείνης καὶ ἀπορρήτου[e] κενώσεως[f], ἡ <τοῦ σύμπαντος πλάσματος> πρὸς τὸν πρῶτον
Ἀδὰμ[g] διὰ τοῦ δευτέρου ἐπάνοδος. ἀποστόλους ἐκπέμπει; συναποστέλλονται· προφήτας;
συμπροφητεύουσιν· εὐαγγελιστάς; συνευαγγελίζονται· μᾶλλον δὲ <, εἰ χρή τι καὶ προσ-
φιλοτιμήσασθαι,> καὶ τὸ ἐκείνων εὐαγγέλιον αὐτοὶ σαφηνίζουσι. χαρίσματα διανέμει
(μηδὲ γὰρ τοῦτο παροπτέον, μεταξὺ κείμενον); καὶ τί τῶν χαρισμάτων ἐν τούτοις οὐκ
ἐθαυμάστωσε; δοξάζει διὰ θαυμάτων; κἀνταῦθα μοῖρα καὶ τούτοις οὐκ ἐλαχίστη, ὡς
ἔστι γνῶναι σαφῶς <ἐκ πολλῶν ὅτι μάλιστα τῶν ταῦτα διηγουμένων· ἔστι γὰρ οὐδεὶς
ὡς εἰπεῖν τῶν καὶ βραχύ τι λόγου μετειληφότων ὃς οὐ μάλιστα πάντων τὰ κατ' αὐτοὺς
ἐξυμνεῖ. μαθητεύει δι' ἐκείνων πάντα τὰ ἔθνη; διὰ τούτων δὲ τί καὶ τίνα τοῖς λόγοις>[h]
οὐκ ἄγουσιν οἱ σοφώτατοι, οὐ γεωμετρικαῖς ἀνάγκαις τοσοῦτον (ὃ δή φασιν) ὅσον
φυσικαῖς[i] καταπείθοντες, <μᾶλλον δὲ καὶ ἀμφότερα μεθ' ὑπερβολῆς θαυμαστῆς> καὶ
τῇ τε τῶν | πραγμάτων φωνῇ τῇ τε τῆς τέχνης πειθοῖ τὸν ἀκροατὴν ἑκατέρωθεν[k] 146[1]
ἐν ἀφύκτῳ χειρούμενοι. [35] τοῖς μὲν γὰρ αὐτόπταις[l] τοῦ λόγου καὶ ὑπηρέταις ἐβεβαίου
τὸν λόγον γένη[m] γλωσσῶν, ἑρμηνεῖαι[n] γλωσσῶν, ἰαμάτων χαρίσματα <, διακρίσεις
πνευμάτων> μετὰ τῶν ἄλλων σημείων τῶν ἐπακολουθούντων αὐτοῖς. τοῖς δέ[o], μηδ' ἐν
ἐκείνοις πλεῖστον ἀπολειφθεῖσι, τὸ πᾶν κράτος ἦν περὶ τὴν χάριν τοῦ λόγου καὶ τὴν
τῆς διαλέξεως δύναμιν, ὅση τε πνευματικὴ καὶ θεόπνευστος καὶ ὅση τῆς εὐεπείας[p] καὶ
τῆς περὶ τὴν φράσιν[q] σεμνότητος <, ὡς αὐτὸς φαίην ἄν· οὐκ ἀλόγως δ' ἂν (οἶμαι)
καὶ κομψότητος εἴποι τις, οὐ τῆς σοφιστικῆς καὶ φλυάρου, ἀλλὰ τῆς εὐτέχνου καὶ
γλαφυρᾶς>[r]· προσελήφθη γὰρ ἤδη καὶ τοῦτο παρὰ τῆς χάριτος, ἵνα τὸ λείπειν[s] ἔτι
δοκοῦν ἀναπληρωθῇ τῷ κηρύγματι καὶ μὴ διὰ παντὸς[t] ὀνειδίζοιτο παρὰ τοῖς φωνοῦσιν
ἐκ γῆς, τὸ ἰδιωτικὸν καὶ[u] ἀγράμματον· ἐπεὶ[v] γὰρ ὁ κόσμος οὐκ ἔγνω τὸν θεὸν διὰ τῆς
σοφίας <, ὅ φησι Παῦλος[w]>, εὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι
τοὺς πιστεύοντας· ὅ|θεν ἡ πρώτη τῶν ἰδιωτῶν ἐκλογὴ καὶ ἀποστολή. ἀλλ' <αὐτίκα 146[2]
μοι> βλέπε[x] τὴν καλὴν παρὰ πόδας ἀντιστροφήν· ἐπεὶ[y] γὰρ[z] πάλιν ὁ κόσμος οὐκ
ἐπέγνω τὸν θεὸν διὰ τῆς μωρίας ὡς ἔδει, εὐδόκησεν ὁ θεὸς διὰ τῆς ἐν τούτοις σοφίας
σῶσαι τοὺς πιστεύοντας· καὶ μέντοι[a] πολλοὺς <καὶ μικροῦ δέω πάντας εἰπεῖν τοὺς ἐξ

y Ephes 2, 14 | *z* μὲν R | *a* δὲ R | *b* τὲ R | *c* δὲ R | *d* διδάσκουσι R | *e* μεγάλης ταύτης καὶ παραδόξου R | *f* ἤγουν ἑνώσεως add R | *g* τῶν ἀνθώπων add R | *h* pro < > R habet τὸν ἑκάστου βίον διεξιόντας | *i* ἀληθιναῖς R | *k* ἑκατέρωθεν R | *l* Luc 1, 2 | *m* Cor α 12, 10 | *n* ἑρμηνείαι R | *o* δὲ R | *p* εὐγλωττίας R | *q* φρᾶσιν R | *r* in margine manus coaeva in R adscripsit haec: ἄλλος δ' ἁπλότητος εἶπεν, ἢ γλαφυρότητος | *s* λεῖπον R | *t* μέχρι παντὸς R | *u* ἰδιωτικὸν καὶ C, σπερμολόγον καὶ τὸ R | *v* ἐπεὶ R | *w* Corinth α 1, 21 | *x* ὅρα R | *y* ἐπεὶ R | *z* αὖ add R | *a* σώζει add R

ἐκείνου τοῦ χρόνου, ἤδη τε σέσωκε, καὶ εἰς ἔτι σῴζων οὐκ ἐπιλείπει> τοῖς σοφοῖς αὐτῶν [b]
δόγμασι καὶ διδάγμασι, τοὺς μὲν [c] <τῇ φυσικῇ καὶ γνησίᾳ> [d] τῶν νοημάτων ὥρᾳ [e] προ-
σαγομένοις [f], [g] τοὺς δὲ <τῷ ποικίλῳ τε καὶ παγκάλῳ> [h] τῶν ῥημάτων ἀγλαϊσμῷ [i]· φέρει
γάρ <που> καὶ ταῦτα κόσμον τινὰ τοῖς ὑποκειμένοις καρποῖς καὶ ὄψιν οὐκ ἄωρον, ὡς
ἂν [k] μηδ᾽ ἐνταῦθα τούτων ἐκστῶ, καθ᾽ ἅπερ φύλλα τοῖς κλάδοις ἐπισειόμενα. [36] εἶτα
ποῦ σοὶ [l] τὸ φύσημα, ὦ [m] σοφὲ κατὰ σάρκα [n], ὁ τὰς <λογικὰς ἡμῖν τέχνας καὶ τὰς ἐπι-
στήμας> [o] αὐχῶν [p] <μετὰ τῆς ὀφρύος καὶ τοῦ φρυάγματος, ὁ τὴν ποιητῶν> μεγαληγορίαν
<ἐπικομπάζων> ἡμῖν [q] μετὰ τῶν αἰσχίστων [r] θεῶν καὶ <τῶν ἀκοῆς σωφρονούσης
ἀ|ναξίων διηγημάτων, ὁ> τὴν [s] ἐν λόγοις [t] δεινότητα <μόνον οὐ προσκυνῶν, καὶ 147[1]
τῇ περιττῇ ταύτῃ θύων κομψείᾳ καὶ τερατείᾳ>, ἧς τὸ τέλος [u] ἀπάτη τὴν ἀκοὴν γοητεύ-
ουσα καὶ τῷ <κεχρωσμένῳ τῆς λέξεως τὸ δυσειδές τε καὶ ἄτοπον ἐπικοσμοῦσα τῶν
λεγομένων> [v]; [37] <ὁρᾷς ἐμμελῆ καὶ παναρμόνιον σύγκρασιν τοῦ τε νοῦ πρὸς τὸν λόγον,
καὶ τῶν ῥημάτων αὖ πρὸς τὰ πράγματα; ὁρᾷς ἀκολουθίαν ἀρίστην καὶ κάλλος κάλλει
συντρέχον καὶ ἀντιστίλβον εὖ μάλα, τῷ κρυπτομένῳ τε τὸ φαινόμενον, καὶ τῷ νοουμένῳ
τὸ ἀπηχούμενον>; ὁρᾷς τοὺς ἐμοὺς φιλοσόφους <ἅμα> καὶ ῥήτορας (εἰ δὲ βούλει καὶ [w]
ποιητάς — χωρὶς τῶν ψευσμάτων καὶ τῶν πλασμάτων —) ὁπόσον ἤδη τῶν σῶν περὶ
τὰ σὰ [x] διαφέρουσι; καὶ ὡς κανόνες εἰσί <τινες> τοῖς μαθήμασι πᾶσιν [y], ἀπηκριβωμένοι
καὶ ἄπταιστοι; ἐπὶ τίνι τοίνυν <ἔτι> κομπάσεις <ὡς ἐπ᾽ ἰδιάζοντί σου πλεονεκτήματι>;
ἰδοὺ γὰρ ᾧ μόνῳ μέγα [z] ἐφρόνεις κατὰ τῶν ἁλιέων ἡμῶν καὶ σκυτέων καὶ ἀμαθῶν,
οὐκέτι [a] σόν, ἀλλ᾽ ἡμέτερον, <καὶ | τόγε νεανικώτερον, οὐκ> [b] ἐν τοῖς ἄλλοις 147[2]
<μόνον> ἡμῖν ἐστὶν ἡ ἐγκύκλιος [c] ὅπλον ἀσφαλὲς καὶ σωτήριον, ἀλλὰ καὶ καθ᾽ ὑμῶν
αὐτῶν <ἤδη, τῶν πάλαι> δι᾽ αὐτῆς [d] ἡμῖν [e] πολεμούντων ἀλόγως [f], δεξιὸν ἀμυντήριον·
δῆλον ὅτι τῷ ῥήματι τοῦ θεοῦ στομωθεῖσα [g], ὃ τομώτερον [h] οἶδεν [i] ὁ λόγος ὑπὲρ πᾶσαν
μάχαιραν δίστομον [k]. [38] ὅσος γ᾽ οὖν ὁ κλόνος ὑμῶν, ὑπὸ τούτων ἄρδην συστρεφομένων;
ὅσος ὁ φόνος, διὰ τοῦδε τοῦ ξίφους <οὐ δι᾽ ἑτέρου, διὰ τοῦδε, φημί, τοῦ χθὲς ἔτι που
καὶ πρὶν> [l] ὑμετέρου, ὃ πάλαι [m] μὲν Δαβὶδ ὁ ἐμός, μετὰ [n] ταῦτα δέ τις τῶν σῶν [o] νεανι-
εύσασθαι λέγονται, τοὺς πολεμίους ἑκάτερος τοῖς ἐκείνων ὅπλοις ἀνῃρηκώς [p]; τοιγαροῦν
σύνετε, παιδεύθητε [q], πάντες οἱ τοὺς μύθους θαυμάζοντες, εἴ τι περ ὑμῶν ἔτι λείψανον,
ὅπως μὲν [r] <ἄνδρες ἄλκιμοί τε καὶ μάχιμοι, ὅπως δὲ παῖδες ἀγενεῖς [s] καὶ ἀνάλκιδες
μεταχειρίζονται τὰ πολέμια> [t], καὶ τίνα μὲν [u] λεόντων ὁρμήματα, τίνα δὲ πιθήκων κινή-

b τούτων R | *c* μὲν R | *d* τῶ add R | *e* κάλλει R | *f* προσαγομένοισ C^{1}, προσαγομένουσ C^{2}R. $B^{λ}$ C^{1} in marg minio, contra R^{m} γν^{ω} (i e γνωμολογικον??) | *g* R addit καὶ τῇ φυσικῇ τῆς ἀρετῆς ὡραιότητι· | *h* pro < > R habet τῇ | *i* ἀγλαϊσμῷ C, ἐπισπωμένους ἡδύτητι· R | *k* ἂν R | *l* σοι R | *m* ὦ R | *n* σοφὲ κατὰ σάρκα C, κατασάρκα σοφὲ R | *o* pro < > R habet εὑρέσεις μάτην | *p* R addit τῶν ἐπιστημῶν καὶ τεχνῶν· κἀκείνων γὰρ αἱ πλείους ἡμέτεραι. ὅτι τῶν | *q* R addit ἐνδεικνύμενος, | *r* in αἰσχίστων vocabulo αἰσ litteras C^{2} in rasura scripsit | *s* R addit ἄλλην | *t* κομψότητα καὶ add R | *u* τέλος C, σεμνὸν R | *v* pro < > R habet ἀπιθάνῳ τῶν μύθων προσάπτουσα πιθανότητα | *w* καὶ C, τοὺς R | *x* περὶ τὰ σὰ C, ἐν τοῖς σοῖς R | *y* πᾶσιν C, πᾶσι τοῖς σοῖς R | *z* μεγάλα R | *a* οὐκ ἔτι R | *b* pro < > R habet τὸ δὲ δὴ θαυμαστότερον, ὅτι μὴ μόνον | *c* ἐγκύκλιος C, παίδευσις R | *d* αὐτοῖς R | *e* R add πάλαι | *f* κακῶς R | *g* στομωθεῖσα R, στομαθεῖσα C | *h* Hebr 4, 12 | *i* εἶδεν R | *k* δύστομον R | *l* pro < > R habet τοῦ κατὰ τὸ δοκοῦν ὑμῖν | *m* πάλαι C, πρότερον R | *n* μετα C | *o* τις τῶν σῶν C, βρασίδας ὁ σὸς R | *p* ἀνῃρικώς R | *q* Psalm 2, 10 | *r* μὲν R | *s* αγεννεις apographum. vide quae armenische studien § 1096 de Clementis romani α 6, 2 dixi *Lagarde* | *t* pro < > R habet οἴδασι μάχεσθαι γίγαντες. ὅπως δὲ κώνωπες. | *u* μὲν R

ματα· τὰ γαρ τῶν ἐμῶν πάλιν φθέγξομαι. πρόσσχες[v] οὖν (εἰ δοκεῖ) τοῖς ἐμοῖς προμάχοις
<καὶ ἀριστεῦσιν>, ὁ ἐμοὶ <πρὸ τοῦ> πολεμῶν, καὶ δεῦρό <μοι, | δύστηνε> σὺ 148[1]
καὶ κακόδαιμον[w], ἵνα προσείπω σε κατὰ σέ, »παρ' ἔμ'[x] ἵστασο καὶ ἴδε ἔργον«. βάλλ' οὕτως
ὡς ὁρᾷς, εἴγε δύναιο[y]· εἰ δ' οὖν, ἀλλ' ὁμολόγει τὴν ἧτταν, καὶ ὑποχώρει τοῖς κρείττοσι,
πρίν τι κακὸν παθεῖν καὶ τοῖς <λοιποῖς> ἑλληνισταῖς ὅμοιον ὅσοι τούτοις προσέβαλον
ἐπὶ κακῷ τῷ σφετέρῳ· δεινὸν γάρ, δεινόν, εἰς[z] συμπλοκὴν <ἔριδος> τηλικούτοις ἥρωσιν
ἀντιφέρεσθαι. [39] *ἀλλ' οἱ μὲν τὴν ψευδώνυμον[a] γνῶσιν μεγαλαυχοῦντες ἡμῖν ἐκ ποδῶν,*
ἓν τοῦτο δράσαντες[b] μόνον[c], μᾶλλον δὲ παθόντες <σοφὸν> παρὰ τῆς ὄντως σοφίας,
ἧς <κατόρθωμα μέγιστον>[d] ἡ τῆς ἐκείνων πλάνης κατάλυσις, τοὺς δὲ[e] τοσοῦτον ἡ χάρις
διὰ[f] πάντων κοσμήσασα (πάλιν γὰρ ὁ λόγος εἰς τούτους ἐπανελθών, ἑαυτὸν αὐτοῖς
ἡδέως ἐπαναπαύσει) καὶ τὴν <γνῶσιν> τῶν θείων καὶ ἀνθρωπίνων[g] μυήσασα καὶ παν-
τοίως αὐτοὺς χαριτώσασα καὶ λαμπρύνασα[h], οὕτως εἰς τὴν τοῦ κοινοῦ[i] προστασίαν καὶ
τὴν τῶν ἁγίων ἐκκλησιῶν οἰκονομίαν προβάλλεται[k], ἵνα ἐν τῷ ὀνόματι[l] Ἰησοῦ Χριστοῦ
πᾶν γόνυ κάμψῃ[m] ἐπουρανίων | καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα 148[2]
γλῶσσα <ὁμοίως> ἑλληνίς τε καὶ βάρβαρος ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς εἰς δόξαν
θεοῦ πατρός, ὑπὸ διδασκάλοις οὕτω τελείοις καὶ πανταχόθεν[n] τὸ πλῆρες καὶ <τὸ>
ἄρτιον <ἔχουσι> πρὸς ἀπαρτισμὸν ἀγομένη καὶ τελειότητα, κἀντεῦθεν τὸ τέως διεσπασμέ-
νον σῶμα Χριστοῦ τὴν ἀρτιότητα λάβῃ, καὶ γένηται μία ποίμνη, εἷς ποιμήν[o], γινώσκων
τὰ ἴδια καὶ γινωσκόμενος ὑπὸ τῶν ἰδίων[p] <καὶ καλῶν τούτων ἕκαστον προσφόρως κατ'
ὄνομα, ὡς οὐδὲ μιᾶς ἔτι ξένης νομιζομένης φωνῆς, ἀλλὰ πάσης ἤδη συνήθους τῷ παντὶ
ποιμνίῳ γεγενημένης, ὅπερ οὖν καὶ κατώρθωται>[q] διὰ τὴν[r] τοῦ καλοῦ καὶ πρώτου ποι-
μένος φιλανθρωπίαν καὶ <τὴν τῶν ἐκείνου πρὸς δύναμιν ζηλωτῶν προθυμίαν>[s]· ὃς
καὶ νῦν <οὐδὲν ἧττον τοὺς ἀξίους[t] τῆς κλήσεως> πρὸς τὴν ἄνω μάνδραν[u] καλεῖ, ταῖς
<μεγάλαις> τούτων[v] φωναῖς οἷα σύριγξι χρώμενος, καὶ τὴν ἐν τόπῳ[w] χλόης[x] τρυφὴν
καὶ τὸ ζῶν τῆς ἀναπαύσεως ὕδωρ ὑπισχνεῖται καὶ δίδωσιν, ἐκπληρῶν εὐμαρῶς τὸ ἑαυτοῦ
θεῖον θέλημα διὰ τῆς[y] δεξιᾶς ὑπουργίας | καὶ συνεργίας <τῶν γνησίων τῶνδε 149[1]
θεραπευτῶν>, ἣν εἰς τὴν ἡμῶν σωτηρίαν <συνεργοῦντες αὐτῷ καὶ συντελοῦντες ἔτι δια-
τελοῦσι· καὶ οὐ πρὶν εὖ οἶδ' ὅτι τοῦτο πράττοντες λήξουσι πρὶν ἐκλείψοι τὸ πᾶν>[z].
[40] *τοιούτους ἡμῖν <τοὺς ἁγίους τούτους> ὁ τῶν ἁγίων θεὸς ἐχαρίσατο[a], <ὁ ἐνδοξαζόμενος[*]*
οὕτως ἐν τοῖς ἁγίοις αὐτοῦ>· τοῦτο <τὸ ἔργον, τοῦτο τὸ κέρδος>[b] τῆς εἰς τὴν παροῦσαν
ζωὴν τῶν μεγάλων ἐπιδημίας· οὕτως ὁ βίος ἀπώνατο τῆς αὐτῶν παρουσίας· οὕτω πρὸς
τὸν ἄνω κόσμον αὐτοὺς καὶ τὴν ἐκεῖ χαρὰν τῶν δικαίων παρέπεμψε, τοσούτων ἀρετῶν
δορυφορουμένους φαιδρότητι[c], τηλικαύταις χάρισι λάμποντας. [41] *τούτους ἔχομεν ἀνθρωποι*
μετὰ τὸν σωτῆρα σωτῆρας, μετὰ τὸν πλάστην δημιουργούς, μετὰ θεὸν εὐεργέτας καὶ

v πρόσχες R | *w* δαιμόνιε R | *x* ἐμ' R | *y* δύνασαι R | *z* λόγου add R | *a* ψευδόνυμον R Timoth α 6, 20 | *b* τοῦτο δράσαντες C, δράσαντες τοῦτο R | *c* σοφὸν add R | *d* pro < > R habet ἔργον | *e* δὲ R | *f* δια R | *g* R addit πραγμάτων γνῶσιν | *h* λαμπρύνασα C, δοξάσασα R | *i* κοινοῦ C, λαοῦ R | *k* προὐχειρίσατο (sic) R | *l* Philipp 2, 10 | *m* κάμψει R | *n* R addit ἔχουσι | *o* Iohann 10, 16 | *p* Iohann 10, 14 | *q* pro < > R habet ὃ δὴ καὶ γέγονε, | *r* R add πολλὴν καὶ μεγάλην | *s* pro < > R habet ἀγαθότητα | *t* R in marg per scripturae compendium ὡραῖον | *u* R add πάντας | *v* R add θείαις | *w* Psalm κβ 2 | *x* R add ἀμάραντον | *y* τούτων add R | *z* pro < > R habet συνεργοῦσι τῷ πλάσαντι | *a* ἐχαρίσατο C, τοὺς ἁγίους τούτους παρέσχετο R | * Psalm πη 8 | *b* pro < > R habet κατόρθωμα | *c* φαιδρότησι R

φύλακας τῶν ἡμετέρων ψυχῶν· οὗτοι τῆς ἡμῶν[d] πίστεως οἱ συνεκτικώτατοι στύλοι καὶ
τὰ μεγάλα ἐρείσματα, ἐν οἷς ἡ σοφία τὸν ἑαυτῆς οἶκον ἥδρασε[e] καὶ πύλας ᾅδου μη-
δέποτε[f] κατισχύσειν αὐτῆς ἀπεφήνατο[g]· οὗτοι μετὰ τοὺς ἱεροὺς[h] πατέρας ἡμῶν[i] οἱ ὑπὲρ
πάντας ἐκείνους[k] — φίλη γὰρ <οὐχ ἧττον> κἀμοὶ[l] ἡ ἐκείνων ἀλήθεια — | μετὰ τοὺς 149[2]
σεπτοὺς[m] ἀποστόλους οἱ τῆς οἰκουμένης διδάσκαλοι· τούτοις[n] ἡμεῖς πανηγυρίζομεν σή-
μερον, καὶ <μέντοι> πανηγυρίσωμεν[o]· ἀλλ' ὡς τούτοις δοκεῖ· δοκεῖ δὲ ἢ λέγοντάς τι
τῶν δεόντων ἢ πράττοντας· οὕτω γὰρ αὐτοὶ <μάλιστα> τὸ πνευματικῶς ἑορτάζειν
ὁρίζονται. [42] τὸ μὲν οὖν[p] δέον ἐν λόγοις ἐφ' ὅσον[q] ἐνῆν, τοῖς ἁγίοις παρ' ἡμῶν
ἀφωσίωται· ἀπέχουσι γὰρ ἤδη τὴν εὐφημίαν· εἰ δ' ἐπὶ τοσοῦτον <ἐνδεᾶ> τῆς ἀξίας[r],
καὶ οὕτως ἀγαπητόν, ἐπεὶ[s] κἀκείνοις[t] εὖ οἶδα φίλον, ὥσπερ καὶ θεῷ κατ' ἐκείνους
τὸ κατὰ[u] δύναμιν· δεῖ δὴ[v] τῆς ἐκ τῶν ἔργων ἔτι τιμῆς· εἰ μὴ χαλκὸς[w] αὐτοῖς [x]μάτην
ἠχῶν[y] λογισθῆναι βουλόμεθα[z]· λόγος γὰρ καὶ οὗτος ἐκείνων, ὡς οὐδεὶς αὐτοῖς λόγος[a]
τῶν παρ' ἡμῶν ἐπαίνων καὶ κρότων, ἀλλὰ τῆς τῶν ἡμετέρων ψυχῶν ὠφελείας καὶ
διορθώσεως· ὥστε μέγα μὲν ὁ λόγος αὐτοῖς[b] καρποφόρημα <(καὶ τί γὰρ ἄλλο τοιοῦτον;),
ἀλλὰ σὺν λόγῳ λεγόμενος>[c]. σὺν λόγῳ δ' ἂν λέγοιτο, καὶ τὴν πρᾶξιν συνεπαγόμενος·
ταύτης δὲ μονωθείς, οὐχ[d] ὅπως ἐκείνοις <τοῖς ἀπροσίτοις τὴν ἀρετὴν καὶ ἀδεκάστοις
| τὴν κρίσιν τοῦ καλοῦ καὶ τοῦ χείρονος>, ἀλλ' οὐδ' ἄλλῳ <γέ> τινι[e] τῶν μετρίων 150[1]
καὶ ἧττον φιλαρέτων καὶ φιλοθέων εὐαπόδεκτον δόξει τι[f] χρῆμα καὶ περισπούδαστον. εἴ
τι[g] τοίνυν ἐκείνοις χαρίσασθαι προθυμούμεθα (πάντως δὲ προθυμώμεθα[h]), ἑαυτοὺς
εὖ ποιήσωμεν· ποιήσομεν[i] δέ, τοῖς ἐκείνων λόγοις ἑπόμενοι (ὁ γὰρ βίος σαφῶς ὑψη-
λότερος ἢ κατὰ τὴν παρ' ἡμῶν μίμησιν), καὶ τούτοις ἐντρυφῶντες ἀεί, καὶ πᾶσαν πρᾶξιν
καὶ λόγον καὶ κίνημα καὶ νεῦμα καὶ διανόημα ὑπ' ἐκείνων καλῶς ῥυθμιζόμενοι καὶ
τυπούμενοι <οὕτω πρὸς ἀξίαν αὐτοὺς θεραπεύσομεν· οὕτω προσηκόντως πανηγυρίσομεν>·
οὕτω χαίρουσιν οὗτοι[k] παρ' ἡμῶν δοξαζόμενοι[l].

[43] ἀλλ' ὦ τοῦ <σύμπαντος> κόσμου φωστῆρες ἀειλαμπεῖς, τῶν τοῦ στερεώματος
τούτων κατὰ πολὺ[m] τιμιώτεροι, ὅσον οἱ μὲν[n] τὰς σωματικὰς <ἡμῖν> ὄψεις, ὑμεῖς δὲ
τὰς ψυχικὰς περιλάμπετε· ὦ μακαρία καὶ δευτέρα τριάς, τὸ τῆς πρώτης <καὶ> μεγάλης
τριάδος <ἀπεικόνισμα καὶ> ἀπαύγασμα, ἡ καὶ παρ' αὐτῆς δοξασθεῖσα καὶ ταύτην
| ἀντιδοξάσασα· <τριὰς ἁγίων ἁγία, μεγαλώνυμοί τε καὶ μεγαλόδοξοι, οἱ καὶ 150[2]
ἡμῖν τὴν καλλίστην ταύτην ἐπίνοιαν ὡς κατὰ γνώμην ὑμῖν ἐπὶ νοῦν τε πρότερον ἀγαγόντες,
καὶ θαυμασταῖς ἐμφανείαις βεβαιώσαντες ὕστερον, οὐχ ἵν' αὐτοί τι πλέον ἐντεῦθεν εἰς
τιμὴν ἀπενέγκοισθε (πῶς γάρ; ὧν τὸ θαῦμα τῆς δόξης τὸ ὑπερπλῆρες ἐν πᾶσιν ἔχει
καὶ τὸ ἀκρότατον), ἀλλ' ἵνα κἂν τούτῳ μᾶλλον τιμήσητε τήν τε μαθητείαν ὑμῶν καὶ
τὸν μαθητευθῆναι ταύτην ἠξιωμένον, ὃς οὐδὲν οὔτε μεῖζον οὔτε βέλτιον. ταύτης ἀπω-
νάμην τοῦδε τοῦ βίου· ὦ ποιμένες ποιμένων καὶ διδασκάλων διδάσκαλοι> — [44] μεμνήμεθα

d ἡμῶν C, καθ' ἡμᾶς R | *e* Proverb 9, 1 | *f* μὴ R | *g* Matth 16, 18 | *h* ἱεροὺς C, προσκυνητοὺς (sic) R | *i* ἡμῖν R | *k* αὐτούς R | *l* καμοὶ R | *m* σεπτοὺς C, ἱεροὺς R | *n* τούτους R | *o* πανηγυρίσομεν R | *p* οὖν C, τοίνυν R | *q* ἐφόσον C, ὡς R | *r* R add ἀπολειφθείσης (sic) | *s* ἐπεῖ R | *t* κακείνοις C | *u* κατα R | *v* δὲ R | *w* Corinth α 13, 1 | *x* εἰς add R | *y* ἠχῶν R | *z* C[1] in marg Χρυσοστόμου, R[m] τοῦ Χρυσοστόμου, uterque scripturae compendio utens | *a* οὐδεὶς αὐτοῖς λόγος C, οὐ λόγος αὐτοῖς R | *b* ὁ λόγος αὐτοῖς C, αὐτοῖς ὁ λόγος R | *c* pro < > R habet πῶς γὰρ οὔ. | *d* οὐχ' R | *e* τινὶ R | *f* τί R | *g* εἴ τι C, εἰ R | *h* προθυμούμεθα R | *i* ποιήσωμεν R | *k* ἐκεῖνοι R | *l* R add καὶ τιμώμενοι· | *m* καταπολὺ R | *n* μὲν R

μέν σου[o] τῶν ὑπὲρ <τοῦ καλοῦ>[p] λιθασμῶν ὡς ἐπέταξας, ἡμεῖς τὰ τέκνα τὰ σά, καὶ
σοῦ τῶν μεγίστων ὑπὲρ εὐσεβείας κινδύνων[q], καὶ σοῦ τῆς ἀδίκου διὰ[r] δικαιοσύνην
ὑπερορίας[s], τοῦ καινοῦ μαρτυρίου, τῆς ἀναιμάκτου ἀθλήσεως· μεμνήμεθα τῶν ἄλλων
καμάτων καὶ πόνων, οὓς πολλοὺς καὶ μεγάλους ὑπὲρ τῆς ἐκκλησίας ἀνέτλητε, ἀνατολῇ
καὶ δύσει μαχόμενοι· ὑμῶν γὰρ καὶ τοῦτο, ἵνα τὰ πέ|ρατα εἰρηνεύσητε· ἔχομεν 151[1]
δὲ καὶ τὰ πυξία τὰ ἅγια, τὰς πλάκας τὰς θεογράφους, τὴν διαθήκην τὴν τρίτην, ἣν
ἡμῖν ὁ θεὸς διὰ τῶν ὑμετέρων <ἐνθέων> γλωσσῶν ἐξεφώνησε, τὸν τοῦ νοῦ φωτισμόν,
<τὸν ἁγιασμὸν τῶν ψυχῶν,> τὴν τῶν ὀμμάτων τρυφήν, τὸ[t] μέγα <καὶ ἄμαχον τῶν
ἀνθρωπίνων ἀκοῶν> θέλγητρον, τὴν κοινὴν ἁπάσης αἰσθήσεως ἡδονὴν καὶ ἀπόλαυσιν,
ἔνθα κόρῳ τόπος οὐδείς, τὸν εὐδαίμονα κλῆρον καὶ πολύτιμον ὄλβον ὃν ἡμεῖς ἐξ[u] <ὑμῶν
τῶν ἡμετέρων> πατέρων διαδεξάμενοι σῴζομεν, καὶ ὃν τοῖς[v] μεθ' ἡμᾶς[w] παραπέμψομεν.
τοῦτο ἡμῖν νόμιμον[x] αἰώνιον, <μνημόσυνον γενεαῖς γενεῶν>, ἀθάνατον φυλάττον τὴν
ὑμετέραν δόξαν[y] τῷ βίῳ. [45]*μέμνησθε δέ μοι καὶ αὐτοὶ[z] τοῦ ποιμνίου, ὃ τοῖς ὑμετέροις*
λόγοις καὶ κόποις καὶ πειρασμοῖς κατηρτίσασθε, ἐξ ἀφανοῦς καὶ φαύλης ἀγέλης ὀνο-
μαστὸν καὶ περίβλεπτον <ὡς ἡ προαγόρευσις>[a] ὑμῶν ἀποδείξαντες, καὶ ταῖς ἐκκλησίαις
μὲν τὴν εἰρήνην, ἣν αὐταῖς <ἀπελθοῦσαν ἀνασωσάμενοι> κατελίπετε, συντηρεῖτε μέχρι
παντὸς <ἀνεπηρέαστον καὶ | ἀκύμαντον>, ἡμῖν δὲ βραβεύοιτε τὴν τῶν ἐλπίδων 151[2]
ἐπιτυχίαν, ἐντεῦθεν μὲν ταῖς χρησταῖς ὑποθήκαις ἀπανιστῶντες, αὐτόθεν δὲ χεῖρα ταῖς
πρεσβείαις ὀρέγοντες καὶ πρὸς ἑαυτοὺς εὐχερέστερον <πᾶσιν> ἕλκοντες <τρόποις>, ἵνα
καὶ αὐτοὶ δι' ὑμᾶς τε καὶ σὺν ὑμῖν[b] <ὡς ποθοῦμεν> αὐγασθῶμεν ἐγγύτερον καὶ τρα-
νότερον τῷ φωτὶ τῆς ἁγίας καὶ πανυμνήτου τριάδος, ὑπὲρ οὗ πᾶς λόγος ὑμῖν καὶ ἅπαν
ἔργον καὶ σπούδασμα· ὅτι αὐτῇ πρέπει πᾶσα δόξα <, τιμὴ καὶ προσκύνησις> εἰς τοὺς
αἰῶνας <τῶν αἰώνων>. ἀμήν.

179. *Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων | σάββατον ά τῶν* 152[1]
νηστειῶν. Εἰς τὴν μνήμην τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου καὶ τὴν τοῦ πρωτο-
σαββάτου ἡμέραν, ἐν Εὐχαΐτοις.

[1]*Ἀλλ' οὐ πένθιμος ἡμῖν ὁ καιρός; τούτου γέ τοι μαρτύριον σαφές, ἡ νηστεία,*
κατανύξεως πρόφασις ἡμῖν ἐπὶ σωτηρίᾳ παρὰ τῆς τοῦ θεοῦ δοθεῖσα φιλανθρωπίας.
πῶς οὖν ἄρτι ταύτης ἀρξάμενοι — χθὲς ἔτι που, χθές, καὶ οὐ πολὺ πρότερον — ἐλά-
θομεν ἀθρόον ἐνταῦθα πανηγυρίζοντες σήμερον; εἰ μὴ τοῦτο μᾶλλον λαθεῖν ἐστί, τὸ
φάναι τοσοῦτον πρᾶγμα λαθεῖν, ὃ καὶ προειδότες εὖ μάλα καὶ μετὰ λαμπρῶν ἐκ
μακροῦ προσδεχόμενοι τῶν ἐλπίδων, νῦν παρὸν ὥσπερ ἄξιον, φιλοτίμως ὑποδεχόμεθα.
καὶ τί γὰρ ἄν τις ἄλλο τῶν πάντων πρὸ τοῦ καλοῦ τούτου θήσοι καὶ τῆς προκειμένης
νῦν ὑποθέσεως, ἣν οὐδὲ μίαν ἴσμεν ἑτέραν ἀλλ' αὐτὸ τὸ κεφάλαιον τῶν παρ' ἡμῖν
ἀγαθῶν, αὐτόν φημι τοῦτον, τὸν ἡμέτερον ἄρχοντα καὶ τῆς περιχώρου ταύτης κληροῦχον
καὶ προστάτην καὶ | ἔφορον, τὸ μέγα θαῦμα τῆς οἰκουμένης, τὸν ἐν μάρτυσι 152[2]
περιβόητον, τὸν ἐν ἀριστείαις λαμπρότατον, τὸν ἐν θαύμασι μέγιστον, τὸν πολὺν ἐν

o C[1] in marg itemque R[m] *γρηγορίου*, uterque scripturae compendio utens | *p* pro < > R habet *αὐτῆς* | *q* C[1]R in marg *Βασιλείου* per compendium scriptum | *r* *δια* R | *s* C[1]R in marg *Χρυσοστόμου* per compendium scriptum | *t* *τῶν ἀκοῶν* add R | *u* *ἐκ* R | *v* *ταῖς* R | *w* *ἡμᾶς* C, *ἡμῶν γενεαῖς* R | *x* *μνημόσυνον* R | *y* *δόξαν* C, *μνήμην* R | *z* *αὐτοῦ* R | *a* pro < > R habet *κατὰ τὴν προφητείαν* | *b* *ἡμῖν* R

εὐεργεσίαις, τὸν ἀσύγκριτον ἐν δόξῃ καὶ ἀπαράμιλλον· οὗτος ἐκ περάτων εἰς πέρατα
κηρύττεται νῦν· τούτῳ κτίσις ἅπασα σήμερον περιχαρῶς ἑορτάζει, ὅσον τε τὴν γῆν
οἰκεῖν ἔλαχε καὶ ὅσον οὐράνιον[sic], ὅτι καὶ ἄγγελοι πάντως ὅσῳ φιλόθεοι, τοσούτῳ καὶ
φιλομάρτυρες, ἐπειδήπερ καὶ μάρτυρες ὑπὲρ θεοῦ καὶ θεοῦ. [2] ἀπέχει τοίνυν τὰ γέρα
καὶ παρὰ ἀγγέλων ἄξια καὶ παρὰ ἀνθρώπων ὁ καὶ ἀμφοτέροις θέατρον ἐν καρτερίᾳ
γενόμενος, καὶ οὐδὲν ὡς ἐπίπαν ὅτι μὴ οὗτος, εἴτε καὶ οὗτος, διὰ τιμῆς καὶ θαύματος
ἄγεται πανταχοῦ μὲν καὶ πάντοτε, νυνὶ δὲ μᾶλλον κἀνταῦθα ἐν τῇ ἑαυτοῦ* καὶ ἡμέρᾳ
καὶ παροικίᾳ, ἃς αὐτὸς ἑαυτῷ καθ' ἅπερ τινὰ λαμπρὰ νικητήρια θαυμασταῖς ἀριστείαις
καὶ παραδόξοις τερατουργίαις ὑπερφυῶς προσεκτήσατο. ἐπεὶ δ' οὖν εὖ ποιοῦντα συνῆλθε
νῦν εἰς ἓν καὶ συνέδραμεν ὅ τε | τόπος καὶ ὁ καιρός, περὶ τοῦτό που μὲν πρό- 153[1]
τερον διέξιμεν ἐν ὀλίγῳ, εἶτα δὲ καὶ περὶ τοῦ χρόνου βραχέα φιλοσοφήσομεν, ὅπως τε
καὶ πόθεν αὐτοῖς παρὰ πάσας χώρας καὶ ὥρας ἡ περὶ τὸν στεφανίτην τοῦτον συγκλή-
ρωσις, καὶ τίς ἐπ' ἀμφοτέροις ὁ λόγος τῆς οὕτως ἐξαιρέτου πρὸς αὐτὸν οἰκειώσεως.
[3] ἀλλ' ὢ τί ποτε μοὶ τοῦτο συνέπεσε; ποῦ δὴ φέρομαι; καὶ τί πράττειν ὥρμημαι; πε-
ριττὸς ἐγώ τις ἄρα καὶ μάταιος, εἰ ξένος ὢν ὑμῖν τοῖς αὐτόχθοσι, καὶ οὐκ ἔπηλυς
μόνον, ἀλλ' ἔτι καὶ νέηλυς περὶ τῶν ὑμετέρων ὑμᾶς ἐπιχειρῶ τι διδάσκειν, οἳ ταῦτα
μέλλετέ που σαφέστερον εἰδέναι ἢ ἑαυτούς, οὐ μόνον, ὅτι ἐγχώριοι καὶ διὰ τοῦτο τῶν
οἴκοι πάντως εἰδήμονες, ἅτε καὶ φιλοπόλιδες, ἀλλ' ὅτι καὶ τόνδε τὸν ἐξ ἀρχῆς ὑμέτερον
πολιοῦχον, τὸ μέγα παρὰ πᾶσι πρᾶγμα καὶ ὄνομα, αὐτοὶ πλουτήσαντες ἄνωθεν ὡς
οἰκεῖον ὄντως κειμήλιον τὴν ὑμετέραν κοσμοῦντα διαφερόντως καὶ πολλὰς ἐγγύθεν τὰς
χάριτας παρ' αὐτοῦ καθ' ἑκάστην αὐτοί τε δρεπόμενοι | καὶ δρεπομένους ἄλλους 153[2]
δρῶντες, ἀκριβέστατα πάντων* παρ' αὐτῆς τῆς πείρας εἰκότως ἴστε μαθόντες, ὡς τοῖς
ἄλλοις μὲν πᾶσι διδασκάλους καὶ κήρυκας ὑμᾶς τούτων εἶναι, αὐτοὺς δὲ μὴ δεῖσθαι
μηδενὸς τοῦ διδάξοντος. [4] οὐκ εἰς δέον οὖν ὁ λόγος (ὡς ἔοικε) τὰς ἀκοὰς ὑμῖν ἀπο-
κναίσει, περὶ τῶν ἄγαν γνωρίμων καὶ προδήλων διεξιών· *ὀχληρὸν γὰρ οὕτως οὐδὲν ὡς
ἡ τῶν ἤδη καλῶς προεγνωσμένων ἀκρόασις· οὐ μὴν ἀλλ' ὡς πρὸς εἰδότας δήπου
τῷ λόγῳ καὶ αὐτὸς χρήσομαι, οὐ διδασκαλίαν, ἀλλὰ ἀνάμνησιν, οὐδὲ διήγησιν, ἀλλὰ
κεφαλαίωσιν τὴν διάλεξιν θέμενος, ἵν' ὁμοῦ καὶ τῷ θείῳ μάρτυρι τὸ καθῆκον καὶ ὑμῖν
τοῖς φιλεόρτοις καὶ φιλομάρτυσι τὸ εἰκὸς ἐκπληρώσω. εἰ δέ τι καὶ πλέον, οὐχ ὑμῶν
χάριν, ἀλλὰ τῆς τούτων ἕνεκεν ὠφελείας τῶν μακρόθεν ἐνταῦθα καὶ πολλαχόθεν συν-
δραμόντων εἰς τὴν πανήγυριν, ἐν οἷς πλῆθος οὖσι τοσοῦτον εἰκός τινας χρῄζειν διδαχ-
θῆναί τι πλέον ὧν οἴκοθεν γινώσκοντες ἦλθον. ἀρχὴν δ' ἕξει ταύ|την ὁ λόγος 154[1]
ἣν καὶ τὰ πράγματα, δηλαδὴ τὴν ἐντεῦθεν ὅτι κἀντεῦθεν. [5] οὗτος οὖν, ὦ παρόντες,
ὁ ὑπερφαὴς καὶ ὑπέρλαμπρος ἐν ἀστράσιν ἥλιος, ὁ τοῦ χοροῦ δῆλον ὅτι τῶν μαρτύρων
ὑπεραστράπτων, ἀνέσχε μὲν ἔνθεν ἀπὸ τῆσδε τῆς ὑμετέρας, οὐκ οἶδα πηλίκης τε καὶ
πόσης εὐαρεστήσεως τηλικοῦτον μισθὸν ἀντιλαβούσης θεόθεν, ὡς αὐτοί τε μαρτυρεῖτε
παναληθέστατα καὶ τὸ καλὸν τῆς γενέσεως ἐκεῖνο χωρίον, ἐνταῦθα καὶ ἔτι παρ' ὑμῖν
θεωρούμενον μετὰ τῆς φερωνύμου προσηγορίας καὶ συνηγόρου τῷ πράγματι. οὕτω δὲ
φαιδρὸν εὐθὺς ἔλαμψε, καὶ οὕτως αὐτίκα μετὰ τὴν ἡλικίαν τε καὶ τὸν ἔφηβον τὰ πάντα

2 ἑαυτοῦ correctum ex αὐτοῦ C *Studemund* | 3 πάντων C^2, πάντα C^1 *Studemund* | 4 C^m γνώμη | 5 C^m ἡ γέννησις *Studemund*

κατέσχε τῷ περὶ αὐτὸν θαύματι, ὡς ἀμφοτέραις ἅμα ταῖς τάξεσι (ταῖς τε οὐρανίοις
φημὶ καὶ ταῖς ἐπιγείοις) περισπουδαστότατον χρῆμα γενέσθαι καὶ περιμάχητον, πρὸς
ἑαυτὰς ἑκατέρων τὸν γεννάδαν ἐφελκομένων καὶ μέγα ποιουμένων ἀγώνισμα, ποτέρα
τὴν ἑτέραν προφθάσει τὸ καλὸν ἐκεῖνο καὶ ἀξιέραστον ἁρπάσασα θή|ραμα. 154²
[6] μερίζεται τοίνυν ταῖς δυσὶν ἀναλόγως, ὡς τῷ πλούτῳ τῶν ἀρετῶν τῶν ἑκατέρᾳ καταλ-
λήλων καὶ φίλων, καὶ ἀμφοτέραις ἔχων ἀρκεῖν, καὶ τῇ μὲν κάτω στρατείᾳ κατὰ σάρκα
διὰ τὴν ῥώμην, τῇ ἄνω δὲ κατὰ πνεῦμα διὰ τὸ κατ' εἰκόνα στρατολογεῖται, τὸ σολο-
μώντειον* ἄντικρυς δείξας ἐπὶ τῶν ἔργων, καὶ δοὺς μερίδα τοῖς ἑπτὰ καί γε τοῖς ὀκτώ,
πλὴν οὐκ ἴσην οὐδὲ ὁμοίαν, ἀλλὰ τοῖς μὲν ἀπὸ μέρους καὶ κατά τινας καιροὺς τετα-
γμένους, ἡνίκα πρὸς πολέμους καὶ μάχας στρατιωτικῶν χειρῶν ἔδει καὶ δραστηρίου
τόλμης Ῥωμαίοις, τοῖς ὀκτὼ δὲ πάντα καὶ ὅλον (ὃ δή φασι) προσαναθεὶς ἑαυτόν, κἀκεῖ
τὸ ἑαυτοῦ πολίτευμα* ἔχων, καὶ ζῶν πρὸς τοὺς ἐκεῖθεν νόμους καὶ τὰς ἐλπίδας, ὅτι
καὶ τοῦτο μᾶλλον ἤπερ ἐκεῖνο πατρικὸς αὐτῷ κλῆρος, εὐσεβεῖν ἐν ἔργῳ καὶ λόγῳ καὶ
μηδὲν τῆς ὑγιοῦς πίστεως καὶ τῶν αὐτῆς θεσμῶν προτιθέναι. [7] ταύτῃ γοῦν καὶ ἐπί-
φθονον τὸ καλόν, ὡς ἀεὶ καὶ νῦν γίνεται, καὶ ἀντιστρατεύεται μὲν ἡ πονηρία τῷ
ἀγαθῷ, καὶ διωγμὸν ἡ ἀσέβεια κατὰ τῆς εὐσεβείας ἀνα|κινεῖ· πειρᾶται δὲ πρῶτον 155¹
ὥσπερ ἐν παρατάξει τοὺς προμάχους αὐτῆς καταβαλεῖν ἢ ἑλεῖν· οὐ γαρ ἂν ἄλλως
ταύτῃ προχωρῆσαι τὸ ἔργον καὶ τὸ στρατήγημα. ἐπεὶ δ' ὁ μάλιστα πάντων φοβερώτατος
αὐτῇ καὶ δεινότατος οὗτος ἦν ὁ γενναῖος, ἐπ' αὐτὸν ὅλη φέρεται, καὶ τούτῳ τὴν πᾶσαν
ἐπαφίησι δύναμιν ὡς εἰ τοῦ καρτερωτάτου κρατήσειε, σὺν οὐδενὶ λοιπὸν πόνῳ περιε-
σομένη τῶν ἄλλων. ὁ δὲ τοσοῦτον ἐδέησε πρὸς τὸ τοῦ κινδύνου μέγεθος ἐκπλαγῆναι καὶ
μαλακώτερόν τι φρονῆσαι ἢ ταπεινότερον βλέψαι τῆς ἐν τοῖς πολέμοις συνήθους μεγα-
λοφροσύνης καὶ γενναιότητος, ὥστε δεῖν ἔγνω κατὰ τοὺς νεανικωτάτους τῶν ἀριστέων
μὴ ἀτρεμεῖν ἑστὼς μηδὲ μένειν ἄρξαι μάχης τοὺς ἐναντίους, ἀλλ' αὐτὸς ἐκείνοις προεμβαλεῖν
ἐπελάσας, καὶ φανερὸν αὐτοῖς καταστῆσαι τὸ φιλοκίνδυνόν τε τῆς γνώμης καὶ τὸ τῆς
ὁρμῆς ἀνυπόστατον. [8] ἀλλὰ γὰρ ἔδει πάντως τὸν καὶ λατρεύοντα Λόγῳ καὶ στρατευόμενον
καὶ ὑπὲρ Λόγου τοιαῦτα πολεμη|σείοντα μηδέν τι πράττειν ἀλόγως, μετὰ λόγου 155²
δὲ πάντα τοὐναντίον καὶ διασκέψεως· ὅθεν ἄρα καὶ σκέπτεται σκέψιν εὐλογωτάτην,
μήποτε ἀβούλητον εἴη θεῷ, ὑπὲρ οὗ καὶ οἱ κίνδυνοι, ἡ πρὸς τοὺς κινδύνους αὐτομολία
καὶ τὸ (δέον μᾶλλον ὑποχωρεῖν κατὰ τὸ ἐπίταγμα) ἑαυτὸν τοῖς δεινοῖς ἐθελοντὴν
ἐπιρρῖψαι· αἰτεῖ δὴ σημεῖον καὶ οὗτος ὡς Γεδεὼν ἐκεῖνος τὸ πρότερον, κατ' Ἀλλοφύλων
μέλλων ὁρμᾶν· αἰτεῖ, καὶ λαμβάνει* κατὰ γνώμην ὁμοίως ὡς ἐπεθύμει καὶ τὸ σημεῖον
ὡς λίαν τῷ μαρτυρικῷ σκοπῷ πρέπον. [9] ἐπὶ τὴν παλαιὰν τῆς κακίας ῥίζαν ἐκείνην
καὶ τὴν πρώτην ταύτης καταβολὴν ἀνατρέχει τῷ λογισμῷ, καὶ τὸν δεινὸν ἀρχιτέκτονα
τῶν κακῶν ἐννοεῖ, τὴν κατὰ τῶν πρωτοπλάστων τε μηχανὴν καὶ τὸν κακότεχνον δόλον
καὶ τὸ πονηρὸν ὄργανον εὐκαίρως ἀναλογίζεται· εἶτα πρὸς ἐκεῖνον τὴν ὁρμὴν ἐπιστρέψας
σὺν δικαίῳ θυμῷ ὡς ἀρχέκακόν τε καὶ πρῶτον τοῦ ἀνθρωπίνου γένους πολέμιον, τοὺς
ἀγα|θοὺς κἀνταῦθα πολεμιστὰς δεῖν ᾠήθη μιμήσασθαι, καὶ ὡς ἐφ' ἱππότην 156¹
ἀντίπαλον οἷος πολλαχοῦ κἀν τοῖς ὕδασι γεγραμμένος ὁρᾶται, ἀξίῳ καὶ πρέποντι
κεχρημένος ὀχήματι — ὡσπεροῦν οἰκητηρίῳ τὸ πάλαι, καὶ νῦν δὲ πολλάκις — τῷ

6 Ecclesiastes 11, 2 | 6 Philipp 3, 20 | 8 Iud 6, 36 | 8 Matth 7, 8

σκολιῷ καὶ πορείαν καὶ ψυχὴν ὄφει μετὰ ῥύμης ἐνεχθῆναι τῆς σφοδροτάτης, κἂν μὴ
λαβὴν ἐκεῖνος τέως παρέχοι, τῷ οἰκείῳ σκότῳ κρυπτόμενος (ὥσπερ νόμος ἐκείνου),
τοῦτον δὴ τὸν κάκιστον ἵππον μετελθεῖν* πρότερον, ἐν αὐτῷ τε διάπειραν τοῦ θείου
θελήματος λαβεῖν ἱκανήν, ὡς ἂν εἰ προβαίη τῷ γενναίῳ τὸ ἐπιχείρημα, καὶ θανα-
σίμως οὗτος πληγείη, ἀποσεισάμενος ἄνωθεν αὐτίκα τὸν ἐπιβάτην ἢ λιπὼν ἄνιππον, εἰ
μὴ τυχὸν ὀχούμενος τύχοι (ἵν' εἴπω τι καὶ γελοίως περὶ γελοίου ἱππότου), εὐεπιχεί-
ρητον μᾶλλον θῇ καὶ εὐχείρωτον, ἀσθενέστερον ἤδη καὶ μετὰ τοῦ ζόφου γενόμενον,
ἐντεῦθεν δὲ πρὸς ἐκεῖνον ἤδη τραπέσθαι καὶ ὡς πεζῷ καὶ ταπεινοτέρῳ πολύ τι ῥᾷονι
χρή|σασθαι σὺν πλείστῃ καταφρονήσει. [10] αὕτη μὲν ἡ ἐπίνοια καὶ ἡ βουλὴ τοῦ 156[2]
ἀνδρός, ἀνδρικωτάτη τῷ ὄντι καὶ σοφωτάτη, τὰ δ' ἐπὶ τούτοις αὐτοὶ καὶ διηγεῖσθε καὶ
δείκνυτε· οὐ γὰρ μακρὰν ἀφ' ὑμῶν, ἀλλ' ἐνταῦθα παντάπασιν, ἐνταῦθα δὴ μάλα ἡ
τοῦ μεγάλου δράματος ἐκείνου σκηνὴ καὶ διάθεσις, ὃ πᾶσα μὲν γλῶσσα, πᾶσα δὲ ἀκοὴ
περιφόρητον ἔχει καὶ πολυθρύλητον. *τοῦτο τὸ χωρίον, οὗτος ὁ τόπος, αὕτη τὸ δεινὸν
ἐκεῖνο θηρίον ἐμφωλεῦον εἶχεν ἡ τρώγλη, καὶ ὁ φωλεὸς — αὐτὸς οὗτος, καὶ ἡ κοίτη —
καὶ ἔτι φόβου μεστὴ καὶ μετὰ τὴν τοῦ δείματος ἀπαλλαγὴν (τὸ παραδοξότατον) μηδ' ἐν
χιλιάσιν ἐνιαυτῶν μικροῦ δεῖν ἀποβαλεῖν δυνηθεῖσα τὸ φοβερόν. ἕλος ὅλος ὁ χῶρος,
ἕλος ἄγριον ἦν, ἀγεώργητον, ἄκαρπον, ἀοίκητον, ἄχρηστον, ἔρημον μὲν δι' ἑαυτὸ καὶ
τὴν φύσιν, χαλεπώτατον δὲ διὰ τὸν ὀλέθριον ἔνοικον, φευκτὸν μὲν τὰ πρῶτα τοῖς
περιοίκοις, ἐπεὶ δ' ἐκείνους φυγάδας ὁ πικρὸς κατέστησε γείτων, τὸ δεινὸν ἀπ' ἐκείνων
| πρὸς τοὺς ὁδοιπόρους μετέβαινε, καὶ κακὸν ἀπροσδόκητον τοῖς ἀθλίοις ἀπήντα· 157[1]
καθ' ὅλου δ' ἦν οὐχ ὁδός, οὐκ ἐργασία, οὐκ οἴκησις ἐν ὅλῃ τῇ περιχώρῳ ἀσφαλὴς ἢ
ἀκίνδυνος· ἔνθεν ἐξηρήμωτο πᾶσα, καὶ συνέβαινεν αὐτῇ δυστυχέστερον ἔχειν παρὰ τὰς
ἄλλας χώρας ἁπάσας διὰ κακὸν ἓν οἰκεῖον αὐθιγενὲς καὶ ἐγκάτοικον, πρὸς ὃ πᾶσα
πᾶσιν ἐπίνοια καὶ πᾶς τρόπος μηχανῆς ἐξησθένει· τοσοῦτον ἦν ἄμαχον τὸ δεινὸν καὶ
ἀμήχανον. [11] ταῦτα καὶ ἀκούων καὶ βλέπων ὁ γεννάδας ἐκεῖνος, ἠνιᾶτο μὲν ὡς εἰκὸς
καὶ τοῖς πατριώταις συνήλγει καὶ τῇ πατρίδι συνέπασχε καὶ πολλὰ τοῦ πάθους αὐτὴν
καὶ τῆς ἀνηκέστου συμφορᾶς ᾤκτειρεν, ἀνέμενε δὲ παρὰ τῆς ἄνωθεν νεύσεως τὸν τῆς
βοηθείας καιρόν, κἀκείνου τηνικαῦτα δοθέντος, ἁρπάζει τὸ σύνθημα — πῶς ἂν εἴποις
ἡδέως; — καὶ ἀντὶ παντὸς ἑτέρου σημείου τούτου δή, τούτου δεηθεὶς καὶ τυχών, ἐνεπνεύσθη
τε δύναμιν καὶ θάρσος ὑπερφυῶς παρὰ τοῦ καταπα|τεῖν* λέοντα καὶ δράκοντα 157[2]
τοὺς αὐτῷ πεποιθότας ἐνδυναμοῦντος, καὶ πλησθεὶς ὁρμῆς ἀκαθέκτου καὶ τῆς φορᾶς
γενόμενος ὅλος, ἐπεὶ προσελαύνων ὀξὺν εὐθὺς εἶδεν ἐπ' αὐτὸν ἐξελιχθέντα τὸν θῆρα,
ῥαγδαιότερον ἄνωθεν αὐτὸς ἐπικατεχύθη, καὶ φθάνει διελάσας καιρίαν καὶ μιᾷ πληγῇ
τίθησιν αὐτίκα νεκρόν, μέγα δέος τοῖς ὁρῶσι καὶ μετὰ θάνατον· καὶ γὰρ πολὺς ἔκειτο
καὶ ἐπὶ πολὺ κατὰ θέαν παρ' αὐτὸν τὸν τόπον τῆς ἀναιρέσεως. [12] τοιοῦτον μὲν τὸ
ἀρίστευμα τοῦτο τοῦ στρατιώτου, τοσοῦτον ἡμῖν τοῦ ἀθλητοῦ τὸ γυμνάσιον, τοιοῦτον τὸ
προαγώνισμα τῷ τῆς εὐσεβείας ἀγωνιστῇ, θαυμαστὸν μὲν ἐπ' ἴσης πᾶσιν ἀνθρώποις,
ὑμῖν δὲ πρὸς ἔτι καὶ σωτήριον ἄντικρυς· οὐ γὰρ μόνον ὑπῆρξεν ἐπανελθεῖν τοῖς πρὶν
μετανάσταις, ἤδη τοῦ κακοῦ παρελθόντος, ἀλλὰ καὶ εἰς τοσούτους προβῆναι καὶ πλη-
θυνθῆναι τῷ χρόνῳ, οὕτω τε πολυάνθρωπον πόλιν ἐκ τελματώδους ἕλους καὶ θηριώ-

9 μεθελθεῖν apographum | 10 C[m] ἡ δρακοντοκτονία | 11 Psalm 9 13

δους ἀπολιπεῖν ὑμῖν τοῖς ἐκγόνοις, καὶ | παραδοῦναι τὴν χωραν οἰκουμένην 158[1]
ἐξ ἀοικήτου. [13] *ἀλλ' ἡ μὲν εὐεργεσία τοιαύτη, καὶ τὸ θαῦμα τοσοῦτον, καὶ οὕτω πέρα θαυμάτων· οὗ καὶ τρόπαιον ἄξιον ὁ περικαλλής τε καὶ μέγας οὗτος ναός, ἐπαναστὰς εἰκότως τῷ κατορθώματι καὶ τήν τε δρακοντείαν χειὰν ὑποχθόνιον ἐνταῦθα καλύπτων εἰς πίστιν τοῦ γεγονότος, τόν τε τροπαιοῦχον τοῦτον δεικνὺς ἀνεστηλωμένον πανταχοῦ καὶ τιμώμενον μετὰ τῆς ἀρίστης ἀνδραγαθίας πολὺ τὸ λαμπρότερον πλουτουσης καὶ γνωριμώτερον ὑπὲρ τὸν μυθικὸν ὀφιοῦχον, ὃν ἐπί τινι δῆθεν πράξει παραπλησίᾳ κατηστέρισαν Ἕλληνες.* [14] *τί δὲ τὸ ἐντεῦθεν καὶ πρὸς τί λοιπὸν ὁ σκοπὸς καὶ ἡ ῥοπὴ τῷ γενναίῳ; ζητεῖ φιλοπόνως τὸν ἀναβάτην μετὰ τὸν ἵππον, ἵν' ἐπ' ἀμφοτέροις καὶ οὗτος μετὰ Μωσέως* ᾄσῃ τὸν ἐπινίκιον, οὐχ ὡς ῥιφεῖσιν εἰς θάλασσαν, ἀλλ' ὡς καὶ αὐτοῖς ξένῳ τρόπῳ παραδεδομένοις εἰς ὄλεθρον. πῶς οὖν ὁ βέλτιστος κἀκείνου κρατεῖ; ἀλλά μοι*
| χαρίσασθε τὴν ἀκοὴν μικρὸν ἔτι, καὶ δότε τὴν διάνοιαν ὅλην τῷ καλῷ διηγήματι· 158[2]
ἔνθεν γὰρ ὁ ἀγὼν ὁ ἐκ τοιούτου προάγωνος.

[15] *ἐπειδὴ τὴν πατρίδα συμφορᾶς ἀπήλλαξε τηλικαύτης καὶ δι' ἑνὸς ἔργου τοῦδε τοῖς κατοίκοις τε σωτηρίαν καὶ ἑαυτῷ χρηστοτέρας τὰς ἐλπίδας ἐπραγματεύσατο, πόλις γείτων Ἀμάσεια, πόλις μεγάλη, πόλις ἀρχαία, πολυανθρωπίᾳ μὲν καὶ τοῖς ἄλλοις ἀγαθοῖς ἅπασιν οἷς αἱ πόλεις αὐχοῦσιν, οὐδὲ μιᾶς ὑστεροῦσα, δεισιδαιμονίᾳ δὲ τότε μικροῦ τι καὶ πασῶν διαφέρουσα, ὅπου καὶ τοὺς ἀσεβείας προστάτας καὶ τῶν εὐσεβεῖν αἱρουμένων διώκτας καὶ τιμωροὺς ἐν ἑαυτῇ ἐδυστύχει, οἱονεί τινας ἄλλους ἀτεχνῶς δαίμονας τοῖς ὑπ' αὐτῶν σεβομένοις παραπλησίους ἔνδον φέρειν ἠναγκασμένη, κἀντεῦθεν ἀσεβῶν ὡς ἀληθῶς χώρῳ (κατ' ἐκείνους φάναι) προσεοικυῖα τῇ ἐνδυναστείᾳ τε τῶν τοιούτων καὶ τῷ πλήθει τῶν ἐκεῖ συνεχῶς κολαζομένων καὶ κτεινομένων οἷς τὸ ἔγκλημα πίστις ὑγιὴς*
καὶ ὀρθόδο|ξος. [16] *πρὸς ταύτην ὡσανεί τι στρατόπεδον τοῦ στρατηγοῦ τῆς κακίας* 159[1]
ὁ ἀήττητος οὗτος ἔνθους ὁρμᾷ, καὶ μιᾶς φορᾷ ῥύμης εἰς αὐτὸ τὸ στρατήγιον ἀνδρικῶς εἰσπηδᾷ. ἀσπίδα μὲν οὖν ἀπολιμπάνει καὶ δόρυ· ὁ δ' ὡς ἤδη νικῶν πῦρ ἀνάπτει καὶ καταπίπρησιν· ὁ ἐμπρησμὸς δὲ τὸν δείλαιον τῶν σκευῶν τε καὶ τῶν ὅπλων ἀπογυμνοῖ, συνδιαφθείρας ἅμα καὶ τὴν σκηνήν· πάντα γὰρ ὁμοῦ θᾶττον ἢ τὸ πῦρ ἐνεβλήθη, συγκατεφλέχθη, καὶ ψιλὸν ἔδαφος[sic] *ἀθρόον ἐφάνη τὸ τῶν κιβδήλων θεῶν εἴτουν ἀλαστόρων δαιμόνων κατοικητήριον, αὐτοῖς εἰδώλοις ὡς ἔδει καὶ ξοάνοις συντεφρωθέν. τοῦτο δεύτερον ἤδη τοῦ μεγάλου τοῦδε τρισαριστέως ἔργον καὶ νεανίευμα· αὕτη πᾶσαν ἐκλόνησε τὴν πόλιν ἡ πρᾶξις· αὕτη πᾶσαν ἠρέθισε τὴν πονηρὰν ἐκείνην παράταξιν τῶν ἀσεβῶν ἐπ' αὐτόν.*

[17] *ἐντεῦθεν ὁ τρίτος καὶ μέγιστος ἀγὼν τῷ γενναίῳ κραταιότερον ἤδη μετὰ τὸν δράκοντα, ἐπ' αὐτὸν ἀνδριζομένῳ τὸν λέοντα, τὸν κατὰ τὰς γραφὰς* ὠρυόμενον*
| καὶ τίνα καταπίῃ ζητοῦντα· ἐντεῦθεν συστάσεις κατ' αὐτοῦ καὶ συνέδρια· ἐντεῦθεν 159[2]
τὰ πάντων φρικωδέστατα κολαστήρια· οὐ γὰρ εἶχε φέρειν ὁ ἡττηθείς, οὐχ ὑπομένειν ὁ αἰσχυνθεὶς οὐ τὴν ἧτταν, οὐ τὴν αἰσχύνην, οὐ καθαιρουμένην τὴν πλάνην, οὐκ ἰσχύουσαν τὴν ἀλήθειαν, ὅθεν τὴν προτέραν ἐκείνην ἀπολέσας παρασκευὴν δι' ἧς ψυχῶν ἐτυράννει, καταδυναστεύων ἀπάτῃ καὶ τερατείᾳ, ὁμόσε χωρεῖ τὸν ἀναιδέστατον τρόπον,*

14 Exod 15, 1 | 15 C[m] *ὁ ἐμπρησμὸς τοῦ εἰδωλείου Studemund* | 17 C[m] *ἡ κρίσις Studemund* | 17 Petr α 5, 8 | 17 post *χωρεῖ* in fine versus spatium quinque litterarum (casu?) vacuum relictum

καὶ τοῦ δόλου παντελῶς ἀτυχοῦντος, ἀφορᾷ πρὸς τὴν βίαν, καὶ ὡς ἔσχατον ὅπλον
ἐπιφέρει ταύτην τῷ νικητῇ. αὐτοὺς γοῦν ἐκείνους οὓς αἰχμαλώτους ἤδη συνεῖχεν ὑπὸ τὴν
ἑαυτοῦ τυραννίδα, ἀντιπαρεξάγει τῷ πολεμίῳ, θυμῷ τε καθοπλίσας ἀλογωτάτῳ, καὶ
δεινον ἡγεῖσθαι παρασκευάσας τὴν τῶν βδελυγμάτων ἀπώλειαν, ἐφ' ᾗ δῆλον ὅτι τὸν
τολμητίαν ἔδει παθεῖν, ὡς αὐτοῖς ἐδόκει τοῖς ἀνοήτοις, καὶ ὑπομεῖναι τὰ πάντων ἔσχατα
καὶ βαρύτατα· διὰ ταῦτα οὖν | σύλληψις εὐθὺς καὶ παράστασις, οὐκ ἀναβολήν, οὐ 160[1]
παραίτησιν, οὐκ ἔλεον ἐπιδεχομένη. [18] ἀλλὰ μὴν οὐδ' αὐτὸς ἀπαράσκευος ἐπὶ τὸν κίνδυνον
ἧκεν, ἀλλ' ἐπεὶ τὴν πάλην* αὐτῷ οὐκέτι πρὸς αἷμα καὶ σάρκα οὖσαν ἐγίνωσκεν, ἀλλὰ
πρὸς αὐτὸν ἐκεῖνον ἤδη τὸν ἄρχοντα τοῦ σκότους, τὸν ἀόρατον ἐχθρὸν καὶ πολέμιον,
τῶν μὲν ἐπὶ δίκην καλούντων τούτων ὑπερφρονεῖν παντάπασιν ἔκρινεν ὡς πρὸς αὐτὸν
οὐκ ἀξιομάχων, ὅτι μὴ δύναιντο τὴν ψυχήν τι κακῶσαι*, κἂν εἰ καὶ τὸ σῶμα σπαράξωσιν,
ἐκεῖνον δὲ μᾶλλον, ἐκεῖνον, πάντα τρόπον μεταδιώκων, κατάλληλον τοιούτῳ πολέμῳ καὶ
τὸν ὁπλισμὸν περιτίθεται. ὁπλίζει δὲ τοῦτον Παῦλος ὁ μέγας στρατηγὸς καὶ ἀλείπτης,
ὃς οἶδεν ἄριστα τοὺς Χριστοῦ στρατιώτας πρὸς τὴν μάχην ταύτην κοσμεῖν καὶ συντάσσειν,
τῆς δικαιοσύνης τὸν θώρακα* καὶ τὴν περικεφαλαίαν ἐνδύων τοῦ σωτηρίου, τὸν θυρεόν
τε τῆς πίστεως καὶ τὴν μάχαιραν τοῦ πνεύματος ἐγχειρίζων, ὅ ἐστι ῥῆμα θεοῦ. [19] τούτοις
οὖν τοῖς ὅπλοις καὶ οὗτος ἀντὶ τῶν συ|νήθων φραξάμενος, εἴσεισι μᾶλλον ἤπερ 160[2]
εἰσάγεται, καὶ τῷ δικαστικῷ παρίσταται βήματι σὺν ὑψηλῷ καὶ γαύρῳ φρονήματι ὡς
κεκλημένος ἐπ' ἄριστον, οὐχ ὡς ἐπὶ κρίσιν ἠγμένος· οὕτως εὐγενὲς καὶ ἀδούλωτον καὶ
παρ' αὐτὰ τὰ δεινὰ τὸ τῆς ψυχῆς ἐτήρει παράστημα. [20] πῶς ἂν ὑπ' ὄψιν ὑμῖν ἐναργῶς
παραστήσαιμι τὸν ἀγῶνα ἐκεῖνον, ὃν ἐκρότησαν ἄγγελοι καὶ ἐθαύμασαν ἄνθρωποι καὶ
δαίμονες ἔφριξαν; *οὗτος ὁ θεῶν ἀλιτήριος, ὁ κριτὴς τῆς ἀδικίας, ἰδὼν εὐθὺς ἐκεκράγει
Οὗτος ὁ τολμήσας ἐκεῖνο τὸ μέγα καὶ δεινὸν τόλμημα· τί σοι ταῦτα, ταλαίπωρε; τί,
Θεόδωρε δύστηνε, τί παθὼν τί καὶ δέδρακας· »*ζηλῶν ἐζήλωσα τῷ κυρίῳ« ὁ τῆς ἀλη-
θείας μάρτυς σὺν παρρησίᾳ »καὶ τοὺς ἐχθροὺς ἐκείνου καθεῖλον ᾧ τρόπῳ δυνατὸς
γέγονα«. *τίς δὲ οὗτος ὁ κύριος; ἤ που, μάταιε, καὶ σὺ Γαλιλαῖος; δηλοῖ μὲν οὖν καὶ
τὸ ἔργον. *»χριστιανὸς ἐγὼ μᾶλλον, ὦ φιλολοίδορε· ἀλλὰ τοῦτο νῦν ἔγνως; ἢ καὶ πάλαι
γινώσκων, νῦν εἰρωνεύῃ;« *ἔγνως ἂν ἤδη καὶ αὐτός, ἐ|ναγέστατε, εἰ ἐγὼ προεγνώκειν· 161[1]
νῦν δ' ἡνίκα γινώσκω, γνώτω καὶ οὗτος τὴν ταχίστην, ὦ δήμιοι. [21] εἶπε, καὶ αὐτοῦ που
πρὸς κίονα* δεθεὶς ὁ γεννάδας (πηγὴ δὲ νῦν θαυμάτων ὁ κίων τοῖς Ἀμασεῦσιν) ἐξαί-
νετο πολλὰς ἀφειδῶς, καὶ οἱ ξεσμοὶ δι' ὀνύχων ὀξυτάτων τῶν ἐκ σιδήρου οἷα τοῖς
ἀνόμοις ἐκείνοις κατὰ τῶν εὐσεβῶν τὰ βασανιστήρια. [22] τέως μὲν οὖν ζέων θυμῷ καὶ
τοῖς ἑαυτοῦ θεοῖς τε καὶ δαίμοσιν ἀμῦναι φιλοτιμούμενος, ἀπανθρώπως εἶχε πρὸς τὰ
ὁρώμενα, καὶ τὴν φύσιν οὐκ ᾤκτειρεν, οὐδ' εἰ μή τι γε ἄλλο, ἄνθρωπος ἄνθρωπον
αἰκίζειν διενοεῖτο. συνηγανάκτει δὲ καὶ τὸ θέατρον, ἐκ πάσης ἡλικίας καὶ τύχης ἐκεῖ
συγκεκροτημένον, καὶ ὡς κακοῦργον τὸν δίκαιον τὰ τῶν κακούργων ἡδέως ἔβλεπε πά-
σχοντα. ἐπεὶ δ' εἰς ἀμετρίαν ἡ κόλασις ἐξέπιπτεν ἤδη τῷ σφοδρῷ τε ἅμα καὶ τῷ χρονίῳ,
καὶ τοῖς μὲν κρουνοῖς τῶν αἱμάτων τὸ ὑποκείμενον ἅπαν εἰς πλημμύραν ἐλίμναζε, τὸν

est in C *Studemund* | 18 Ephes 6, 12 | 18 Matth 10, 28 | 18 Eph 6, 14—17 | 20 ὁ ἄρχων C[1] in marg | 20 ὁ ἅγιος C[1] in marg | 20 ὁ ἄρχων C[1] in marg | 20 ὁ ἅγιος [sic] C[1] in marg | 20 ὁ ἄρχων C[1] in marg | 21 κίονα C[1], κίονι C[2] *Studemund*

ἀθλητὴν δὲ ἐπέλιπον εἰς ἅπαν αἱ σάρκες, ὑπὸ τῶν κορά|κων ἐκείνων ἢ κυνῶν 161²
καὶ θηρίων μᾶλλον εἰπεῖν ἀπηνῶς σπαρασσόμεναι, ἐμαλάσσετό ποτε πᾶσι τὸ ἀγριαῖνον
καὶ τὸ θυμούμενον, καὶ τὸν μὲν ὡς ἄψυχον φόρτον τὸ δεσμωτήριον παρελάμβανε,
χερσὶν ἀλλοτρίαις ἀπαχθέντα καὶ προσριφέντα, τὸ φαιδρὸν δὲ αὐτῷ κἂν τῇ βασάνῳ
παρῆν κἂν τῇ φρουρᾷ παρέμενεν ἄτρεπτον καὶ τὸ στερρὸν ἀπαθές, καὶ ἐπὶ γλώσσης
οἱ ὕμνοι, καὶ οἱ ὀφθαλμοὶ ἀτενεῖς ἐπὶ τὸν σῴζειν δυνάμενον. [23]*ὁ δὲ ταχὺς ἐπιστὰς (καὶ*
γὰρ ἔπρεπεν) ἐμφανίζεται (τὸ θαυμάσιον) ἐνώπιος ἐνωπίῳ, τὸ ἑαυτοῦ φῶς ἐκλάμπων,*
καὶ προσλαλεῖ γνησίως καὶ φιλοφρόνως, ὡς εἴ τις λαλήσοι πρὸς τοιοῦτον ἑαυτοῦ φίλον.
ὢ τῆς ὁμιλίας ἐκείνης, ἣν Χριστὸς ὁμιλεῖ πρὸς τὸν αὐτοῦ μάρτυρα, καὶ χορὸν ἀγγέλων
ᾀδόντων περιΐστησι κύκλῳ. παρηγορεῖται παντοίως καὶ ἀνακτᾶται καὶ θειοτέραν βρῶσιν*
ψωμίζει κάμνοντα λιμῷ καὶ ὀδύναις, ἐπὶ πᾶσιν ὑγιώσας ὅλον τὸ σῶμα καὶ τὴν πρώτην
ἀποδοὺς ὄψιν (ταῦτα γὰρ ἔργα τῆς Χριστοῦ πα|ρουσίας), εἶτα πλέον θαρσύνας 162¹
καὶ ἐνισχύσας τόν στέφανόν τε τῆς νίκης ἐν ταῖς θεϊκαῖς χερσὶ παραδείξας καὶ τὴν
ἐντεῦθεν μετάκλησιν ταχίστην ἐπαγγειλάμενος, οὕτω πάλιν ἀπῆλθεν, ἀστραπῆς πεπλη-
σμένα πάντα λιπών.

[24] *λέων ἦν ἀτεχνῶς μετὰ τὴν ὄψιν ὁ δίκαιος, πεποιθὼς πρὸς ἅπαν δεινὸν καὶ*
μέγα κατὰ πάντων ἤδη φρονῶν· ἐπόθει μὲν οὖν αὖθις τὸ στάδιον, καὶ συμπλοκὴν ὡς
τάχος ἐζήτει, καὶ πρὸς τὸν ἀγῶνα διεθερμαίνετο· συνήργει δὲ μάλιστα τῷ πόθῳ τὸ
θαῦμα, ἐπιδραμὸν ἐν ὀλίγῳ πᾶσαν τὴν πόλιν καὶ καταπλῆξαν μὲν ἅπαντας τῷ καινῷ
καὶ ἀπίστῳ, οὐκ ὀλίγους δὲ τῶν συνασπιστῶν τοῦ γενναίου ἑλκῦσαν εἰς τὴν ἐπίγνωσιν.
ταύτῃ τοι καὶ θέατρον δεύτερον πολύ τι λαμπρότερον ἢ τὸ πρότερον ἦν, ἐπ' αὐτῷ ταχὺ
συναθροίζεται, ἄλλοθεν ἄλλου κατὰ σπουδὴν ὡς εἰκὸς πρὸς τὴν τοῦ παραδόξου θέαν
συντρέχοντος καὶ τὸ ξένον ἄκουσμα τοῦτο πείρᾳ βασανίσαι ζητοῦντος. [25] *παράγεται*
τοίνυν αὖθις εἰς | μέσους ὁ καινὸς καὶ νεόπλαστος ἀνδριὰς ἐκεῖνος τῆς εὐσεβείας, 162²
καὶ τῶν μὲν τάς τε ὄψεις καὶ τὰς ψυχὰς τὸ θαῦμα κατεῖχε, καὶ ἦν ἀπορία δεινὴ καὶ
ἀμηχανία πρὸς τὰ ὁρώμενα, ὁ δὲ τὴν γλῶτταν αὐτοῖς κατὰ καιρὸν ἐξορμᾷ καὶ τὴν
ἐλευθερίαν τῆς χάριτος μετὰ τῆς ἀληθείας ἤδη παρρησιάζεται. οὗτος ὁ θεὸς ὁ ἐμός —
φησίν —, οὗτος ὁ Χριστός, δικασιά, οὗτος ὁ ἐμὸς κύριος, περὶ οὗ φιλοπόνως πρὶν
ἐπυνθάνου· ὑπὲρ τοιούτου δεσπότου καὶ παθὼν ἐγὼ χαίρω, καὶ παθεῖν εἰς ἔτι διψῶ,
ὃς ὅτι τὸν ἄνθρωπον ἔπλασεν αὐτὸς ἀπ' ἀρχῆς, ἀναμφιλέκτως ἔδειξε νῦν ἐξ ὧν ἀνέ-
πλασεν ἄνθρωπον τοιαῦτα δι' αὐτὸν ὑποστάντα καὶ οὕτω παντάπασι τὸ σῶμα διαφθα-
ρέντα· τοὺς δὲ σοὺς δειλαίους θεοὺς πεπονθότας ἤδη τὰ παραπλήσια τίς ἀναπλάσει;
τίς ἀναστήσει; τίς αὐτοῖς πάλιν δώσει τὴν εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν; ὁρᾶτε τὴν
ἀπάτην ὁπόση; ὁρᾶτε τῆς θρησκείας τὴν ἀλογίαν; σύνετέ ποτε, παιδεύθητε, μάταιοι·*
γνῶτε ματαίας τὰς ἐλπίδας ὑμῶν ἐπὶ ματαίοις σεβάσμασιν· ἐπίγνωτε τὸν ὄντως
| θεόν· σωφρονέστερόν τι φρονήσατε· μεταβάλεσθε ὀψὲ γοῦν· εὐμενῶς καὶ νῦν 163¹
δέξεται πρὸς αὐτὸν ἐπιστρέφοντας· εἰ δ' οὖν τυχὸν μὲν μακροθυμήσει καὶ ἔτι, ὥσπερ
δὴ καὶ μακροθυμεῖ, οὐκ ἔχω δὲ λέγειν, ἐὰν εἰς τέλος· πάντως δ' οὖν κολάσει μετὰ τὸ
τέλος, καὶ παραδώσει πυρὶ τοὺς ὡς φῶς αὐτὸν μὴ γνωρίσαντας, ἐν τῷ παρόντι λάμψαντα
βίῳ. τοιαῦτα πλεῖστα συνείρων, καὶ διαχλευάζων μὲν τὰ ἐκείνων, τὰ Χριστοῦ δὲ

23 Cᵐ *ἡ ὀπτασία Studemund* | 23 Num 12, 8 | 23 *παρηγορεῖτε* codex | 25 Psalm 2, 10

*κρατύνων, καὶ ἀποδεικνὺς πανταχόθεν τὴν εἰς αὐτὸν πίστιν μόνην ἀσφαλῆ καὶ σωτήριον,
κενὴν (τὸ τοῦ λόγου) ψάλλειν ἐῴκει καὶ τυφλοῖς ἐννεύειν ἢ κωφοῖς ὑποψιθυρίζειν.* [26]*κατα-
στήσας οὖν ἑαυτόν ποτε καὶ συναγαγὼν ἐκ τοῦ θάμβους ὁ φρενοβλαβὴς ἐκεῖνος ἄρχων
καὶ παραπλήξ, καὶ γοητείαν μὲν πρόδηλον τὸ θαῦμα συκοφαντήσας, αὐτοῦ δὲ φείδεσθαι
ἄλλως εἰπὼν ὡς ἀγαθοῦ στρατιώτου καὶ χρησίμου πολλαχοῦ τῷ στρατεύματι, ἄφεσίν τε
τῆς ἔτι περιλειπομένης κολάσεως, ἐπὶ τῇ κατὰ τῶν θεῶν ἀπονοίᾳ | κεφαλικῆς* 163[2]
*ἐκ τῶν νόμων ὡρισμένης καὶ τῆς ἐσχάτης, ἐδίδου, καὶ παρῆγεν ἅμα τὸν γραμματέα εἰς
κοινὸν ἐπὶ φόβῳ παραναγινώσκοντα τὸν ποινάλιον, ἔτι δέ τινας μεγάλας τιμὰς καὶ
δωρεὰς ὑπισχνεῖτο ἀξιώματός τε λαμπρότητα· *τί γὰρ οὗτος ὁ τήρων (ἔφη) πρὸς ἀρετὴν
ἀνδρὸς τηλικαύτην καὶ πᾶν εἴ τι ἄλλο ποθεινὸν ἀνθρώποις καὶ περισπούδαστον, τὰ μὲν
ἐκ βασιλέως* οὐκ εἰς μακράν, τὰ δὲ καὶ οἴκοθεν ἤδη κατεπηγγέλλετο, μόνον εἰ τούτων
— εἰπὲ τῶν λήρων — ἀποστὰς καὶ παυσάμενος, οἷα συνετὸς ἀνὴρ καὶ ἐχέφρων καὶ
κατὰ παῖδας ἔτι παίζειν οὐκ ἐπιτήδειος, μεθ' ἡμῶν σαυτὸν τάξεις ὥσπερ τὴν στρατείαν
καὶ τὴν θρησκείαν;* [27]*ὡς δ' ὁ μὲν ταῦτα πλείοσιν ἐξεμυκτήρισε λόγοις καὶ τελευτῶν
κατεγέλασεν ἁπάντων ἐπ' ἴσης καὶ δῆλος ἦν φλυαρίαν καὶ οὐδὲν ἄλλο κρίνων τὰ προ-
τεινόμενα — *πάνυ γὰρ (εἶπεν) εὐτυχῶς ἐμπορεύσομαι, καθ' ὅ,τι σῷσαι μὴ ἔχω, κατὰ
τοῦτο συναπολόμενος, ἵν' ὑμῖν τὸ ὁμόγνωμον ὡς ἀξιοῦτε χαρίσωμαι· ἀλλ' εἰ | μὲν* 164[1]
*νικᾷ τὰ βελτίω (ὥσπερ οἶμαι καὶ δικαιότερον), τί μὴ πείθεσθε μᾶλλον αὐτοὶ τῷ κα-
λοῦντι πρὸς σωτηρίαν, καὶ κοινῇ τὸ συμφέρον ἅπαντες συμφρονοῦμεν; εἰ δ' οὖν, τί μὴ
μόνοι κληρονομεῖτε καθ' ἑαυτοὺς τὴν ἀπώλειαν, ἀλλ' εἰς τὸ αὐτὸ βάραθρον συγκατασπᾶν
καὶ ἄλλους φιλονεικεῖτε; τοιγαροῦν, ὡς φίλον ὑμῖν ἐστί· παρ' ἡμῶν δ' οὐκ ἂν εὕροισθε
τούτου πλέον οὐδέν.* [28]*ἐπειδήπερ ὁ μάρτυς αὖθις τοιαῦτα, μεταβαλὼν ἐκεῖνος πάλιν
ἠπείλει, καὶ πάλιν εἰς μέσον αἱ ποιναὶ καὶ τὰ κολαστήρια καὶ κακῶν ἅπαν εἶδος, πρὸς
ἅπερ ἀπαθέστερον ἔτι καὶ γενναιότερον τοῦ ἀδάμαντος ἐκείνου διακειμένου καὶ μήτε
τοῖς μαλακωτέροις ὑποδιδόντος μήτε θραυομένου τοῖς σκληροτέροις, ἀλλὰ μένοντος ὅλως
ἀτρέπτου καὶ ἀκινήτου καὶ πρὸς πᾶσαν πείρας ἰδέαν ἀναλώτου συνεστῶτος καὶ ἀχει-
ρώτου, ὀψέ ποτε καὶ μόλις τὴν μεταβολὴν παντάπασιν ἀπογνοὺς ὁ βάρβαρος ἐκεῖνος
καὶ θηριώδης, ἤδη δὲ καὶ ἄλλους ὁρῶν ὑποκεκινημένους πρὸς τὸ γενόμενον, ψῆφον
ἐκφέρει κατὰ τοῦ ἁγίου | θανατηφόρον, ἵνα θᾶττον (ὡς ἔοικεν) ἀνταγωνιστοῦ* 164[2]
τοιούτου ἀμάχου ἑαυτὸν ἀπαλλάξῃ. [29]*οὐχ οὕτως οἱ δοξομανεῖς καὶ φίλαρχοι χαίρουσιν
εἰς ὑπατείαν ἢ στρατηγίαν ἐν ἀρχαιρεσίοις ὀνομασθέντες, ὡς οὗτος ὁ Χριστοῦ στρατιώτης
ἡδέως τὴν πυρὰν τότε ἤκουσε· ταύτην γὰρ κατεκρίθη, μετὰ θαυμασίας οἵας τῆς ἀπο-
φάσεως Τῷ διὰ πυρὸς (φησίν) ἀσεβήσαντι πρεπωδεστάτη δίκη τὸ πῦρ, ἵν' αὐτόθεν ἔχοι
τὴν ταὐτοπάθειαν ὁ ἐμπρηστὴς ἐμπρησθείς. ἀσμένως οὖν ὁ κατάδικος ὑπέστη τὴν κατα-
δίκην, καὶ δή τι μικρὸν παραιτησάμενος τοὺς ἀπάγοντας, ἀπέστη καὶ ἔστη καὶ πρὸς
οὐρανοὺς ἦρε χεῖρας, περιχαρὴς ὅλος ὢν καὶ μεστὸς ἐλπίδων ἀθανασίας* [30]**Κύριε ὁ θεός
μου, δοξάσω σε (μεγάλῃ καὶ λαμπρᾷ βοῶν τῇ φωνῇ), ὑμνήσω τὸ ὄνομά σου, ὅτι με
δοξάσαι ἠξίωσας τῇ κοινωνίᾳ ταύτῃ τῶν παθημάτων σου, ὅτι τούτοις ἐνίσχυσας τοῦ ἀντι-
πάλου κρατῆσαι οἷς αὐτὸς τὸν κόσμον νενίκηκας, τῇ σαρκὶ μὲν τὸ πάθος ὑποστὰς ὡς
εὐδόκη|σας, τῇ δυνάμει δὲ τῆς θεότητος κατεξαναστὰς τῶν ἐχθρῶν σου· πρὸς ὃ* 165[1]

26 *ὁ ἄρχων* C[1] in margine | 26 *βαλιλεως* apographum | 27 *ὁ ἅγιος* C[1] in marg | 30 C[m] *ἡ εὐχή*

παράδειγμα βλέπων, ἀφειδῶ μὲν τοῦ σώματος, τῷ δὲ πνεύματι χαίρω, συμπλακέντι
πρὸς πνεῦμα πονηρίας μεγάλαυχον καὶ τῇ σῇ συμμαχίᾳ θαυμαστῶς περιγενομένῳ.
[31] νῦν οὖν, δέσποτα, πλήρου μοι τὴν φίλην ἐπαγγελίαν· ἤδη προσλαβοῦ τὸν σὸν ἀθλητήν,
ὁ ἐμὸς ἀγωνοθέτης καὶ στεφοδότης· ἐπίθες ἄξιον πέρας τοῖς ὑπὲρ σοῦ τούτοις σκάμ-
μασιν, ἀπόδος τὸν στέφανον ἐκεῖνον, ἀπόδος, ὃν ἐν ταῖς ἀχράντοις χερσί σου πρὸ μι-
κροῦ φερόμενον ἔγνων· δεῖξόν μοι καὶ πάλιν σαυτὸν τελεώτερον νυνὶ καὶ τρανότερον,
τὸ τῶν ὀρεκτῶν ὄντως ἔσχατον, τὸ μέγα βραβεῖον τῶν οὕτως ὑπὲρ σοῦ διαθλούντων·
ἐγὼ γὰρ ὁλοκαύτωμα πρόθυμον ἐμαυτὸν ἰδού σοι προσφέρω, παντὸς ἄλλου θύματος
προσφιλέστερον εὖ οἶδα καὶ ποθεινότερον, ὅτι σὺ θεὸς μόνος, θεὸς ἀληθινός τε καὶ
δίκαιος· καὶ ὁ εἰς σὲ ἐλπίζων οὐ μὴ καταισχυνθῇ*. [32] τοιαύτη μὲν ἡ εὐχή· *μετὰ δὲ πρὸς
ἐκείνους τοὺς ἄρτι προστεθέντας ἐπιστρα|φεὶς καὶ τοσοῦτον μόνον εἰπὼν Ὦ φίλοι 165[2]
συστρατιῶται, ὁρᾶτε, μιμεῖσθε, ἀκολουθεῖτε, εἶτα καὶ τὸ σύνηθες φυλακτήριον ἐπιβαλὼν
ἑαυτῷ, τὸ σταυρικόν σημεῖον καὶ ἀκαταίσχυντον, ὡς ἐπί τινα στρωμνὴν ἀναπαύσεως
φαιδρὸς καὶ γεγηθὼς ἱλαρῷ προσώπῳ καὶ βλέμματι ἐπαφῆκεν ἑαυτὸν τῇ καμίνῳ, οὐκ
ἀναμείνας οὐδένα τῶν εἰς ταύτην τεταγμένων τὴν λειτουργίαν. [33] τοῦτο τὸ τέλος, οὗτος
ὁ δρόμος τοῦ μεγάλου τούτου σταδιοδρόμου· οὗτοι οἱ ἀγῶνες· ταῦτα τὰ τρόπαια τοῦ
τῆς εὐσεβείας προμάχου· οὕτως ἐδόξασε θεὸν ἐπὶ γῆς τοῖς ἑαυτοῦ μέλεσί τε καὶ πάθεσι
καὶ πρὸ τούτων τοῖς ἔργοις καὶ τῇ τοῦ βίου λαμπρότητι· οὕτως ἐπὶ πᾶσι τούτοις ἐν
οὐρανοῖς παρ' ἐκείνου πλέον ἀντεδοξάσθη, τοιαῦτα κομισάμενος ἔπαθλα ἃ μήτε λόγῳ
ῥητά ἐστι μήτε ὠσὶν ἀκουστὰ μήτε διανοίᾳ καταληπτά, ἃ ἡτοίμασεν ὁ θεὸς* καὶ τοῖς
ἀκινδύνως ἀγαπῶσιν αὐτόν· εἰ δ' ἐκείνοις ἤδη τοιαῦτα, τίνα ἂν καὶ πηλίκα τοῖς
τοσαῦ|τα καὶ οὕτως ὑπὲρ αὐτοῦ κινδυνεύσασι; τὴν ἐπίγειον μέντοι δόξαν τοῦ στε- 166[1]
φανίτου καὶ ἀκοαῖς ἁπάσαις ἐξάκουστον καὶ γλώσσαις ἀνθρωπίναις ἀοίδιμον ὁ δοξάσας
αὐτὸν θεοπρεπῶς ἔθετο. [34] ἵνα γὰρ παρῶ τἆλλα, οἷον αὐτίκα τὴν τοῦ μαρτυρικοῦ λειψάνου
τιμήν, ὃ τὸ πῦρ αἰδεσθὲν ἀσινὲς ἐτήρησε καὶ ἀλύμαντον, τὴν περιδοξοτάτην ἐκείνην
καὶ πολυΰμνητον ἀνακομιδὴν καὶ κηδείαν, τὴν τῆς εὐσεβείας ἐπώνυμον ἀληθῶς Εὐσέ-
βειαν*, τὴν εὐγενεστάτην ἐκείνην γυναικῶν καὶ κοσμιωτάτην, ἧς ἡ νῦν πόλις αὕτη κτῆμα
πάλαι πατρικὸν ἦν (ὡς λόγος)· ἐπεὶ δὲ ἀνόνητον γενόμενον ταύτῃ διὰ τὸ ἐμφωλεῦσαν
ἀκάθαρτον ἐπωφελές τε καὶ χρήσιμον ἀπέδωκεν οὗτος, ὃν προείρηται τρόπον ἐλευθε-
ρώσας, οὐκ ἀγνώμων ἐφάνη περὶ τὸν εὐεργέτην ἡ θαυμασία, ἀλλὰ μεγαλοπρεπῶς καὶ
ἀξίως τὸ πολύαθλον σῶμα τῇδε κομίσασα, αὐτοῦ που κατέθετο σὺν πάσῃ φιλο-
φροσύνῃ, πάνυ πρέποντα μισθὸν ἀποδοῦσα τῷ τοῦ χω|ρίου σωτῆρι αὐτὸ τὸ 166[2]
παρ' ἐκείνου σωθὲν ὡς ἄλλο τι τῷ ὄντι δορύκτητον ἀριστεῖον· κἀντεῦθεν ὁ γλυκὺς
θησαυρὸς τῇ οἰκουμένῃ πάσῃ κατεμερίσθη, οὐκ ἀνεκτὸν τῆς δικαίας προνοίας ἡγησαμένης
τον κοινόν τε καὶ παγκόσμιον πλοῦτον ἑνὶ μόνῳ τόπῳ καταχαρίσασθαι, ἃ δὴ καὶ μόνα
πάντως ἐξήρκει τὴν τοῦ θεοῦ παραστῆσαι περὶ τὸν ἑαυτοῦ ἀθλοφόρον κηδεμονίαν.
[35] νῦν δὲ τοσούτοις θαυμασίοις αὐτόν, τοσούτοις χαρίσμασιν ὁ ἐν ἐλέει πλούσιος κατε-
πλούτισεν, ὡς πᾶσαν γῆν τε καὶ θάλασσαν μεστὴν αὐτῶν εἶναι, καὶ θᾶττον ἂν ἥλιον
θᾶττον ἂν οὐρανὸν ἀγνοούμενον ὅλως παρ' ἀνθρώποις εὑρίσκεσθαι ἢ τὸν μάρτυρα

31 Psalm ο 1 | 32 C[m] ἡ κάμινος | 33 Corinth α 2, 9 | 34 C[1] in margine minio περὶ τῆς ἁγ' εὐσε-
βείας Studemund | 34 εὐσεβίαν apographum

τοῦτον καὶ τὴν τούτου μεγάλην χάριν καὶ δύναμιν, ἧς τὰ μαρτύρια ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει καὶ ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης, τά τε ἤδη γενόμενα, καὶ τὰ ἔτι γινόμενα· μαρτυρεῖτε δὲ καὶ αὐτοί, παρ' οἷς αἱ τῶν θαυμάτων πηγαὶ καὶ οἱ ποταμοὶ τῆς χρηστότητος | συνεχεῖς καὶ δαψιλεῖς καὶ ἀένναοι, καὶ 167[1]
διηγεῖσθε καθ' ἕκαστα ὅσα δυνατός ἐστιν ἕκαστος· ἐγὼ δ' ἑνὸς ἔτι μνημονεύσω, τοῦ τῆς ἡμέρας, ὃ καὶ παρελθεῖν με βουλόμενον ὁ καιρὸς οὐκ ἐᾷ, τὴν τῆς πανηγύρεως πρόφασιν εἰπεῖν ἀναγκάζων. ἔστι τοίνυν τοιοῦτον.

[36] Πάλιν ἀσεβὴς βασιλεία· καὶ βασιλεὺς θεομάχος καὶ τῆς εἰς Χριστὸν πίστεως. ἀποστάτης τὸ πρῶτον, εἶτα πολέμιος· καὶ διωγμὸς βαρὺς αὖθις· καὶ χαλεπὸς ὁ διώκτης, εἴπερ τις ἕτερος τῶν πρὸ ἐκείνου μανέντων· ᾧ γε καὶ ὁ τρόπος πολύτροπος καὶ ἡ κατὰ τῆς εὐσεβείας ἐπίνοια παντοδαπὴ καὶ ποικίλη· προσῆν γὰρ τῇ βίᾳ καὶ δόλος, τῇ αὐθαδείᾳ καὶ πανουργία, τῇ τυραννίδι καὶ δουλοπρέπεια, καὶ οὐ τὴν λεοντῆν (τὸ ᾀδόμενον) οὐκ ἐφικνουμένην ἑώρα, καὶ την ἀλωπεκῆν προσράπτειν οὐκ ὤκνει. [37] τὰ μὲν οὖν ἄλλα τῶν ἐφ' ἑκάτερα τετολμημένων αὐτῷ, καὶ ὅσα ἢ κολάζων ἢ ἀπατῶν τοὺς εὐσεβοῦντας ἐκάκωσεν, ἱστορίαι καὶ βίβλοι κατὰ πλάτος ἐκτραγῳδείτωσαν· | ἀλλ' οἷον δὴ 167[2]
τοῦτο μηχανᾶται καὶ κακουργεῖ ὡς ἄξιον ἀληθῶς τῆς ἀκαθάρτου διανοίας ἐκείνης καὶ φιλοδαίμονος! παρῆν ὁ καιρὸς αὐτὸς οὗτος, καὶ τὴν πρώτην ἦγε τῆς ἐγκρατείας ἡ βασιλὶς καὶ πρώτη τῶν πόλεων· ἡγιάζετο δὲ κατὰ τὴν ἐντολὴν ἡ νηστεία, καὶ εὐαγῶς τὸ ὀρθόδοξον τὰς νηστίμους ἐτέλει· ἔδει δὲ κατὰ τὴν ἑβδόμην ταύτην ἡμέραν καὶ ἀναπαύσιμον κἀκείνοις ἀνεθῆναι τὸ σύντονον, καὶ τροφαῖς ἁγνοτάταις τὸ πλῆθος ἀνακτηθῆναι, τῇ τε ἄλλῃ κακοπαθείᾳ καὶ τῇ ἀσιτίᾳ κάμνον οὐχ ἥκιστα. [38] τί ποτ' οὖν ἡ κακότεχνος ἐνταῦθα ψυχή, τί πρὸς ταῦτα τυρεύει καὶ σκαιωρεῖ; ἁρπάζει τὴν ἡμέραν ὡς ἕρμαιον, καὶ οἱονεί τινα θήραν λαμπροτάτην εἴσω συγκλείσας, τὰς ἄρκυς αὐτοῦ περὶ τὴν ἔξοδον τίθησιν, ἵν' ἢ λιμῷ κατεργάσηται, συνέχων ἐντός, ἢ ταῖς πάγαις ἐμπεπτωκότας ἀπροόπτως ἔξω συλλάβῃ. ταύτῃ τοι καὶ πᾶν ἀφαιρεῖ τῆς ἀγορᾶς ἁγνὸν βρῶμα καὶ τῷ καιρῷ πρόσφορον· προτίθησι δὲ κατὰ τὸ γεγραμμένον* ἄρτους ἠλισγημέ|νους, καὶ τὰ 168[1]
ἑαυτοῦ εἰδωλόθυτα ὥσπερ τινὰς συνήθεις τροφὰς τῷ τοῦ Χριστοῦ προβάλλει λαῷ, οὐχ ἵν' ἐντεῦθέν τι βλάψῃ τοὺς μετασχόντας, εἰ καὶ μετέσχον (πῶς γάρ; οἷς σαφῶς τὸ ἀνεύθυνον ἡ ἄγνοια περιεποίει), ἀλλ' ἵνα κἀνταῦθα τὴν πίστιν ἐπηρεάσῃ, καὶ (οἷος ἐκεῖνος) ἐπαγγελάσῃ* μέγα χριστιανοῖς καὶ ἐμπαίξῃ καὶ λαμπρὸς λαμπρῶς ἐμπανηγυρίσῃ, κατευωχηθεὶς αὐτῶν τῆς ἐνθεν κουφότητος καὶ τῆς πρὸς ἀπάτην εὐκολίας καὶ ἐλαφρίας, ᾧ δὴ καὶ πλήξειν ἔμελλε πλέον, ὡς μεμιαμμένους ἐντρέπων, ἢ εἰ ἀνέδην ὡς ἑτεροδόξους ἐτιμωρεῖτο· *τοῖς γὰρ εὐγενέσι φρονήμασι πολὺ τῆς κολάσεως βαρύτερον ἡ αἰσχύνη. [39] ἦν οὖν ἐπὶ ξυροῦ τὸ δεινόν, καὶ ἤδη προχωρεῖν ἔμελλεν ἡ μηχανὴ τῷ τεχνίτῃ. τί δὲ οὗτος ὁ μέγας ζηλωτὴς τοῦ καλοῦ καὶ τῆς κακίας ἀντίπαλος; ὢ τῶν ὀφθαλμῶν ἐκείνων τῶν ἀλαθήτων! ὢ τῆς διαπύρου θερμότητος! εἶδε παρευθὺς τὸ γινόμενον· ἐφώρασεν ὡς τάχιστα τὴν ἐνέδραν· ἐζήλω|σε καὶ πάλιν ὑπὲρ τῆς πίστεως· ἐμίσησεν ἀδι- 168[2]
κίαν· ἀντέστη τῷ πονηρῷ· οὐκ ἤνεγκε τὴν ὕβριν τοῦ μισοχρίστου· οὐ φορητὴν ἡγήσατο τοῦ ὑβριστοῦ τὴν σκαιότητα. φθάνει τοιγαροῦν τὴν ὀξύτητα τοῦ τότε καιροῦ συντομωτέρῳ τάχει καὶ ὀξυτέρῳ, καὶ τὸν ἱερέα τῆς πόλεως ὕπαρ ἀφυπνίσας, οὐκ ὄναρ, ἀπαγγέλλει

36 C^{m} περὶ τοῦ πρωτοσαββάτου Studemund | 38 Malachias 1, 7 | 38 Stephanus III 1361 | 38 C^{m} γνώμη

τὸ δρᾶμα καταμηνύει τὸν δόλον. εἰσηγεῖται τὸν τρόπον τῆς φυγῆς τοῦ κακοῦ καὶ ὅς
ἦν, τὰ κόλλυβα*, ταῦτα δὴ τὰ ὑμέτερα. ἑφθοὶ πυροὶ βρώσιμοι τότε πρῶτον ὡς ἔοικε
τοῖς ἐκεῖ γνωρισθεῖσα προσηγορία, ὧν δὴ μόνων κελεύσας δημοσίῳ κηρύγματι μεταλαβεῖν
προτρέψασθαι τοὺς νηστεύοντας, ὑπ' ἐκείνου δηλαδὴ παρασκευασθέντων ὡς τάχος καὶ
προτεθέντων, εἶτα καὶ κλῆσιν τὴν ἰδίαν ἀποκαλύψας, καὶ πατρίδα ἐξειπεῖν ἀξιώσας
ὀνομαστὶ τὰ Εὐχάϊτα, ἀπῆλθε τῶν ὄψεων αὐτίκα τοῦ πατριάρχου. 40 οὕτω μὲν δὴ τῷ
σοφιστῇ τῆς κακίας διελύθη τὸ σόφισμα, ἑαυτὴν ψευσα|μένης τῆς ἀδικίας, καὶ 169[1]
εἰς βόθρον ὃν ὤρυξεν, ἐμπέπτωκεν ὁ ὀρύξας*, καταγελασθεὶς αὐτὸς μᾶλλον καὶ χλευ-
ασθεὶς δικαιότερον ὡς κλέπτης οὐκ εὐφυὴς καὶ θηρατης οὐκ εὐτυχὴς οὐδὲ εὔστοχος ἢ
καταγελάσας ἄλλων ὡς ἤλπισεν· οὕτω δὲ τὴν ἀρχὴν καὶ τῷ πρώτῳ τῷ ὄντι τούτῳ
σαββάτῳ τὸ τῆς τελετῆς συνέστη μυστήριον· ἐντεῦθεν ἡ παροῦσα πανήγυρις τὴν ὑπό-
θεσιν ἔσχεν· ἀείμνηστον μὲν (ὥσπερ ἐχρῆν) συντηροῦσα τὴν εὐεργεσίαν τῷ βίῳ καὶ καθ'
ἕκαστον ἔτος ἀποδιδοῦσα τὰ χαριστήρια τῷ καὶ πάλαι καὶ νῦν τῆς ἀληθείας μάρτυρι
τούτῳ καὶ τοῦ ψεύδους ἐλέγχῳ καὶ κατηγόρῳ, παρευδοκιμοῦσα δὲ τῇ λαμπρότητι πᾶσαν
ἄλλην ἡμέραν μαρτυρικὴν καὶ ἑόρτιον ὅσας τε αὐτὸς οὗτος ἐν καιροῖς διαφόροις διὰ τῆς
οἰκείας μνήμης φαιδρύνει, καὶ ὅσας οἱ τούτου συναγωνισταὶ καὶ συστεφανῖται, ἄλλος
ἄλλην λαχών, καὶ οἷς ἕκαστος αὐτῶν ὠδυνήθη πάσχων εἰς μίμησιν τοῦ παθόντος ὑπὲρ
αὐτῶν, πολλὰς εἰς εὐφροσύνην ἡμῖν τὰς ἀφορμὰς | χαριζόμενοι, ὧν πασῶν 169[2]
ὑπεραίρει προφανῶς ἡ παροῦσα, ἣ τοσαύτην πλουτεῖ περιουσίαν δυνάμεως ὡς καὶ νόμους
βιάζεσθαι, καὶ ταῦτα τοὺς ἱερούς, καὶ καιροῦ τηλικοῦδε δυναστείας κατακρατεῖν. 41 ἴδε
γοῦν τὰς νηστίμους ὡς εἰς ἀπολαύσιμον μεθηρμόσατο, τὸ πένθος αὖ πάλιν ὡς εἰς
ἑορτὴν μετεσκεύασε, τὸ ἐπίπονον αὖθις ὡς εἰς ἄνεσιν ἔτρεψε, τὴν τοῦ χειμῶνος κατή-
φειαν ὡς εἰς ἐαρινὴν ἱλαρότητα, καὶ ὅλως ὡς ἤμειψεν ἡμῖν τὰ παρόντα καὶ τὴν παλαιὰν
παροιμίαν ἀτεχνῶς ἐπιστώσατο Ἄλλην τρέχοντες ἄλλην ἐφθάσαμεν — ἢ μᾶλλον εἰπεῖν
τὸ ψαλμικὸν* καὶ ἡμέτερον τὸ Ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωῒ ἀγαλ-
λίασις. τῷ ὄντι γὰρ ἔτρεψε* τὸν κοπετὸν ἡμῶν εἰς χαράν, καὶ εὐφροσύνην ἡμᾶς πνευ-
ματικὴν περιέζωσεν. εἰ δ' ἐν πενθίμοις τοσαύτη τις ἡ τῆς λαμπρότητος δύναμις, ἡλίκη
φανήσεσθαι καὶ πόσον ἐκλάμψειν ἔμελλε πλέον, καιροῦ λαβομένη καταλλήλου τῷ πρά-
γματι καὶ παρ' ἑαυτοῦ τι | συντελοῦντος πρὸς τὸ φαιδρότερον, ἀλλ' οὐ μᾶλλον 170[1]
ὡς οὗτος ὁ παρὼν ἀντιπράττοντος;

42 Ἔχετε τὸν λόγον ἀμφοτέρων, ὡς ἡ ὑπόσχεσις, τοῦ τε τόπου λέγω καὶ τοῦ καιροῦ, καθ' ὃν ἐνταῦθα καὶ νῦν ὑπὲρ πάντας τοὺς ἄλλους χρόνους καὶ τόπους ὁ ἡμέτερος οὗτος τροπαιοῦχος καὶ πολιοῦχος τιμᾶται διαφερόντως· ἀπέχει δὲ καὶ αὐτὸς τὴν δικαίαν παρ' ἡμῶν ὀφειλήν, τὸν εἴτε ἔπαινον τοῦτον εἴτε προσφωνητικόν, ἄλλως εἰς τὴν πανήγυριν οὐκ ἄξιον μὲν (πᾶς τις ἂν εἴποι) τῆς τοῦδε μεγαλειότητος (καὶ τί γὰρ ἄξιον παρ' ἀν-θρώπων τῷ θεόθεν οὕτω δεδοξασμένῳ, ὃν Χριστὸς ἀνεκήρυξεν ἔμπροσθεν τοῦ οὐρανίου πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων ὡς καὶ αὐτὸς ἔμπροσθεν τῶν ἀνθρώπων ἀνακηρυχθεὶς ὑπὸ τούτου σὺν παρρησίᾳ*;), τοῦ πρὸς δύναμιν δ' ὅμως τὴν ἡμετέραν λειπόμενον οὐδὲν οὐδ' ἐνδέοντα.

39 Lagarde Semitica II 27 | 40 Ecclesiastes 10, 8 | 41 Psalm κθ 6 | 41 Psalm κθ 12 | 42 Matthaeus 10, 32

[43]*Σὺ δέ, δόξα μαρτύρων, δόξα πάντων ἁγίων, ὁ ἐν πᾶσιν αὐτοῖς ὀνομαστότατος
καὶ περιφανέστατος, δέχοιό μοι τόνδε τὸν λόγον, οὐ φαυλότερον ἴσως καρποφόρημα
καὶ | ἀνάθημα τῶν ἐκ σηρικῶν ὑφασμάτων καὶ τῆς ἄλλης ἀψύχου ταύτης ὕλης 170[2]
καὶ ἀναισθήτου, οἷς σε χεῖρες εὐσεβεῖς δεξιοῦνται, ἃ καὶ σὴς* διαφθείρει καὶ κλέπτης
ἀποσυλᾷ καὶ λῃστὴς δυνάστης ἁρπάζει καὶ χρόνος ἀφανίζει τὸ τελευταῖον· ὧν οὐδὲν
τὸ ἡμέτερον, ἀλλ' ἀναφαιρετόν σοι καὶ ἄφθαρτον ἀεὶ συμπαραμενεῖ, καὶ τῶν σῶν τε-
ραστίων (ὅσον ἐκ μέρους) μεγαλόφωνος ἔσται κῆρυξ ὁ λόγος, συμπαρεκτείνων ἑαυτὸν ὡς
εἰκὸς καὶ συμπροϊὼν τῷ χρόνῳ πρὸς τὸ μετ' ἔπειτα. [44]τοῦτον οὖν προσδεξάμενος ἵλεώς
τε καὶ ἤπιος, καὶ πρός τε τὸν βραχὺν ἐπαινέτην πρός τε τούσδε τοὺς σοὺς πανηγυριστὰς
καὶ ὑμνολόγους εὐμενὲς ἐπιβλέψας, ἄμειψαί μοι πάντας τῆς προαιρέσεως, οὓς ἀμείψασθαι
θέμις, καὶ τοὺς μὲν ἄχρι τέλους τῆς συνήθους προμηθείας ἀξίου καὶ τὴν ἴσην ἀντίληψιν
χαρίζου παραπλησίως, τῷ δὲ κόσμῳ κακῶν ἀπαλλαγὴν ἐξαιτοῦ, πληθυνθέντων νῦν
μᾶλλον διὰ τὸ καὶ τὴν ἀνομίαν* μάλιστα πληθυνθῆναι καὶ τὸ πᾶν | ὅσον οὔπω 171[1]
κινδυνευόντων ἐκτρῖψαι, εἰ μὴ σὺ τὴν σὴν ἐξαγείρας παρρησίαν καὶ δυναστείαν ταχυνεῖς
εἰς τὸ σῶσαι πάλιν ὡς εἴωθας· ἡμῖν δὲ τοῖς ἐνταῦθα διὰ σὲ παρεπιδήμοις καὶ ξένοις*,
τὴν ἀρχαίαν ἐκείνην αἴτησιν ἀποπλήρου, περὶ ἧς πολλὰ δεηθέντες καὶ πολλάκις ἐκλι-
παρήσαντες καὶ πρὶν ἐνθάδε γενέσθαι, οὔπω τὰς ἐλπίδας παρήκαμεν, τῇ σῇ, φιλάγαθε
μάρτυς, πεποιθότες ἀγαθωσύνῃ, ἵν' ὥσπερ αὐτὸς οἷς ἔκρινας τρόποις ἐξελέξω καὶ προ-
σελάβου ποιμαίνειν* Ἰακὼβ τὸν σὸν δοῦλον καὶ Ἰσραὴλ τὸν ἠγαπημένον τοῦτον λαόν
σου (ἄτοπον γὰρ ἴσως οὐδὲν δεσπότῃ προσηκούσας φωνὰς θεράποντι πιστῷ περιάπτειν*),
οὕτω καὶ ἰσχὺν αὐτὸς περιζώσῃς καὶ ῥῶσιν χορηγήσῃς διπλῆν, ἐπειδή σοι καὶ σῶμα καὶ
ψυχὴν κάμνομεν, καὶ τὸν σκόλοπα* τοῦτον ᾧ παιδευόμεθα, οὐκέτι φέρειν (ὡς ὁρᾷς)
ἔχομεν, λυπηρὸν ἡμῖν οὕτω καὶ βαρὺν ἐπικείμενον καὶ πρὸς ἅπασαν πρᾶξιν πνευματικὴν
καὶ σοὶ φίλην ἐμποδὼν ἀεὶ καθιστάμενον. ὥστε σπεῦσον εἰς τὴν βοήθειαν, σπεῦσον,
ὁ ταχὺς εἰς ἀντίληψιν. [45]ἔγνως ἤδη τὸν πόθον· γνώρισον αὐτός μοι τὸν ἔλεον. ἔχεις
| τὸν λόγον· ἀντεπίδειξαί μοι τὸ ἔργον. ἔχεις τὴν προθυμίαν· ἀντίδος τὴν θερα- 171[2]
πείαν — ἢ μηδὲν ἔτι μέμφου πρὸς τὰς σοὶ καθηκούσας ὑστεροῦντας ὑπηρεσίας, μηδ'
ὡς λειποτάκτας ἡμᾶς καὶ περιφρονητὰς αἰτιῶ· σὺ γὰρ μάρτυς κἀν τούτῳ τῆς ἀληθείας,
ὅτι τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής*· οὔτ' οὖν τῆς θείας φιλανθρωπίας
οὔτε τῆς μαρτυρικῆς εὐμενείας ἀπαιτεῖν τὰ μὴ κατὰ δύναμιν. [46]ἐκεῖ δέ σου πάντως
τύχοιμεν ἅπαντες προστάτου θερμοῦ καὶ πολύ τι θερμοτέρου παρὰ τὸν νῦν (εἰ οἷόν τε)
ὅσῳ τότε καὶ μείζων ὁ ἀγὼν καὶ ὁ κίνδυνος· καὶ παρασταίημεν ἀκαταίσχυντοι τῷ δε-
σποτικῷ βήματι διὰ τῆς σῆς μεγάλης πρεσβείας καὶ τῆς πρὸς αὐτὸν οἰκειώσεως, ὑπὲρ
οὗ τὸ σὸν αἷμα χαίρων ἐξέχεας, καὶ παρ' οὗ τοιαῦτα προφανῶς δύνασθαι κἀνταῦθα
κἀκεῖ χάριν εἴληφας· ὅτι αὐτῷ πρέπει δόξα καὶ τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

| **180.** *Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων λόγος εἰς τὴν 172[1]
μνήμην τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ τήρωνος, ἤτοι τὸν ἀνθισμόν.*

[1]Μαρτυρικὴ πανήγυρις πάλιν, καὶ τῶν μαρτύρων ὁ μέγιστος ὑπόθεσις αὖθις τῷ τε

43 C[m] *οἱ ἐπίλογοι Studemund* | 43 Matth 6, 19 | 44 Matth 24, 12 | 44 Genes 23, 4 | 44 Psalm οζ 71 | 44 *ἄτοπον* usque ad *περιάπτειν* addidit aut C[1] aut manus coaeva in margine *Studemund* | 44 Cor β 12, 7 | 45 Matth 26, 41

λόγῳ καὶ τῷ συλλόγῳ· δεῖ γὰρ τὸν ἄφθονον τὰς πρὸς ἀνθρώπους εὐεργεσίας δαψι-
λεστέρας ἀπέχειν καὶ τὰς ἐντεῦθεν εὐχαριστίας. τὸ παρὸν μὲν οὖν ἄθροισμα ἐκ παντὸς
ἔθνους ἤδη μικροῦ τῶν ὑπ' οὐρανόν ἐστι, καὶ συνῆλθεν ἐνταῦθα τοσοῦτον πλῆθος καὶ
συνεχύθη, ὥστε τὴν δόξαν τοῦ τόπου τοῦ ἁγίου τοῦδε θεάσασθαι καὶ τὴν ἐπισκιάζουσαν
ἐν τούτῳ χάριν καὶ δύναμιν θαυμάσαι καὶ ἀνυμνῆσαι· ἡ ἡμέρα δὲ σύνθημα κοινὸν
τοῖς συντρέχουσιν, εἰς τιμὴν ἀνέκαθεν ἐτησίαν ἀνακειμένη τῷ μάρτυρι, καὶ τὰς πολλὰς
μυριάδας ταύτας τὰς ὁρωμένας ὡσανεί τις εὔσημος σάλπιγξ καὶ διαπύρσιος ἐπὶ τὸ μαρ-
τυρικὸν καὶ ἅγιον τοῦτο τέμενος συγκαλοῦσα. ὁ δὲ λόγος ἑαυτὸν πρὸς τὰ πράγματα
διχῇ διαιρῶν, τοῦτο μὲν τοὺς παρόντας φιλοφρόνως ἀσπάζεται καὶ | δεξιοῦται 172[2]
λίαν ἡδέως, καὶ τῆς εὐσεβείας αὐτοὺς καὶ περὶ τὰ καλὰ προθυμίας ἀξιοπρεπῶς ἐπαινεῖ·
τοῦτο δὲ καὶ τῷ μάρτυρι βραχέα καὶ νῦν τῆς εὐφημίας ἀπάρχεται, στενοχωρούμενος μὲν
ἐπιεικῶς τῷ καιρῷ, ἐπειδήπερ ἀνέσεως αὐτὸν οἱ πολλοὶ καὶ οὐ σπουδῆς ἤδη τίθενται,
ἀφοσιούμενος δ' ὅμως ἐκ τῶν παρόντων ὡς ἔξεστι τὴν μεγάλην ἡμέραν ταύτην καὶ τὴν
ὑπόθεσιν. [2] ἀλλ' ἀνάσχεσθέ τι μικρὸν τῇ ἀκροάσει χαρίσασθαι, τῷ δὲ λόγῳ σφόδρα
μελήσει συντομίας καὶ τάχους, ἵνα καὶ αὐτὸς ὑμῖν εἰς δέον ἀνυχαρίσηται, ἐπειγόμενός
τε πρὸς τέλος καὶ προσεχῶς ἐντεῦθεν ἀρχόμενος. ἡ ἀρχὴ δὲ τοιαύτη· ἀπὸ θέας γὰρ
ἔρχεται, καὶ τὴν ἡδίστην ὄψιν ἐκείνην τῶν ὑμετέρων σκηνωμάτων καὶ τῶν ἐπαύλεων
ἱστορήσας ἔναγχος ἐπιφθέγγεται.

[3] Ὡς καλοί σου οἱ οἶκοι, Ἰακώβ, αἱ σκηναί σου, Ἰσραήλ, ὡσεὶ νάπαι σκιάζουσαι, ὡς
παράδεισοι ἐπὶ ποταμῶν, ὡσεὶ κέδροι παρ' ὕδατα*. ταύταις γὰρ ταῖς φωναῖς οἶδεν
ἄνωθεν τὸ πνεῦμα κυρίου τὸν ἑαυτοῦ λαὸν δεξιοῦσθαι, | ἐν στόμασι λαλοῦν 173[1]
προφητῶν οὐ μόνον οἰκείων, ἀλλ' ἤδη καὶ ἀλλοτρίων περιουσίᾳ δυνάμεως καὶ χρηστό-
τητος πλούτῳ, οὐ μᾶλλον ἐν ῥήμασιν ἢ ἐν πράγμασι διαφαινομένῳ, ὑφ' οὗ τὰ τέκνα
Σιὼν οὕτω πάλαι τε καὶ νῦν ἐπληθύνθη καὶ πρὸς τοσαύτην ἐπίδοσιν καὶ δόξαν προ-
ῆλθεν, ὡς τοιούτων τυγχάνειν παρ' ἐκείνου τῶν ἐγκωμίων, ἐπὶ τοῖς ἔργοις αὐτοῦ κατὰ
τὸ γεγραμμένον* εὐφραινομένου, καὶ ὡς ἐν ἀρχῇ τῆς δημιουργίας μετὰ τὸν ἀπαρτισμὸν
ἐπαινοῦντος, καὶ καλὰ λίαν* κρίνοντος. [4] τοιαύτη μὲν οὖν ἡ παρ' ἡμῶν προσαγόρευσις
πρὸς ἅπαντας ὑμᾶς τοὺς μακρόθεν, οὓς ἡ χάρις συνήγαγεν εἰς ἓν παρ' ἡμῖν ἐκ τῶν
μερῶν ἁπάντων τῆς οἰκουμένης, καὶ τοσαύτης ἠξίωσεν εὐφημίας ἅμα καὶ εὐλογίας, ἥτις
ἤδη καὶ μόνη (θεοῦ γὰρ καὶ θεία) πᾶσι πάντως ἀρκέσει πρὸς τὸ καθῆκον· τὸ δ' ἐν-
τεῦθεν ὁ ἅγιος, ἐφ' ὃν ὑμῖν ἡ ὁρμὴ καὶ ἡ πανταχόθεν συνέλευσις, γενεαῖς γενεῶν ἐξ
ἡμερῶν ἀρχαίων εἰς δεῦρο σπουδαζομένη, οὐ μὲν οὖν ἀλόγως οὐδ' εἰς κενόν, ἀλλὰ καὶ
λίαν | σὺν λόγῳ καὶ μετὰ λαμπρᾶς οἷας καὶ μεγαλοπρεποῦς τῆς προφάσεως. 173[2]
[5] οὗτος γὰρ ὁ ἐν μάρτυσι διαβόητος καὶ ἀοίδιμος, ὁ τοὺς μεγάλους ἄθλους ἀνύσας καὶ
τὰς μεγάλας νίκας ἀράμενος, ὁ δοξάσας θεὸν τοῖς ἑαυτοῦ μέλεσι καὶ παντοίοις χαρί-
σμασιν ἀντιδοξασθεὶς ὑπ' αὐτοῦ, ὁ μέχρι μὲν θανάτου τὴν πρὸς αὐτὸν ἀγάπην ἐπιδει-
ξάμενος, ἀθανάτοις δὲ τιμαῖς παρ' αὐτοῦ καὶ δωρεαῖς ἀκηράτοις ἐν οὐρανῷ καὶ γῇ
φιλοτιμηθείς, οὗ καὶ ἡ ζωὴ ζηλωτὴ καὶ παρὰ πᾶσιν ἀπόβλεπτος, καὶ ὁ θάνατος τίμιος*
οὐ μόνον ἐναντίον κυρίου, ἀλλὰ καὶ ἐναντίον ἀνθρώπων, ὃς ἐν ἀριστείαις πάλαι διε-

3 C[m] περὶ τῆς πανηγύρεως Studemund | 3 Num 24, 5 6 | 3 Psalm ργ 31 | 3 Genes 1, 31 | 5 C[m] περὶ τῶν τοῦ ἁγίου κατορθωμάτων Studemund | 5 Psalm ρις 6

βοᾶτο, καὶ ἐπὶ ἔργοις χειρῶν νεανικῶν ἐθαυμάζετο, ὃς κατώρθου πολέμους, καὶ κατ'
ἐχθρῶν ἀνήγειρε τρόπαια, οὗ τὰ πάρεργα καὶ γυμνάσια πανωλέθρων φόνοι θηρίων,
ἄλλοις καὶ προσβλέψαι δεινῶν, καὶ τόπων ἀνακαθάρσεις καὶ συνοικισμοὶ πόλεων· ὁ δὲ
μάρτυς οἴκοθεν (ὅ φασιν), ἡ τοῦ μάρτυρος αὕτη πόλις καὶ παροικία, ἣν ἐξ ἐρημίας*
| ἀβάτου πολυάνθρωπον πόλιν τε καὶ χώραν ἀπέδειξε, τὸ τῆς ἐρημώσεως βδέ- 174[1]
λυγμα*, τὸ μέγα τέρας ἐκεῖνο καὶ ἀκούουσιν ἄπιστον καὶ ἰδοῦσι φοβερὸν καὶ συντυχοῦσιν
ὀλέθριον ἐν χειρὶ καταβαλὼν κραταιᾷ, καὶ ξένον πάσῃ σαρκὶ καὶ παντὶ καὶ τόπῳ καὶ
χρόνῳ θαῦμα παραδοὺς καὶ διήγημα· οὗ καὶ ταῦτα δεδοξασμένα καὶ τὰ ἐφεξῆς ἐν-
δοξότερα, τὰ πρὸ τῶν μειζόνων ἀγώνων, οἱ ἀγῶνες οἱ μείζους, ἡ τελευταία νίκη καὶ
πολυύμνητος, τὰ ἐπ' ἐκείνῃ βραβεῖα καὶ τῶν ἄθλων τὰ ἔπαθλα. 6 τίς ἂν ταῦτα καθ'
ἕκαστον ἐπέλθοι τῷ λόγῳ; τίς, κἂν ἄγαν ἐπιτέμοι, μὴ παρατείνοι τὸν ὑπὲρ εὐσεβείας
ζῆλον ἐκεῖνον, τὸν ὄντως πῦρ πνέοντα καὶ πῦρ ἀφιέντα, ὑφ' οὗ τὰ βδελύγματα τῆς
πλάνης ἀπετεφρώθη, αἰσθητῶς τε ἅμα καὶ νοητῶς ἀπωλείας ζόφῳ παραδοθέντα, τὰς
ὑπὲρ τούτων αὖθις εὐθύνας, τὸ πρὸς ταύτας τοῦ μάρτυρος ὑπεροπτικὸν καὶ γενναῖον,
τὸ εὐγενὲς ἐκεῖνο παράστημα, τὸ τοῦ φρο|νήματος μέγεθος, τὸ τῆς γλώσσης 174[2]
ἐλεύθερον, τὴν παρρησίαν, τὴν ἔνστασιν, τοὺς ἐλέγχους, τὰς ἀποδείξεις, τὸ πρὸς τὰς
κολάσεις καρτερικόν, τὸ πρὸς τὰς θωπείας ἀμείλικτον, τὸ στερρὸν πρὸς ἅπασαν προσ-
βολήν, τὸ πρὸς πᾶσαν πεῖραν ἀνάλωτον, καὶ τέλος τὴν πρὸς τὸν θάνατον εὐτολμίαν
καὶ περιφρόνησιν· ἐφ' οἷς αἱ ἀμοιβαὶ ποῖαι; καὶ τὰ γέρα τίνα καὶ πόσα; ψάμμον ἂν
πρότερον ἀριθμήσῃς θαλάσσης καὶ ἀστέρας οὐρανοῦ καὶ σταγόνας ὑετοῦ ἢ τὸν ἄπειρον
πλοῦτον τῶν μαρτυρικῶν χαρισμάτων ἀριθμῷ δυνήσῃ περιλαβεῖν. 7 τούτῳ γὰρ ἐδόθη
παρὰ Χριστοῦ, ὑπὲρ οὗ παθεῖν εἵλετο, ἄνω μὲν τὸ συνεῖναι καὶ συμβασιλεύειν αὐτῷ
βασιλείαν ἄφθαρτον καὶ αἰώνιον, ὑπερβάντι τὴν φύσιν καὶ θεῷ σαφῶς γενομένῳ, θεοῦ
συγκληρονόμῳ καὶ κληρονόμῳ, ὃ πέρας οἶδεν ὁ λόγος* πάσης μακαριότητος, κάτω δὲ
τὸ δυνάμεις ἐκτελεῖν παραδόξους καὶ κοινὸν πᾶσιν ὄφελος χρηματίζειν ἀνθρώποις.
τοῦτον εὐεργέτην δημόσιον κατέστησεν | ὁ δοξάσας. τοῦτον ἡ πολυποίκιλος* τῷ 175[1]
ὄντι σοφία πολύτροπον ἡμῖν ἀγαθὸν καὶ πολυειδὲς ἐχαρίσατο. οὗτος ὁ μικροῦ πᾶσαν
κτίσιν τεράτων καὶ σημείων πληρῶν, ὁ τοῦ χριστωνύμου λαοῦ κατὰ βαρβάρων προπο-
λεμῶν, ὁ καὶ στρατιώταις ἔτι συστρατευόμενος καὶ συστρατηγῶν στρατηγοῖς καὶ βασιλεῦσι
νίκας βραβεύων καὶ πόλεις καὶ χώρας ὑπὸ χεῖρα παραδιδούς*· ἀπόδειξις τούτων αὐτά
τε τὰ πράγματα καὶ πρός* γε τὰ γράμματα, ἐν οἷς οἱ δι' αὐτὸν εὐτυχήσαντες τὴν ὁμο-
λογίαν τῆς χάριτος ἀθάνατον ἔλιπον ὥσπερ ἔν τισι στήλαις ἀκινήτοις καὶ αἰωνίοις,
βασιλικαῖς ἀληθῶς φιλοφροσύναις ἅμα καὶ ἀντιδόσεσι τὴν ἐφ' οἷς εὖ πεπόνθασι δη-
λοῦντες εὐγνωμοσύνην. 8 οὗτος ὁ φοβῶν καὶ νῦν πολεμίους καὶ λύτρων χωρὶς ἐπιστρέ-
φων αἰχμαλωσίας· οὗτος ὁ σκῦλα προνομεύων ἐχθρῶν καὶ ἀπαρχὰς ἄλλας τέ τινας
προσηκούσας ἀπολαμβάνων καὶ αὐτὰ ταῦτα δὴ τὰ σὺν τούτῳ νικῶντα τοὺς ἐχθροὺς
ὅπλα. | καθ' ὅλου δ' εἰπεῖν, ὁ ἐν πολέμοις ἡμῖν ἀνδραγαθῶν ἀεὶ καὶ κρατῶν 175[2]
οὗτος ἀτεχνῶς καὶ οὐχ ἕτερος, εἰ δ' οὖν, ἀλλὰ πρό γε παντὸς οὑτινοσοῦν ἑτέρου καὶ
ὑπὲρ ἅπαντας, ἐπειδήπερ ἐξαιρέτως ἐνταῦθα δοκεῖ πως ὑπερπερισσεύειν περὶ τὸν ἅγιον

5 Aeschyl Prometh 1 | 5 Matth 24, 15 | 7 C^m περὶ τῶν θαυμάτων *Studemund* | 7 Rom 8, 17 | 7 Ephes 3, 10 | 7 χεῖρα παραδιδούς C^2, χεῖ ραδιδούς C^1 *Studemund* | 7 πρόσ C^2, πρό C^1 *Studemund*

ἡ χάρις τοῦ θεοῦ τῶν δυνάμεων, τὸ πρὶν οἶμαι τοῦ ἀνδρὸς ἐπιτήδευμα καὶ μετὰ τὴν
κάτω στρατείαν ἔτι τιμῶντος.

[9]ἀλλὰ ταῦτα μὲν ἤδη τὰ πολεμικὰ κατορθώματα τοῦ ἀκτήτου τοῦδε τρισαριστέως,
ἐν εἰρήνῃ δὲ τί; καὶ ποταπός τις εὑρίσκεται κατὰ καιρὸν τοῖς ἐν χρείᾳ; αὐτοὶ τὰ κα-
θεξῆς ἐντεῦθεν διαλαβόντες ἄλλος ἄλλο τι τῶν μαρτυρικῶν μεγαλείων ἐπεξηγεῖσθε, καὶ
συμπονεῖτε τῷ λόγῳ πρὸς τὸ πλῆθος ἰλιγγιῶντι· συχνῶν γὰρ ἡμερῶν διὰ τοῦτον εἰρη-
νικῶν ἀπηλαύσατε, καὶ δαψιλοῦς τῆς ἐντεῦθεν κατετρυφήσατε χάριτος, ὥστε πᾶς ἂν
εἰδείη τις καὶ ἔπηλυς καὶ ἐγχώριος τὸ παντοδαπόν τε καὶ πλούσιον τῶν τοῦ ἀθλητοῦ
τερασιίων, ὅσα μὲν ὕπαρ, ὅ|σα δὲ ὄναρ, ὅσα μεθ' ἡμέραν, ὅσα νυκτός, καὶ δι' 176[1]
ἑτέρων ἑτέρους ὅσα καὶ οἷα· καὶ καθ' ἑαυτοὺς αὖθις ἄλλους εὖ πεποίηκεν ἕκαστον, οὐκ
ἀνθρώπους μόνον, ἀλλὰ καὶ οἴκους, οὐδὲ οἴκους μόνον, ἀλλὰ καὶ πόλεις, ἔτι δὲ χώρας
ὁλοκλήρους καὶ ἔθνη ἢ κοινῆς ἢ ἰδίας συμφορᾶς ἀπαλλάξας καὶ σωτὴρ αὐτοῖς ἐν
ἀνάγκαις ἐπιφανεὶς καὶ γενόμενος, ἵνα ζῴων ἀλόγων ἐπιμελείας παρέλθω, ἐπεὶ καὶ
μέχρις αὐτῶν ὁ ἀγαθὸς ἐκτείνει τὸ συμπαθές. ἀλλ' ἡμῖν πρὸς τὸν ἔπαινον ἀπόχρη καὶ
τἄλλα, ὅπου καὶ τὰ σμικρότατα τῶν ὑπ' αὐτοῦ πραττομένων καὶ (ὡς ἄν τις εἴποι) προσ-
παιζομένων ὑπεραίρειν εἰς θαῦμα πάντα λόγον δοκεῖ. [10]οἷον (παραδείγματος ἕνεκεν)
στρατιώτης ἁρπάζει· τὸ γὰρ γένος τοιοῦτον καὶ τὸ ἀνόμημα. ὑπὸ τούτου δεόντως νου-
θετεῖται καὶ σωφρονίζεται. ἀδικεῖν ἐπιχειρεῖ βασιλεύς; παρὰ τούτου τῆς ὁρμῆς ἀποτρέ-
πεται. ἐπιβουλεύεται δεσπότης ὑπνῶν; οὗτος ἀφυπνίζει καὶ ῥύεται. τοῖς ὑπὸ χεῖρα
| σκληρός ἐστι; μαλάσσει παραινῶν οὗτος. δραπετεύει τις οἰκέτης; ἐπέχει. κλέπτει; 176[2]
καταμηνύει· τοὺς ἔξωθεν φῶρας, τοὺς ἐντὸς δήλους τίθησιν, ἁρπάζων ἁρπάγματα,
ἐπανάγων κλέμματα, λύμας οἴκων ἰώμενος, πόλεων φθορὰς ἀπελαύνων, ἑαυτὸν ἀνε-
πιφθόνως πᾶσι καταμερίζων, καὶ πρὸς πᾶσαν περίστασιν ὑπερφυῶς ἐξαρκῶν. [11]ἐπι-
σφαλῶς τις αὖθις νοσεῖ καὶ ἀνελπίστως ἔχει τοῦ ζῆν; τούτου θᾶττον μνησθεὶς καὶ
δεηθεὶς ῥᾷον ἔσχεν. ἀπεγνώσθη τι πάθος εἰς θεραπείαν; ἀλλ' οὗτος εὐμενὲς ἐπιβλέψας
οὔτ' ἀπέγνω, καὶ τεθεράπευκε. μέριμνά τις καρδίαν ἐγκειμένη δαπανᾷ; οὗτος εἰς ἔννοιαν
ἐλθὼν (ἢ μηδὲ ἐλθὼν ἔστιν ὅτε, τὸ θαυμαστότερον) παρηγόρησε ταχὺ καὶ ἀνέπαυσεν.
ἄλλον τρύχει πενία; ἐγγὺς εὑρίσκει τὸν ποριστήν. ἄλλον τυραννεῖ δυναστεία; ἕτοιμος
εὐθὺς ὁ προστάτης. ὁ ἀπιὼν ἐπὶ πόλεμον ἐντεῦθεν ὁπλίζεται. ὁ ἐπανιὼν ἐκ πολέμου
ἐνταῦθα τὰ ἐπινίκια ἢ καὶ τὰ νικητήρια περιχαρῶς ἀποδίδωσιν. ὁ περιπεσὼν ναυαγίῳ
| τούτῳ τῆς ἐλπίδος τοὺς οἴακας πιστεύσας οὐκ ἀτυχεῖ. ὁ θηρίοις ἐντυχὼν 177[1]
ἀπροόπτως τὸν μέγαν θηροκτόνον τοῦτον εὐθὺς ἐπικαλεσάμενος ἄπεισι κακῶν ἀπαθής.
πάσαις ἀναλόγως ἑκάστοτε ταῖς συμπιπτούσαις χρείαις ἐπικουρεῖ, πᾶσι γίνεται πάντα,
ἵνα πάντας εὖ τι ποιήσῃ, καὶ μηδεὶς ἀμέτοχος αὐτῷ παροφθῇ τῶν ἀφθονωτάτων τούτων
καὶ παμπλουσίων τῆς μαρτυρικῆς χρηστότητος θησαυρῶν. [12]ὧν ἤδη καὶ ὑμῶν ἕκαστος
μετασχὼν κατὰ μέρος (ὥσπερ εἰκός) καὶ τὰ μὲν αὐτὸς εὖ παθών, τὰ δὲ καὶ ἄλλον
ἀκούσας ἢ ἰδὼν πεπονθότα, ἐπὶ τὴν πηγὴν τῶν τοσούτων θαυμάτων ἀλλαχόθεν ἄλλος
ἐσπεύσατε, τὴν λαμπρὰν ἡμέραν ταύτην καὶ χαριστήριον ἐνταῦθα συνήθως μεθ' ἡμῶν
ἑορτάσοντες. ὁ ναὸς δὲ πᾶσιν ἀνέῳγε, καὶ ὁ ἐνοικῶν ὑποδέχεται, καὶ τὸ λειτουργικὸν
αὐτοῦ σύστημα, ὁ ἱερὸς λαὸς οὗτος, ἥδιστά τε τὰς ὄψεις ἐπιβάλλει τοῖς συνελθοῦσι καὶ

12 C^m περὶ τῆς τοῦ λαοῦ συνδρομῆς Studemund

τὸ πλῆθος θαυμάζει καὶ τὴν πίστιν (ὡς εἰκός) ἀποδέχεται· πανοικεσίᾳ | γάρ οἵ 177[2]
γε πλείους γυναιξί τε καὶ τέκνοις πάρεισιν ἅμα· ἤδη δέ που καὶ ἔρημοι γυναῖκες ἀν-
δρῶν ἢ καὶ τὸ παράπαν ἄπειροι γάμου καὶ πατέρων ὀρφανοὶ παῖδες οὐ μικρόν εἰσι
μέρος τῆς ὁμηγύρεως, μηδὲν ὑπὸ τούτων κωλυθέντες τῶν συμπτωμάτων· ἔνθεν τοι καὶ
πᾶν ὅσον ἔκδημον καὶ ὅσον ἐγκάτοικον εἰς ταὐτὸ συνελθόντες ἓν γεγόνασιν ἄθροισμα
καὶ μία ἐκκλησία καὶ σύμπνοια. προσλαβόντες δὲ καὶ τὸν ἔξαρχον, ὅστις καὶ αὐτὸς
μικρῷ πρότερον ἐξ ἀλλοτρίας ἔφθην ἐπιδημήσας, ἰδοὺ κοινῇ πάντες τὴν χαρμόσυνον
ταύτην ἑορτὴν ἄγομεν καὶ τὸν κοινὸν περιστάντες πάντοθεν εὐεργέτην, τὰ πρὸς δύναμιν
ἕκαστος εἰς τὴν αὐτοῦ τιμὴν συνεισφέρομεν, κροτοῦντες, ὑμνοῦντες, εὐλογοῦντες, γεραίροντες,
δῶρα προσάγοντες, λαμπάδας ὑφάπτοντες, ἐπιρραίνοντες μύροις, ἀναδοῦντες στεφάνοις,
ἄνθεσι βάλλοντες ὡς τροπαιοῦχον, ὡς ἀριστέα, ὡς ἀθλητήν, νικητήν, στεφανίτην, μεγα-
λομάρτυρα, καὶ πρὸς τούτοις παγκόσμιον σωτῆρα καὶ | κηδεμόνα. 178[1]

13 ἔχει δὲ τά τε ἄλλα καὶ μέντοι καὶ αὐτὸν τὸν καιρὸν ἡ πανήγυρις εἰς τὴν φαι-
δρότητα συνεργόν· λαμπρὰ μὲν γὰρ ἤδη καὶ ἡ πρὸ μικροῦ τῷ γενναίῳ κατὰ πᾶσαν
πόλιν καὶ χώραν (ἐνταῦθα δὲ μάλιστα) συστᾶσα καὶ τελευθεῖσα[sic], ἣν ἓν κατόρθωμα καὶ
ὀπτασία μία νυκτερινή, βασιλίδα πόλιν κινδύνου ῥυσαμένη μεγίστου, οὕτως ἔντιμον πᾶσι
καὶ δεδοξασμένην κατέστησεν. ἀλλ' ἐκείνην μὲν ὁ τότε χειμὼν καὶ τὸ ἔθος ἄλλως τῆς
ἐγκρατείας (κακοπαθείας ὑπόμνησις) τηνικαῦτα παρὸν καθαρῶς ἐκλάμπειν οὐκ εἴων
ὥσπερ ἥλιον νέφη — τὸ τηνικάδε συμβαῖνον — τὴν ἑορτὴν ὑποτρέχοντα· ταύτῃ δὲ τῇ νῦν
ἀγομένῃ τοιοῦτον μὲν οὐδὲν οὐδ' ἐγγύς, εἰ μή που τις καὶ τοῦτο νηστείαν τὸ κεκολα-
σμένον πως ἄρτι καὶ κατὰ βραχὺ σωφρονέστερον τῆς διαίτης καλέσοι, πρᾶγμα λέγων
ἀνόμοιον, ἐπεὶ τὸ παρὸν αὐτοῖς τε τοῖς ἀσκοῦσιν ἄγαν κουφότατον, τοῖς τε πλείστοις
τῶν ἄλλων τὴν ἀρχὴν οὐδὲ γνώριμον. οὕτω δὲ προά|γομαι λέγειν, ἐννοῶν τὴν 178[2]
ἀνθρωπίνην ἀσθένειαν, ὡς τὸ μὲν ἐπίπονον ἅπαν, ὃ τῆς ἀρετῆς ἐστιν ἴδιον, δυσχερές
πως ἡγεῖται καὶ ἀηδές, ἡδὺ δὲ τοὐναντίον καὶ χάριεν τὸ ῥᾳστώνην ἔχον καὶ ἄνεσιν,
πρὸς ὃ πεφύκασι μᾶλλον ἢ πρὸς ἐκεῖνο καὶ τὸ φαιδρὸν μετρεῖν τῶν συνάξεων.

14 ἀλλ' ὁ μὲν τότε καιρὸς ὅπερ ἔφαμεν, καὶ διὰ τὴν ὥραν οὐχ ἥκιστα καὶ διὰ τὸν
ἄρχοντα νόμον καὶ ἑκόντας καὶ ἄκοντας εἰς κατήφειαν συνελαύνων, τῇ περιχαρείᾳ τῆς
πανηγύρεως ὅμως ἐξενικήθη· ὁ δ' ἐνεστὼς τοὐναντίον οὐ μικρὸν μέρος οἴκοθεν εἰς
ἡδονήν τε καὶ χάριν τῇ παρούσῃ προστίθησιν· ἔαρ γὰρ ἡ βασίλισσα νυνὶ τῶν ὡρῶν,
καὶ τοῦ ἔαρος ἤδη τὸ λῆγον, οὐ τὸ ἀρχόμενον, ὥστε δύο καιρῶν τῶν καλλίστων ἐξόχως
καὶ τερπνοτάτων, ἔαρός τε καὶ θέρους, ἐν μέσῳ τὴν ἡμέραν λαχεῖν καὶ τὸ φαιδρὸν
ἑκατέρωθεν προδήλως καταπλουτεῖν, ἡμέραν τὴν τῷ ὄντι μεγίστην ἐν ἡμέραις ἐνιαυτοῦ
μήκει τε διαστήματος εἰς ἑσπέραν ἐξ ἕω καὶ μεγέθει χάριτος καὶ λαμπρότητος, καθ' ἣν*
ὅ τε ἥ|λιος εἰς ἄκρον ὕψος ἐπῆρται καὶ τηλαυγεστέρας ἐκεῖθεν ἐπαφίησι τῇ γῇ 179[1]
τὰς ἀκτῖνας, σελήνη δὲ νύκτα καὶ ἀστέρες φαιδρύνουσιν, οὐχ ὡς χθές που καὶ πρώην τῷ
ζόφῳ τῶν νεφῶν ἐναφανιζόμενοι, ἀλλὰ καθαρῶς συναυγάζοντες ἀλλήλοις καὶ συνεκλάμ-
ποντες, ὑφ' ὧν ἥ τε νὺξ εἰς ἡμέρας ὄψιν μεταποιεῖται, καὶ τὰ οὐράνια κάλλη, παν-
ταχόθεν προβάλλοντα μαρμαρυγὰς ἐξαισίους, ἥδιστόν εἰσι θέαμα τοῖς ἐκείνων φιλο-

13 C[m] περὶ τοῦ πρωτοσαββάτων (geschr. πρωτωσαββάτ͞ d. h. των nicht του als Endung wol falsch) *Studemund* | 14 C[m] περὶ τῆς ἡμέρας τοῦ ἀνθισμοῦ *Studemund*

θεάμοσιν, ὅ τε πάλιν ἀὴρ τὴν πασῶν νῦν ἀρίστην κέκραται κρᾶσιν, ζωογόνους μὲν
αὔρας καὶ τελεσφόρους ἀναδιδούς, καρποῖς τε καὶ ζῴοις ἀναγκαιοτάτας καὶ σωτηρίους,
ὑετοὺς δὲ ὡρίους τοῖς κόλποις ἐπιπέμπων τῆς γῆς· ἡ δὲ τὸν ἑαυτῆς κόσμον ὥσπερ
νύμφη φιλόκαλος ὡραίως ἠμφιεσμένη βρύει μὲν φυτῶν κάλλεσι καρπῷ βριθομένων καὶ
τῇ κόμῃ τῶν φύλλων κατεστεμμένων, βρύει δὲ λειμῶσι καὶ ἄνθεσι καὶ πυκνότητι πόας,
χλοερᾶς μὲν ἔτι καὶ μαλακῆς, ὅμως δὲ τὴν δρεπάνην ἤδη προκαλουμένης. [15] στάχυς
αὖθις ἐντεῦθεν, | βότρυς πάλιν ἐκεῖθεν, ὁ μὲν ὅσον οὔπω τῇ τομῇ προσεγγίζων, 179[2]
ὁ δὲ μικρὸν ὕστερον ὑπισχνούμενος τοῦτο. ὀρνίθων ἐπὶ τούτοις ᾠδή, τε[τ]τίγων ἠχὴ
μουσικὴν ἡδίστην ἁρμοζομένων καὶ μέλη ποικίλα καὶ παντοδαπὰ προβαλλόντων. βόμβος
μελισσῶν ἐν λειμῶσι, περιϊπταμένων τὰ ἄνθη καὶ δρεπομένων καὶ τὴν σεμνὴν ἐν τοῖς
σίμβλοις ἐργασίαν τοῦ μέλιτος ἐμπορευομένων ἐντεῦθεν. φωνὴ σκιρτώντων ποιμνίων,
φωνὴ βουκολίων ἐν νομαῖς ἀνέτοις καὶ ἐλευθέραις, ἀρνῶν τε καὶ μόσχων ἡδύ τι ταῖς
μητράσιν ὑποσκαιρόντων καὶ τὰς θηλὰς σπαρασσόντων καὶ κατατεινόντων εἰς θηλασμόν.
θαλάσσης μόνον ἡμῖν καὶ τῶν ἐκεῖ καλῶν οὐ μετόν, ὥσπερ πάλιν οὐδὲ τῶν ἐναντίων,
τὸ τοῦ ὑστερήματος παραμύθιον· ἠπειρῶτις γὰρ καὶ μεσόγειος ἐκτόπως ἡ χώρα. πλὴν
καὶ ταῦτα τὴν ὄψιν ἱκανῶς ἑστιᾷ, ἱκανῶς εὐφραίνει τὴν ἀκοήν. πάντα θυμηδίαν καὶ
τέρψιν οὐ τὴν τυχοῦσαν παρέχει· πάντα πρὸς δόξαν συντελεῖται | θεοῦ τοῦ τὸ 180[1]
πᾶν σοφῶς ὑποστήσαντος καὶ οὕτω θαυμασίως κατακοσμήσαντος, ἐξ ὧν πανήγυρις
οὐ φαύλως συγκροτουμένη τὸ ἀκρότατον φέρεται περιφανῶς εἰς λαμπρότητα. [16] τοιοῦτον
νῦν ἡμῶν τὸ μυστήριον· τοσοῦτον τὸ θαῦμα τῆς ἡμέρας τοῦ στεφανίτου· οὕτως ἐν αὐλαῖς
τοῦ θεοῦ ψαλμικῶς* ὁ δίκαιος ἐξανθήσας ὡς φοῖνιξ, ὡσεὶ κέδρος* ηὐξήθη καὶ ἐπλη-
θύνθη, τὰς δωρεάς τε πρὸς ἅπαντας πληθύνων οὐκ ἐπιλείπει· καὶ αὐτὸς παρ' αὐτοῖς
ἐξηνθισμένος οὕτω πως — ἀγροικότερον ἴσως, ἤτοι διηνθισμένος — οὐκ ἔξω λόγου κα-
λεῖται, εἴτε διὰ τὸ ἀνθηρὸν καὶ χάριεν τῆς προσόψεως (ὡραῖος γὰρ κάλλει παρὰ τοὺς
κατ' αὐτὸν υἱοὺς τῶν* ἀνθρώπων ἱστορεῖται* γενέσθαι) εἴτε τὸν καιρὸν παραινιττόμενοι
μᾶλλον καὶ τὴν νῦν ἀκμὴν τῶν ἀνθέων, ἐντεῦθεν εἰκότως τὸν γενναῖον ἐπονομάζουσι.
προσειρήσθω οὖν ἐπ' αὐτῷ καὶ ἡ ἑορτὴ ἀνθοφόρια, ὥσπερ ἤδη παρά τισι καὶ ῥοδισμὸς
εἴτουν ἀνθισμὸς προσηγόρευται, | καὶ τετιμήσθω μὴ μᾶλλον τοῖς αἰσθητοῖς τού- 180[2]
τοις τῶν ἀγρῶν ἄνθεσιν ἢ τοῖς νοητοῖς τε καὶ τερπνοτέροις, λέγω δὴ τοῖς τῶν ἀρετῶν,
ἐξ ὧν αἱ φίλεργοι ψυχαὶ καὶ φιλόκαλοι τὸν ἀληθῆ γλυκασμὸν καὶ φωτισμὸν ἑαυταῖς
φιλοπονοῦσι καὶ θησαυρίζουσιν, οἷς καὶ ὁ τιμώμενος οὗτος πλέον χαίρει καὶ γάννυται
ὡς ἀρετῆς εἴ τις ἄλλος ἐραστὴς καὶ ἐργάτης καὶ τοῖς ἄλλοις συμπράκτωρ περὶ τοῦτο καὶ
συνεργός, ὥστε μᾶλλον ἐκεῖθεν ἢ ἐντεῦθεν ἡμῖν θεραπευτέος εἰς δύναμιν, εἴ τι μέλ-
λοιμεν* ἄξιον πρὸς τὴν τοῦ μεγάλου τιμήν τε καὶ πομπὴν συντελεῖν, ἣν πᾶν γένος
αὐτῷ καὶ πᾶσα ἡλικία καὶ τύχη λαμπροτάτην ἄγομεν νῦν οἷον ἐπινίκιόν τινα θρίαμβον,
ἐξελαύνοντι σήμερον ἐνταῦθα καὶ εἰσελαύνοντι· ὡς ἂν καὶ δημοσίοις προόδοις ὁ γεννάδας
ἐνεαρίσας καὶ τοῖς εἰς τὴν τούτου χαρὰν συνδραμοῦσι πανταχόθεν ἁγίοις συμπομπεύσας

16 Psalm ϙα 13 | 16 C[m] *πόθεν ὁ ἀνθισμός Studemund* | 16 pro verbis *τοὺς κατ' αὐτὸν υἱοὺς τῶν*, quae C[2] in rasura scripsit, C[1] aliquanto minus habebat *Studemund* | 16 Psalm *μδ* 3 | 16 C[m] *περὶ τῆς λιτῆς Studemund*

ἐμφανῶς καὶ συναιθριάσας, ὄφελός τε ταῖς χώραις γένηται μέγα πρὸς εὐκαρπίαν καὶ τοῖς οἴκοις πρὸς εὐλογίαν, δι' ὧν πα|ροδεύει μετὰ τῆς χάριτος. 181[1]

[17]Ἡ μὲν τοίνυν πανήγυρις ἡμῖν τηλικαύτη καὶ τοσούτοις κάλλεσι κύκλῳ κατηγλάϊσται σαφῶς καὶ πεποίκιλται, τὸ δὲ κάλλιστον ἁπάντων καὶ χαριέστατον, ὅτι πλήρη μέν ἐστι πάντα δόξης θεοῦ καὶ τῶν ἐξ αἰῶνος αὐτὸν θεραπευσάντων γνησίως, ὧν ἑκάστῳ τελετὰς διαφόρους καὶ πολυωνύμους ἄγουσιν ἄνθρωποι κοινῇ τε καὶ κατὰ μέρος, παρὰ τοὺς ἄλλους δὲ πάντας ἐξαίρετόν τινα ταύτην ὁ ἡμέτερος εἴληχε, πολὺ πρὸς τὰς ἐκείνων τὸ ὑπερφέρον καὶ παραλλάττον πλουτοῦσαν οὐχὶ πράγματι μόνον, ἀλλὰ δὴ καὶ ὀνόματι· τὴν γὰρ τῶν ἀνθέων ταύτην ἐπώνυμον οὐχ ἧττον ἐπώνυμον πᾶς τις οἶδε καὶ τοῦ μεγάλου, ἐξ οὗ καὶ τὴν τιμὴν οἷον γνώρισμα ποιοῦνται τοῦ τιμωμένου· οὐ γὰρ ἄν τις ἀκούσας ἀνθισμὸν ἐν πάσῃ τῇ γῇ καθ' ἣν ὑπερλάμπρως ἡ σήμερον τελεῖται μυσταγωγία, ἄλλον ἂν τῶν ἁγίων ἐπὶ νοῦν βάλοιτο πλὴν ἢ τοῦτον τὸν ἐξοχώτατον ἐν πᾶσι καὶ γνωριμώτατον· εἰ δέ που καὶ αὐτῶν τισὶν ἴσως ὑπ' ἐνίων τοιαῦτα προσφιλοτιμεῖται — | δῆθεν εἰς μίμησιν —, ἀλλ' ἑνὸς ταῦτα πάντα πρωτοτύπου ἀντίτυπα, 181[2] τὸ δέ, μοναδικόν τε καὶ ἄμικτον, ἀσυγκρίτως ἁπάντων ὑπερέχον καὶ ὑπεραῖρον.

[18] Περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον· ἐπεὶ δ' ὁ καιρὸς ἐπὶ τὴν μαρτυρικὴν ἤδη πρόοδον ἐντεῦθεν καλεῖ, τόν τε λόγον ἀναπαυστέον καὶ διαλυτέον τὸν σύλλογον, μᾶλλον δὲ προτρεπτέον ἐπὶ τὴν ἐκεῖ συνδρομήν, ἐμπαράσκευον καὶ ἄλλως ὄντα καὶ προθυμότατον — καὶ πῶς γὰρ οὐκ ἔμελλεν; ἐπ' αὐτὸ παρὼν τοῦτο, καὶ πάντα πρὸς δόξαν καὶ τιμὴν τῆς ἡμέρας ἐκ μακροῦ πληροῦν προηυτρεπισμένος, ὡς ἂν ἐπὶ τελεωτέρας πίστεως ἔργοις πλουσιωτέρας εἰκότως καὶ τὰς ἀντιμισθίας ἔχων ἀπέλθοι. τίνας δὴ λέγω ταύτας; ῥῶσιν ψυχῆς, ῥῶσιν σώματος, εὐόδωσιν βίου, γένους προκοπήν, οἴκων αὔξησιν, ἀπαλλαγὴν παντὸς χαλεποῦ, πλεονασμὸν ἀγαθῶν, τῶν ἀγνοημάτων συγγνώμην καὶ σωτηρίαν αἰώνιον· τούτοις γὰρ ἤδη πᾶσιν ὁ λόγος τοὺς ἐπὶ χώρας τε μένοντας | ἀσμένως 182[1] φιλοφρονεῖται καὶ τοὺς ἀπιόντας ἐντεῦθεν ἐφοδιάζων ἐκπέμπει, μέγα ποιούμενος (καὶ σφόδρα δικαίως) τὴν τοσαύτην περὶ τὸν ἅγιον εὐγνωμοσύνην πάντων καὶ εὔνοιαν, ὅθεν καὶ πεινῶντας οὕτως αὐτοὺς τὴν δικαιοσύνην* ὁρῶν, ἀπολῦσαι νήστις* ἐντεῦθεν ἢ κενοὺς ἐφοδίων οὐχ ὑπομένει.

[19] Ταῦτα μὲν καὶ νῦν παρ' ἡμῶν σοι, μέγιστε μάρτυς, οὓς ἐκάλεσας πόρρωθεν εἰς τὴν σὴν λειτουργίαν — οὐκ οἶδα πῶς καὶ πρὸς τί ἢ κατὰ τίνας λόγους οἰκονομίας —· σὺ δὲ ἀφέστηκας καὶ ἔτι μακρόθεν, ὑπερορᾷς* ἐν εὐκαιρίαις, ἐν θλίψεσιν, ἵν' οὐκ εὐκαίρως ἴσως αὐτὸς ἐν εὐθυμίας καιρῷ παλινῳδήσω τι μικρὸν καὶ παρατραγῳδήσω, τῇ νῦν ἀνατροπῇ καὶ συγχύσει ταύτῃ τῶν καθ' ἡμᾶς πραγμάτων ἐπιστυγνάζων, καὶ τὴν σὴν καρτερίαν περὶ ταῦτα καὶ ἀνοχήν, ἣν ἐπὶ τοσοῦτον ἀνέχῃ παρὰ τὸ εἰκὸς καὶ τὸ ἔθος, ὑπερθαυμάζων, δι' ἣν ἐφ' οὕτω μακρὸν τὴν θαυματουργὸν ἐπέσχες ἐνέργειαν καὶ ἀπέστησας πλέ|ον ἢ δυνάμεθα φέρειν ἀφ' ἡμῶν τὰ ἐλέη σου. [20] οὐκ ἐπισκέπτῃ 182[2] νοσοῦντας, οὐ πειραζομένους οἰκτείρεις, οὐκ ἀθυμοῦντας παρακαλεῖς, οὐ βοηθεῖς κινδυνεύουσι· καὶ ἡμεῖς μὲν δικαίως*, ἵνα καὶ αὐτὸς τὸν εὐγνώμονα ζηλώσω λῃστήν· ἄξια γὰρ δή που τῶν πεπραγμένων ἢ καὶ πραττομένων ἀπολαμβάνομεν, ὁ δὲ λαὸς οὗτος τί; τὸ ἱερὸν τοῦτο ποίμνιον, τὸ σοὶ καθαρῶς καὶ ἰδικῶς ἀνακείμενον καὶ σοὶ διηνεκῶς

18 Matth 5, 6 | 18 Matth 15, 32 | 19 C^m οἱ ἐπίλογοι | 19 Psalm θ 22 | 20 Luc 23, 41

*προσανέχον, ὅσοι τε προσεδρεύουσι φιλοπόνως ἐνταῦθα, τοῦτο μόνον ἔχοντες βίον, τὴν
σὴν ἐν τῷδε τῷ θείῳ καὶ μεστῷ χαρίτων ναῷ σου λατρείαν καὶ θεραπείαν, καὶ ὅσοι
τῇ σῇ παροικίᾳ ταύτῃ προσπεφευγότες ἀνέκαθεν, ὑπὸ τὰς σὰς ἀσφαλῶς — μέχρι γοῦν
τῶν χαλεπῶν καιρῶν τούτων — ἀνεπαύοντο πτέρυγας, ἐπ' ἐλπίδι τῇ πρὸς σὲ κατοι-
κοῦντες, καὶ τὴν σὴν αὐθεντ[ε]ίαν ὑπὲρ πᾶν ἄλλο δίκαιον καὶ πᾶσαν φιλοτιμίαν πανταχοῦ
προβαλλόμενοι. τί οὖν ἅπαντες οὗτοι; τί δ' ἡ κύκλῳ περίχωρος; ἡ ἐπαρχία δὲ
| πᾶσα; τάδε τῇδε, τάδ' ἐπὶ τάδε; τὸ δὲ πᾶν ἁπλῶς ἔθνος τὸ θεοσεβὲς καὶ* 183[1]
*φιλόχριστον, τὸ τιμῶν τοιαύταις τιμαῖς τὴν σὴν ὑπερθαύμαστον καὶ μεγαλόδοξον χάριν;
οὗ τὸ μὲν — ὢ κριμάτων προνοίας ἀκαταλήπτων — ἀσεβέσιν ἔθνεσι παραδέδοται, τὸ
δ' οὐδὲν σχεδὸν ἀνεκτότερον ὑπὸ τῶν ὁμοφύλων ταλαιπωρεῖ.* [21] *ἄχρι τίνος, ἅγιε μάρτυς,
ἄχρι τίνος οὕτω κακοπαθήσουσιν; ἄχρις ἂν ἐξερημωθῶσι πόλεις (ὃ προηπείληται*) παρὰ
τὸ μὴ εἶναι τοὺς κατοικοῦντας ἐν αὐταῖς; καὶ ποῦ τὰ φιλάνθρωπα σπλάγχνα τοῦ
ἀγαθοῦ τοῦ μὴ τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν ἐγκαταλιμπάνοντος μηδὲ συγχωροῦντος
πειρασθῆναι μηδένα ὑπὲρ ὃ δύναται*· εἰ δ' ἐναντιοῦται τὸ πλῆθος τῆς πονηρίας, ἥτις
νῦν ὡς οὐπώποτε τῷ ἀνθρωπίνῳ βίῳ ἐνδυναστεύει, ἀλλὰ ποῦ τὸ σὸν αὖθις περὶ τὰ
τοιαῦτα θερμουργὸν καὶ δραστήριον; ποῦ δ' ὁ οἶκτος ἐκεῖνος ὁ πρὸς ἅπαν τὸ πάσχον
καὶ ἀνιώμενον; ποῦ δ' ἡ παρρησία καὶ ἡ πρεσβεία; | τὸ τῶν θαυμάτων δὲ σμῆνος;* 183[2]
καὶ τὸ τῆς βοηθείας τάχος σοι ποῦ; [22] *ὁρᾷς οὗ προήχθην ἀπονοίας καὶ τόλμης· δέον
μόνον δεῖσθαι καὶ ἱκετεύειν, δικαιολογεῖσθαι τεθάρρηκα καὶ οἷον ἐγκαλεῖν τε καὶ παρα-
μέμφεσθαι· ἀνεξίκακον γάρ σοι καὶ τὴν φύσιν οἶδα καὶ τὴν προαίρεσιν· ὅθεν ἔκ τε
τῆς πίστεως ἔκ τε τῆς ἀνάγκης ἐξεβιάσθην· ἀλλ' αὐτὸς πρὸς ἀμφότερα συμπαθὲς ἀπι-
δών, τὴν πίστιν τε δέξαι καὶ τὴν ἀνάγκην λῦσον διὰ τὴν πίστιν· στῆθι πρέσβυς* θερ-
μότατος ὑπὲρ κόσμου κακουχουμένου, καὶ στήτω εἰς αὔραν ἡ τῶν συμφορῶν καταιγίς.
ἐπιτίμησον* ἤδη τοῖς ἀνέμοις τῶν πειρασμῶν, καὶ κοπασάτω ταῦτα τὰ κύματα· δεῖξον
ἔτι καὶ νῦν τὴν ἰσχὺν τῆς σῆς δυναστείας, καὶ πολλῷ μᾶλλον νῦν, ἐν καιροῖς περι-
στάσεων πλειόνων καὶ βαρυτέρων, μίαν ἔντευξιν ἔτι πρὸς θεὸν ἡμῖν χάρισαι, ἐπωφελε-
στάτην ἀληθῶς καὶ σωτήριον, καὶ εἰρήνην μὲν ἔθνεσιν, εὐνομίαν δὲ πόλεσι, βασιλεῦσι
κράτος, εὐταξίαν στρατεύμασι, καρ|ποῖς εὐφορίαν, εὐεξίαν τοῖς ζῴοις, κατάστασιν* 184[1]
*καθ' ὅλου τοῖς πράγμασι καὶ γαλήνην τῷ κόσμῳ σταθερὰν βράβευσον, ὡς ἂν ἐλευθερίας
τυχόντες καὶ τῆς τῶν λυπούντων τούτων ἀπαλλαγῆς, κἀντεῦθεν εὐέλπιδες γενόμενοι πλέον
καὶ περὶ τῆς ἐκεῖθεν ἐκ σοῦ προσδοκωμένης ἡμῖν ἐπικουρίας καὶ προστασίας (οὗ καὶ
μᾶλλον δεόμεθα διὰ τὸν ὄντως ἔσχατον τῶν κινδύνων), προθυμότερον ἔτι σοι καὶ φιλο-
τιμότερον τελῶμεν τὰ χαριστήρια, μεγαλύνοντες ἅμα τὸν θεὸν τῆς εἰρήνης καὶ τοῦ ἐλέους*,
τὸν ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι προσκυνούμενον, δι' ὃν αὐτὸς τοιαῦτα ἠγώνισαι,
καὶ παρ' οὗ τοιαῦτα δεδόξασαι, ὅτι αὐτῷ πᾶσα δόξα καὶ τιμὴ πρέπει, νῦν καὶ ἀεὶ καὶ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

181. *Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων λόγος εἰς τὴν μνήμην τοῦ
μεγάλου τροπαιοφόρου μετὰ τρίτην ἡμέραν τοῦ πάσχα τελουμένην εὐ°.*

[1] *Ὁ κύριος ἐβασίλευσεν· ἀγαλλιάσθω ἡ γῆ*· τίνα γὰρ ἂν ἐξεύροι τις ἑτέραν ἀρχὴν*

21 Ierem 26 (λγ), 9 | 21 Corinth α 10, 13 | 22 πρεσβις codex | 22 Matth 8, 26 | 22 Hebr 13, 20 |
ο εὐ codex, ō super υ scripto | 1 Psalm 96 1

ἐμφανῶς καὶ συναιθριάσας, ὄφελός τε ταῖς χώραις γένηται μέγα πρὸς εὐκαρπίαν καὶ τοῖς οἴκοις πρὸς εὐλογίαν, δι' ὧν πα|ροδεύει μετὰ τῆς χάριτος. 181[1]

[17] *Ἡ μὲν τοίνυν πανήγυρις ἡμῖν τηλικαύτη καὶ τοσούτοις κάλλεσι κύκλῳ κατηγλάϊσται σαφῶς καὶ πεποίκιλται, τὸ δὲ κάλλιστον ἁπάντων καὶ χαριέστατον, ὅτι πλήρη μέν ἐστι πάντα δόξης θεοῦ καὶ τῶν ἐξ αἰῶνος αὐτὸν θεραπευσάντων γνησίως, ὧν ἑκάστῳ τελετὰς διαφόρους καὶ πολυωνύμους ἄγουσιν ἄνθρωποι κοινῇ τε καὶ κατὰ μέρος, παρὰ τοὺς ἄλλους δὲ πάντας ἐξαίρετόν τινα ταύτην ὁ ἡμέτερος εἴληχε, πολὺ πρὸς τὰς ἐκείνων τὸ ὑπερφέρον καὶ παραλλάττον πλουτοῦσαν οὐχὶ πράγματι μόνον, ἀλλὰ δὴ καὶ ὀνόματι· τὴν γὰρ τῶν ἀνθέων ταύτην ἐπώνυμον οὐχ ἧττον ἐπώνυμον πᾶς τις οἶδε καὶ τοῦ μεγάλου, ἐξ οὗ καὶ τὴν τιμὴν οἷον γνώρισμα ποιοῦνται τοῦ τιμωμένου· οὐ γὰρ ἄν τις ἀκούσας ἀνθισμὸν ἐν πάσῃ τῇ γῇ καθ' ἣν ὑπερλάμπρως ἡ σήμερον τελεῖται μυσταγωγία, ἄλλον ἂν τῶν ἁγίων ἐπὶ νοῦν βάλοιτο πλὴν ἢ τοῦτον τὸν ἐξοχώτατον ἐν πᾶσι καὶ γνωριμώτατον· εἰ δέ που καὶ αὐτῶν τισὶν ἴσως ὑπ' ἐνίων τοιαῦτα προσφιλοτιμεῖται — | δῆθεν εἰς μίμησιν —, ἀλλ' ἑνὸς ταῦτα πάντα πρωτοτύπου ἀντίτυπα,* 181[2] *τὸ δέ, μοναδικόν τε καὶ ἄμικτον, ἀσυγκρίτως ἁπάντων ὑπερέχον καὶ ὑπεραῖρον.*

[18] *Περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον· ἐπεὶ δ' ὁ καιρὸς ἐπὶ τὴν μαρτυρικὴν ἤδη πρόοδον ἐντεῦθεν καλεῖ, τόν τε λόγον ἀναπαυστέον καὶ διαλυτέον τὸν σύλλογον, μᾶλλον δὲ προτρεπτέον ἐπὶ τὴν ἐκεῖ συνδρομήν, ἐμπαράσκευον καὶ ἄλλως ὄντα καὶ προθυμότατον — καὶ πῶς γὰρ οὐκ ἔμελλεν; ἐπ' αὐτὸ παρὼν τοῦτο, καὶ πάντα πρὸς δόξαν καὶ τιμὴν τῆς ἡμέρας ἐκ μακροῦ πληροῦν προηυτρεπισμένος, ὡς ἂν ἐπὶ τελεωτέρας πίστεως ἔργοις πλουσιωτέρας εἰκότως καὶ τὰς ἀντιμισθίας ἔχων ἀπέλθοι. τίνας δὴ λέγω ταύτας; ῥῶσιν ψυχῆς, ῥῶσιν σώματος, εὐόδωσιν βίου, γένους προκοπήν, οἴκων αὔξησιν, ἀπαλλαγὴν παντὸς χαλεποῦ, πλεονασμὸν ἀγαθῶν, τῶν ἀγνοημάτων συγγνώμην καὶ σωτηρίαν αἰώνιον· τούτοις γὰρ ἤδη πᾶσιν ὁ λόγος τοὺς ἐπὶ χώρας τε μένοντας | ἀσμένως* 182[1] *φιλοφρονεῖται καὶ τοὺς ἀπιόντας ἐντεῦθεν ἐφοδιάζων ἐκπέμπει, μέγα ποιούμενος (καὶ σφόδρα δικαίως) τὴν τοσαύτην περὶ τὸν ἅγιον εὐγνωμοσύνην πάντων καὶ εὔνοιαν, ὅθεν καὶ πεινῶντας οὕτως αὐτοὺς τὴν δικαιοσύνην* ὁρῶν, ἀπολῦσαι νήστις* ἐντεῦθεν ἢ κενοὺς ἐφοδίων οὐχ ὑπομένει.*

[19] *Ταῦτα μὲν καὶ νῦν παρ' ἡμῶν σοι, μέγιστε μάρτυς, οὓς ἐκάλεσας πόρρωθεν εἰς τὴν σὴν λειτουργίαν — οὐκ οἶδα πῶς καὶ πρὸς τί ἢ κατὰ τίνας λόγους οἰκονομίας —· σὺ δὲ ἀφέστηκας καὶ ἔτι μακρόθεν, ὑπερορᾷς* ἐν εὐκαιρίαις, ἐν θλίψεσιν, ἵν' οὐκ εὐκαίρως ἴσως αὐτὸς ἐν εὐθυμίας καιρῷ παλινῳδήσω τι μικρὸν καὶ παρατραγῳδήσω, τῇ νῦν ἀνατροπῇ καὶ συγχύσει ταύτῃ τῶν καθ' ἡμᾶς πραγμάτων ἐπιστυγνάζων, καὶ τὴν σὴν καρτερίαν περὶ ταῦτα καὶ ἀνοχήν, ἣν ἐπὶ τοσοῦτον ἀνέχῃ παρὰ τὸ εἰκὸς καὶ τὸ ἔθος, ὑπερθαυμάζων, δι' ἣν ἐφ' οὕτω μακρὸν τὴν θαυματουργὸν ἐπέσχες ἐνέργειαν καὶ ἀπέστησας πλέ|ον ἢ δυνάμεθα φέρειν ἀφ' ἡμῶν τὰ ἐλέη σου.* [20] *οὐκ ἐπισκέπτῃ* 182[2] *νοσοῦντας, οὐ πειραζομένους οἰκτείρεις, οὐκ ἀθυμοῦντας παρακαλεῖς, οὐ βοηθεῖς κινδυνεύουσι· καὶ ἡμεῖς μὲν δικαίως*, ἵνα καὶ αὐτὸς τὸν εὐγνώμονα ζηλώσω λῃστήν· ἄξια γὰρ δή που τῶν πεπραγμένων ἢ καὶ πραττομένων ἀπολαμβάνομεν, ὁ δὲ λαὸς οὗτος τί; τὸ ἱερὸν τοῦτο ποίμνιον, τὸ σοὶ καθαρῶς καὶ ἰδικῶς ἀνακείμενον καὶ σοὶ διηνεκῶς*

18 Matth 5, 6 | 18 Matth 15, 32 | 19 C^m *οἱ ἐπίλογοι* | 19 Psalm 9 22 | 20 Luc 23, 41

προσανέχον, ὅσοι τε προσεδρεύουσι φιλοπόνως ἐνταῦθα, τοῦτο μόνον ἔχοντες βίον, τὴν σὴν ἐν τῷδε τῷ θείῳ καὶ μεστῷ χαρίτων ναῷ σου λατρείαν καὶ θεραπείαν, καὶ ὅσοι τῇ σῇ παροικίᾳ ταύτῃ προσπεφευγότες ἀνέκαθεν, ὑπὸ τὰς σὰς ἀσφαλῶς — μέχρι γοῦν τῶν χαλεπῶν καιρῶν τούτων — ἀνεπαύοντο πτέρυγας, ἐπ' ἐλπίδι τῇ πρὸς σὲ κατοικοῦντες, καὶ τὴν σὴν αὐθεντ[ε]ίαν ὑπὲρ πᾶν ἄλλο δίκαιον καὶ πᾶσαν φιλοτιμίαν πανταχοῦ προβαλλόμενοι. τί οὖν ἅπαντες οὗτοι; τί δ' ἡ κύκλῳ περίχωρος; ἡ ἐπαρχία δὲ | πᾶσα; τάδε τῇδε, τάδ' ἐπὶ τάδε; τὸ δὲ πᾶν ἁπλῶς ἔθνος τὸ θεοσεβὲς καὶ 183[1]
φιλόχριστον, τὸ τιμῶν τοιαύταις τιμαῖς τὴν σὴν ὑπερθαύμαστον καὶ μεγαλόδοξον χάριν; οὗ τὸ μὲν — ὢ κριμάτων προνοίας ἀκαταλήπτων — ἀσεβέσιν ἔθνεσι παραδέδοται, τὸ δ' οὐδὲν σχεδὸν ἀνεκτότερον ὑπὸ τῶν ὁμοφύλων ταλαιπωρεῖ. [21] ἄχρι τίνος, ἅγιε μάρτυς, ἄχρι τίνος οὕτω κακοπαθήσουσιν; ἄχρις ἂν ἐξερημωθῶσι πόλεις (ὃ προηπείληται*) παρὰ τὸ μὴ εἶναι τοὺς κατοικοῦντας ἐν αὐταῖς; καὶ ποῦ τὰ φιλάνθρωπα σπλάγχνα τοῦ ἀγαθοῦ τοῦ μὴ τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν ἐγκαταλιμπάνοντος μηδὲ συγχωροῦντος πειρασθῆναι μηδένα ὑπὲρ ὃ δύναται*· εἰ δ' ἐναντιοῦται τὸ πλῆθος τῆς πονηρίας, ἥτις νῦν ὡς οὐπώποτε τῷ ἀνθρωπίνῳ βίῳ ἐνδυναστεύει, ἀλλὰ ποῦ τὸ σὸν αὖθις περὶ τὰ τοιαῦτα θερμουργὸν καὶ δραστήριον; ποῦ δ' ὁ οἶκτος ἐκεῖνος ὁ πρὸς ἅπαν τὸ πάσχον καὶ ἀνιώμενον; ποῦ δ' ἡ παρρησία καὶ ἡ πρεσβεία; | τὸ τῶν θαυμάτων δὲ σμῆνος; 183[2]
καὶ τὸ τῆς βοηθείας τάχος σοι ποῦ; [22] ὁρᾷς οὗ προήχθην ἀπονοίας καὶ τόλμης· δέον μόνον δεῖσθαι καὶ ἱκετεύειν, δικαιολογεῖσθαι τεθάρρηκα καὶ οἷον ἐγκαλεῖν τε καὶ παραμέμφεσθαι· ἀνεξίκακον γάρ σοι καὶ τὴν φύσιν οἶδα καὶ τὴν προαίρεσιν· ὅθεν ἔκ τε τῆς πίστεως ἔκ τε τῆς ἀνάγκης ἐξεβιάσθην· ἀλλ' αὐτὸς πρὸς ἀμφότερα συμπαθὴς ἀπιδών, τὴν πίστιν τε δέξαι καὶ τὴν ἀνάγκην λῦσον διὰ τὴν πίστιν· στῆθι πρέσβυς* θερμότατος ὑπὲρ κόσμου κακουχουμένου, καὶ στήτω εἰς αὔραν ἡ τῶν συμφορῶν καταιγίς. ἐπιτίμησον* ἤδη τοῖς ἀνέμοις τῶν πειρασμῶν, καὶ κοπασάτω ταῦτα τὰ κύματα· δεῖξον ὅτι καὶ νῦν τὴν ἰσχὺν τῆς σῆς δυναστείας, καὶ πολλῷ μᾶλλον νῦν, ἐν καιροῖς περιστάσεων πλειόνων καὶ βαρυτέρων, μίαν ἔντευξιν ἔτι πρὸς θεὸν ἡμῖν χάρισαι, ἐπωφελεστάτην ἀληθῶς καὶ σωτήριον, καὶ εἰρήνην μὲν ἔθνεσιν, εὐνομίαν δὲ πόλεσι, βασιλεῦσι κράτος, εὐταξίαν στρατεύμασι, καρ|ποῖς εὐφορίαν, εὐεξίαν τοῖς ζῴοις, κατάστασιν 184[1]
καθ' ὅλου τοῖς πράγμασι καὶ γαλήνην τῷ κόσμῳ σταθερὰν βράβευσον, ὡς ἂν ἐλευθερίας τυχόντες καὶ τῆς τῶν λυπούντων τούτων ἀπαλλαγῆς, κἀντεῦθεν εὐέλπιδες γενόμενοι πλέον καὶ περὶ τῆς ἐκεῖθεν ἐκ σοῦ προσδοκωμένης ἡμῖν ἐπικουρίας καὶ προστασίας (οὗ καὶ μᾶλλον δεόμεθα διὰ τὸν ὄντως ἔσχατον τῶν κινδύνων), προθυμότερον ἔτι σοι καὶ φιλοτιμότερον τελῶμεν τὰ χαριστήρια, μεγαλύνοντες ἅμα τὸν θεὸν τῆς εἰρήνης καὶ τοῦ ἐλέους*, τὸν ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι προσκυνούμενον, δι' ὃν αὐτὸς τοιαῦτα ἠγώνισαι, καὶ παρ' οὗ τοιαῦτα δεδόξασαι, ὅτι αὐτῷ πᾶσα δόξα καὶ τιμὴ πρέπει, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

181. Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων λόγος εἰς τὴν μνήμην τοῦ μεγάλου τροπαιοφόρου μετὰ τρίτην ἡμέραν τοῦ πάσχα τελουμένην εὐ°.

[1] Ὁ κύριος ἐβασίλευσεν· ἀγαλλιάσθω ἡ γῆ*· τίνα γὰρ ἂν ἐξεύροι τις ἑτέραν ἀρχὴν

21 Ierem 26 (λγ), 9 | 21 Corinth α 10, 13 | 22 πρεσβεὺς codex | 22 Matth 8, 26 | 22 Hebr 13, 20 | ° ἐν codex, ō super υ scripto | 1 Psalm Ϙϛ 1

οἰκειοτέραν τῷ λόγῳ; μέγα μὲν τὸ μυστήριον — βασιλεία Χριστοῦ κατὰ θανάτου καὶ κράτος —, μέγα δὲ τὸ κατόρθωμα — σωτηρία τοῦ κόσμου καὶ τῆς οἰκουμένης ἀνέγερσις, ἣν αὐτὸς ἀναστὰς συνεξανέστησε καὶ κατώρθωσεν, ἀμφοτέρων δὲ τούτων ἓν τέλος κάλλιστον, εὐφροσύνη παγκόσμιος, ἧς ἀλλήλοις ἐνταῦθα κοινωνήσοντες πάρεσμεν, καὶ κατὰ πᾶν μὲν ἔτος μετέχοντες τῆς τοιαύτης εὐεργεσίας καὶ τῇ λαμπρᾷ τὰ χαρμόσυνα συμπληροῦντες ἐγέρσει, νυνὶ δὲ καὶ πλέον εἰς ἀπόλαυσιν ἔχοντες, ὅτε διπλασίων ἡμῖν ἡ τοῦ καλοῦ δωρεά, τηλικαύτην ἐπίδοσιν παραδόξως λαβοῦσα. [2]πῶς ἐξείπω καὶ δείξω τὸ τῆς χάριτος μέγεθος; πόθεν λήψομαι λόγον τῆς ὑποθέσεως ἄξιον; τίς μοι δώσει φωνὴν εἰς τὰ τοῦ κόσμου πέρατα | φθάνουσαν; πάσχα κυρίου, πάσχα, ἡ τῶν ἑορτῶν 185[1]
βασιλίς, ἡ τῶν πανηγύρεων δέσποινα· πάσχα πάλιν ἐρῶ, ὅτι καὶ πάσχα πάλιν ὁρῶ, δὶς τελούμενον σήμερον ἐπὶ τῇ χθὲς τελετῇ καὶ διτταῖς ταῖς λαμπρότησιν ὑπερφυῶς ἀπαστράπτον· οὐκέτι γὰρ μόνον ἀνάστασις ἡμῖν δεσποτικὴ τὸ τιμώμενον, ἀλλὰ καὶ μαρτυρικὴν σὺν ἐκείνῃ πανηγυρίζομεν ἄθλησιν, ἐπὶ πλέον μὲν δοξασθεῖσαν τῇ πρὸς αὐτὴν συνδρομῇ, πλέον δ' ὅμως καὶ ταύτην τῇ συνελεύσει δοξάσασαν· εἰ γὰρ τοσοῦτον ὑπέρλαμπρος καὶ καθ' ἑαυτὴν ἑκατέρα ὡς πᾶσαν ἄλλην φαιδρότητα νικᾶν ἀσυγκρίτως, τὸ καθ' ὥραν ἀλλήλαις συμπεσεῖν εἰς ταὐτὸν ὅσῳ μὲν ὑψηλότερον; ὅσῳ δὲ χαριέστερον; [3]ἐπὶ διτταῖς τοιγαροῦν καὶ τηλικαύταις ταῖς πανηγύρεσι διπλῆν ἡμᾶς χαίρειν ἀναγκαῖον χαράν, ἅμα μὲν ἀνυμνοῦντας τοῦ μυστηρίου τὴν δύναμιν, ἅμα δὲ τὰς τοῦ μάρτυρος ἀριστείας κροτοῦντας, καὶ δι' ἀμφοτέρων τιμῶντας τὴν ἁγίαν ταύτην καὶ μίαν καὶ κυρίαν ἡμέραν. [4]σκο|πεῖτε δὲ καὶ τὴν χάριν ἑκατέρας ἡλίκη, ὡς θαυμαστὴ δὲ 185[2]
παντάπασι καὶ ἡ πρὸς ἀλλήλας αὐτῶν ὁμολογία καὶ συμφωνία. ἡ μὲν τὸν δεσπότην ὑπὲρ δούλων θνήσκοντα παρεισάγει, ἡ δὲ κατὰ τὸ ἀντίστροφον ὑπὲρ τοῦ δεσπότου τὸν δοῦλον· ὁ μὲν ἀρχέτυπον γέγονε τελείας ἀγάπης — μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς (φησίν*) ἔχει, ἵνα τις θῇ τὴν ψυχὴν ὑπὲρ τῶν φίλων αὐτοῦ —, ὁ δὲ τὸ ὑπόδειγμα καλῶς ἐμιμήσατο καὶ φίλος ἀντὶ δούλου κατέστη διὰ τῆς ὁμοίας ἀγάπης καὶ ἀποδείξεως. ὁ μὲν ὑψωθεὶς ἐπὶ σταυροῦ καὶ νεφέλης, πάσχων ἅμα καὶ ἀνιὼν πάντας εἵλκυσεν ἐξ ᾅδου καὶ γῆς, ὡς τὸ οἰκεῖον ἐπάγγελμα*, καὶ πρὸς οὐρανοὺς ἀνεβίβασεν, ὅθεν κατελθὼν ἐπανῆλθεν· ὁ δὲ παρὰ πάντας ὑπακούει τῆς ὑποσχέσεως καὶ κατόπιν ταύτης βαδίζει καὶ συγκατελθὼν συνυψοῦται καὶ συνυψωθεὶς συνδεδόξασται. ἔκλινεν* ἐκεῖνος δι' αὐτὸν οὐρανοὺς καὶ κατέβη μέχρις ἡμῶν καὶ τὴν ἡμετέραν πτωχείαν ὑπὸ φιλανθρωπίας ἐπτώχευσεν· ἀφῆκε καὶ οὗτος δι' ἐκεῖ|νον οἰκίαν καὶ ἀγροὺς καὶ συγγένειαν, καὶ 186[1]
χρημάτων καὶ δόξης καὶ τρυφῆς κατεφρόνησε, καὶ γυμνὸς τούτων πάντων τὸν ἑαυτοῦ σταυρὸν ἦρε*, μεθ' οὗ τῷ καλοῦντι προθύμως κατηκολούθησεν, ἐπὶ πᾶσι τοῖς ἄλλοις καὶ ἑαυτὸν ἀρνησάμενος. ἐκεῖνος ἠνέσχετο παθεῖν ὑπὲρ τούτου τὰ λῃστῶν καὶ κακούργων, αἰσχύνης καταφρονήσας· προσήνεγκε καὶ οὗτος ἐκείνῳ θυσίαν ζῶσαν* ἁγίαν εὐάρεστον ἑαυτόν, ἐπὶ ἡγεμόνας* ἀχθεὶς καὶ βασιλεῖς δι' αὐτόν, ὅπερ ἤκουσεν ὥς τις τῶν ἀτίμων καὶ φαυλοτάτων, καὶ πολλαῖς μὲν τὸ σῶμα δαπανηθεὶς ταῖς πληγαῖς, πολλαῖς δὲ βασάνων καὶ ποικίλαις ἰδέαις ἐτασθεὶς καὶ καταξανθείς, αἷς τὸ πλεῖστον τοῦ αἵματος καὶ τῶν σαρκῶν ἀναλώσας, τῇ τοῦ ξίφους τελευταῖον τομῇ καὶ τὸ ἔτι λειπόμενον εὐψύχως ἐπέθυσεν, ὅθεν κοινωνὸς τῷ δεσπότῃ τῶν παθημάτων ὀφθεὶς καὶ τὸν θάνατον ἐκείνου

4 Iohann 15, 13 | 4 Iohann 12, 32 | 4 Psalm ιζ 10 | 4 Matth 16, 24 | 4 Rom 12, 1 | 4 Matth 10, 18

ζηλώσας τὸν ἀγαπητὸν καὶ ἑκούσιον, εἰκότως αὐτῷ κοινωνεῖ καὶ τῆς ἀναστάσεως, κοι-
νωνεῖ | καὶ τῆς δόξης, κληρονόμος μὲν θεοῦ, συγκληρονόμος δὲ Χριστοῦ κατὰ 186[2]
τὸν εἰπόντα* γενόμενος καὶ εἰς τὴν χαρὰν* τοῦ κυρίου περιφανῶς εἰσελθών, τήν τε
νοουμένην ἐκείνην καὶ τοῖς οὕτως εὐαρεστήσασι μόνοις ἡτοιμασμένην, καὶ τὴν νῦν ὁρω-
μένην, ἥτις καὶ αὐτὴ λόγου δύναμιν ἀτεχνῶς ὑπεραίρει, κἂν πολὺ τῆς ἄνω καὶ πρώτης
εἰς ἡδονῆς λόγον λείποιτο. [5] μᾶλλον δὲ τὸ θαυμάσιον· οὐχ ὁ μάρτυς ἔοικεν ὧδε παρὰ
τῷ κυρίῳ κατάγεσθαι, ὥς τις ἔπηλυς ἄρτι παρεισελθὼν ποθεν ἔξωθεν, ἀλλ' αὐτὸς δοκεῖ
κύριος καὶ δεσπότης βέβαιος ὢν τὸν ἑαυτοῦ δεσπότην καὶ κύριον μεγαλοπρεπῶς ὑπο-
δέχεσθαι πρὸς αὐτὸν ἀφικόμενον ἐξ ᾅδου καὶ τάφου μετὰ τοῦ μεγάλου πατρὸς τοῦ
ἐγείραντος* αὐτὸν ἐκ νεκρῶν καὶ μονὴν* παρὰ τούτῳ σὺν ἐκείνῳ ποιήσαντα καθ' ἃ καὶ
καλεῖται τὸ θειότατον τοῦτο καὶ μαρτυρικὸν ἐνδιαίτημα, ἡ τοῦ θεοῦ πόλις αὕτη, τὸ τῶν
ἀρετῶν οἰκητήριον, τῆς Ἐδὲμ τὸ χωρίον, ὁ παράδεισος τῆς τρυφῆς*, τὰ ἠγαπημένα σκη-
νώματα*, ἐν οἷς ἀναπαύει καὶ θεραπεύει | Χριστὸν ὁ ἀθλητὴς αὐτοῦ σήμερον, 187[1]
ἐξ ἔτι θερμῆς ἐπανελθόντα τῆς νίκης καὶ λαμπρὸν ἐπαγόμενον κατὰ τοῦ πικροῦ τυ-
ράννου τὸ τρόπαιον, ὃ μισθὸν (ὡς ἂν εἴποι τις) παρ' αὐτοῦ λαβὼν τῆς ὑποδοχῆς, τοὺς
ἐχθρούς τε τροποῦται καὶ αὐτὸς κατὰ κράτος, καὶ τροπαιοφόρος ἐντεῦθεν ὁ γεννάδας
προσαγορεύεται.

[6] Τοιοῦτον νῦν ἡμῶν τὸ μυστήριον· τοσοῦτον τὸ θαῦμα· οὕτως ἀψευδὴς ὁ εἰπὼν*
τὰ ἐκείνου ἔργα ποιήσειν καὶ μείζονα τούτων τὸν αὐτῷ γνησίως πιστεύσαντα. ἴδε γοῦν
ὅσης δόξης, ὅσης λαμπρότητος ὁ πιστὸς θεράπων καὶ μάρτυς τῆς ἀληθείας ἠξίωται·
ἰσοθέους καρποῦται παρὰ πάντων τιμάς, τάχα δέ τι καὶ πλέον, κατά γε τὴν παροῦσαν
ἐνταῦθα, εἰ θέμις τοῦτο εἰπεῖν, διὰ τὸν τοσοῦτον αὐτὸν μεγαλύναντα καὶ τιμήσαντα·
τῇ γὰρ τῆς ἀθλήσεως μνήμῃ κατασχὼν τῆς μεγίστης ἑορτῆς τὴν μεθέορτον, οὐκέτι δευ-
τερεύειν λαμπρότητι πρὸς ἐκείνην ἐᾷ, ἀλλὰ τὴν μὲν προεόρτιον ἀνθ' ἑορτῆς βιάζεται
δεῖξαι, τὴν δὲ πρὸς | τὴν τάξιν ἐκείνης ἀνάγει, καὶ τὸ ἀξίωμα καὶ σαφῶς ἡμᾶς 187[2]
πείθει ταύτην μᾶλλον πάσχα νομίζειν πρωτότυπον καὶ μέγα καὶ κύριον, οὕτω πανταχό-
χόθεν ἀστράπτουσαν, τοσαύταις ἐν κύκλῳ δορυφορουμένην ταῖς χάρισιν. [7] ἔχει γοῦν
τὰ μὲν ἄλλα κοινὰ πρὸς τὴν πρὸ αὐτῆς, ἡδὺ μὲν ὑψόθεν προσγελῶντα τὸν οὐρανόν,
ἡδὺ δὲ χαμόθεν προσμειδιῶσαν τὴν γῆν, τὸν μὲν τοῖς τῶν ἄστρων ἄνθεσιν ἐστεμμένον,
τὴν δὲ τοῖς τῶν ἀνθῶν ἀστράσι· κοινὸν δὲ καὶ θάλασσα, τοῖς πλωτῆρσιν ὑπεστρωμένη*
καὶ τὴν ὕβριν ἀθρόον μετὰ τοῦ θυμοῦ καταλύσασα· κοινὸν καὶ ἀήρ, τὰς νεφέλας ὥσπερ
κηλῖδας ἀφ' ἑαυτοῦ διωσάμενος καὶ κοιμίσας ἀνέμους καὶ κεράσας ἠπίως καὶ προσηνῶς
ἑαυτόν· κοινὰ δὲ καὶ τἄλλα τὰ παρὰ τῆς ὥρας καρποφορούμενα, ὧν ἐπ' ἴσης ἁπάντων
τῇ μαρτυρικῇ τελετῇ πρὸς τὴν ἀναστάσιμον μέτεστιν. ὅμως μέντοι δοκεῖ τῷ διττῷ τῆς
ὑποθέσεως αὕτη τῆς ἁπλῆς ἐκείνης προφέρειν· τί γάρ, εἰ τὴν μὲν Χριστὸς μόνον ἐγερ-
θεὶς ἐκ τάφων ἐδόξασε, τὴν δὲ σὺν αὐτῷ καὶ ὁ Χριστοῦ στεφανίτης, μετὰ Χριστοῦ 188[1]
νικῶν τε καὶ δοξαζόμενος; [8] οἷα δὲ καὶ τὰ θαύματα τῆς λαμπροφόρου ταύτης ἡμέρας.
ὁ μὲν δὴ καινὸς οὐρανός, ὁ θαυμαστὸς ναὸς οὗτος, ὃν ὁ μέγας οἰκεῖν τροπαιοφόρος
εὐδόκησε, μεγέθει καὶ κάλλει καὶ πολυτελείᾳ κατασκευῆς πολύ τι τὰς ἄλλας ὑπερβαίνων

4 Rom 8, 17 | 4 Matth 25, 21 | 5 Gal 1, 1 | 5 Iohann 14, 23 | 5 Genes 2, 15 | 5 Psalm πγ 2 | 6 Iohann 14, 12 | 7 ὑπιστρωμμένη apographum | 8 9 = cap 182, 5 6

οἰκοδομάς, καὶ διὰ τὸ περιὸν τῆς λαμπρότητος ἀπαξιῶν μὲν ὥσπερ τὴν γῆν, αἰρόμενος δὲ καὶ ἀνατρέχων εὖ μάλα πρὸς τὸν ὑπερθεν οὐρανόν, ὅλην μὲν ἔνδον δέχεται τὴν ἐκεῖθεν ἡμέραν, ὅλην δὲ λαμβάνει τὴν κάτωθεν, ἐξ ἀπείρων λαμπάδων τε καὶ λύχνων ἀναπτομένην, καὶ διπλαῖς ἑκατέρωθεν αὐγαῖς πυρσευόμενος, καὶ αὐτὸς ὅλος ἤδη φῶς αὐτόχρημα δείκνυται, πλὴν ὅσον οὐκ ἐᾷ τὸν ἀέρα καθαρῶς ὁρᾶσθαι καὶ διαυγῶς το παχὺ τοῦτο νέφος τῶν ἐξ ἀρωμάτων εἰς ὕψος ἀναδιδομένων ἀτμῶν· ὁ δὲ μέσος ἕστηκε λαμπρὸς λαμπρῶς, ὁ μέγας ἐν ἀθληταῖς, ὁ μέγας ἐν νικηταῖς, τροπαιοφόρος ὄντως καὶ στεφηφόρος, δόξῃ καὶ τιμῇ (ψαλμικῶς* εἰπεῖν,) | ἐστεφανωμένος καὶ ἀμήχανον 188[2]
οἵαν ἐνδεδυμένος εὐπρέπειαν, ὁποῖα νυμφίος* ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ μετὰ σοβαροῦ καὶ σχήματος καὶ κινήματος, καὶ χαίρει μὲν δοξαζόμενος εὐφήμοις φωναῖς, αἳ τοῖς ὕμνοις ἐκείνοις τοῖς ἀγγελικοῖς τε καὶ οὐρανίοις ἀντιπέμπονται κάτωθεν, χαίρει δὲ προσκυνούμενος σεπτῶς καὶ τιμώμενος ἐκ πάσης ἡλικίας καὶ φύσεως καὶ παντὸς ἤδη γένους σχεδὸν τῶν ὑπ' οὐρανόν· οἱ δὲ, καθ' ἅπερ εἰς πάνδημον καὶ κοινὸν εὐεργέτην παμπληθεί τε προσίασι, καὶ προσπίπτουσιν ἅμα βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς*.

[9] ἀλλ' εἰς καλὸν ἡμῖν ἥκουσιν οἱ βασιλεῖς εἰς τὸν λόγον, μᾶλλον δὲ τὸ ἐντεῦθεν καλῶς αὐτοὶ καὶ τὸν λόγον ὡς τὸν σύλλογον τοῦτον ὑποδεχέσθωσαν· τοῦτο γὰρ ἡμῖν ἐξαιρέτως τῆς ἑορτῆς τὸ λαμπρότατον, τοῦτο καὶ τῆς σήμερον μάλιστα τὸ παρὰ τὴν χθὲς πλεονέκτημα, ὅτι βασιλεῖς φιλοχρίστους οὕτω καὶ φιλομάρτυρας ἐξάρχους ἔχει καὶ χορηγούς, οἷς | πολλῶν ὑπαρχόντων ἀγαθῶν ἐκ θεοῦ τὸ μέγιστον πάντων ἡ περὶ 189[1]
ἐκεῖνον εὐγνωμοσύνη καὶ τὸ πρὸς εὐσέβειαν γνήσιον, ἧς αὐτάρκης ἀπόδειξις, κἂν εἰ μηδὲν ὑπῆν ἕτερον, τὰ νῦν θεωρούμενα.

[10] Ἆρον* τοίνυν κύκλῳ τοὺς ὀφθαλμούς σου, βασιλέων ὀρθοδοξότατε· σὺ γὰρ τῶν παρόντων θαυμάτων αἰτιώτατος μάλιστα· καὶ ἴδε περὶ σὲ συνηγμένους πάντας ἤδη μικροῦ τοὺς ὑπὸ τὴν χεῖρα τὴν σήν· πρόσσχες*, ὁ ποιμαίνων τὸν ἐκλεκτὸν Ἰσραήλ, ὁ ὁδηγῶν ὡσεὶ πρόβατα τὸν βαρύν σου τοῦτον λαόν· κατάμαθε τὸ πλῆθος ὁπόσον, τὴν εὐταξίαν ἡλίκη*, τὴν ὑπακοὴν ὡς ἑκούσιος, τὸ σέβας ὡς ὑπὲρ ἄνθρωπον, τὸ φίλτρον ὡς ἐνδιάθετον· πάντες οὗτοι συντρέχουσι ποσὶν αὐτομάτοις ἐπὶ τὴν Σιὼν τὴν ἁγίαν, τὴν πιστὴν μητρόπολιν ταύτην, τὴν Ἱερουσαλὴμ σου τὴν νέαν, ἧς θεός τε καὶ σὺ δημιουργοὶ καὶ τεχνῖται, ἀφ' ἧς ἐξελεύσεται* δικαιοσύνη καὶ νόμος, τὰ παρ' αὐτῇ καλῶς διδασκόμενα διὰ σὲ καὶ μαθητευόμενα, μᾶλλον δὲ πρό γε τούτου | τὰ ἐπὶ τῶν 189[2]
πράξεων κατορθούμενα, ἣν αὐτὸς ἐστερέωσεν ὁ κατοικῶν ἐν αὐτῇ· ὁ θεὸς* ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται, ὁ θεμελιώσας* καὶ ταύτην ὡς τὴν γῆν ἐπὶ τῶν ὑδάτων, θαῦμα μὲν τοῖς ὁρῶσι, θαῦμα δὲ τοῖς ἀκούουσι, πόλιν ὅλην μετέωρον μικροῦ καὶ ἀέριον, εἰ μή που βραχεῖ τινὶ μέρει τῆς θαλάσσης ἐφάπτεται καὶ βραχυτέρῳ πάλιν τῆς γῆς.

[11] Αὕτη σοι σήμερον ξενίζει τοὺς ὑπηκόους καὶ τὸ μέγεθος τῆς σῆς ἐξουσίας, ἐφ' ὅσον τε καὶ ὅσον ἐστίν, ὑπ' ὄψιν ἐναργῶς σοι παρίστησιν, ἀστενοχωρήτως χωροῦσα μυριάδας τοσαύτας, ἄλλως μὲν ἀορίστους οὔσας καὶ ἀτεκμάρτους, ἄρτι δὲ συνδραμούσας

8 Psalm η 6 | 8 Psalm ιη 6 | 8 Psalm ρμη 11 | 10 Isaias 49, 18 | 10 Psalm οθ 2 | 10 ἡλίκη Lagarde, ἡ δίκη apographum | 10 Isaias 2, 3 | 10 Psalm με 6 | 10 Psalm κγ 2

ἐκ τῶν ἄκρων τῆς γῆς ὡς ἀπὸ συνθήματος εἰς ἓν χωρίον ἐνταῦθα καταφανὲς καὶ
εὐσύνοπτον καθ' ἅπερ εἰς κοινὸν καταγώγιον ἁπάσης τῆς οἰκουμένης. αὕτη πόλεις καὶ
χώρας καὶ φυλὰς ἀπείρους ἐθνῶν εἰς ἑαυτὴν ὑποδέχεται, ἃς εἰς χεῖράς σοι δέδωκεν
ἀρρήτῳ προνοίᾳ ὁ ὑποτάσσων τὸν λαόν σου ὑπὸ σέ, λαὸν ὡς ἀληθῶς περιούσιον*,
σφόδρα σφόδρα πεπληθυσμένον ὡς | τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν 190[1]
ἄμμον* τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, ἐκ παντοδαπῆς ἡλικίας συγκεκροτημένον καὶ
τύχης, εἰς διαφόρους ἀξίας τε καὶ τάξεις συντεταγμένον — μοναδικοὺς καὶ μιγάδας,
ἱερεῖς καὶ τοὺς ἔξωθεν, τοὺς ἐν τέλει καὶ τοὺς κοινούς, τοὺς τῆς πολιτείας καὶ τῆς στρα-
τείας, εὐγενεῖς τε καὶ δυσγενεῖς, πλουσιωτέρους καὶ πενεστέρους, τοὺς ἐν ὑπεροχῇ καὶ
τοὺς ἥττονας — καὶ καθ' ἑαυτοὺς μὲν πάντας ἐντίμους καὶ τηλικαύτης ἀρχῆς ὑπηρέτας
οὐκ ἀναξίους, ἐντιμοτέρους δὲ πλέον διὰ τὴν σὴν βασιλείαν καὶ τὴν ἐντεῦθεν εἰς ἅπαν-
τας ὑπερεκχυθεῖσαν φιλανθρωπίαν, ὑφ' ἧς καθ' ἑκάστην (ἵν' οὕτως εἴπω) περικλυζό-
μενοι, καὶ βροχὴν ἑκουσίαν[sic] κατὰ τὸ γεγραμμένον* βρεχόμενοι, πάσαις μὲν ἀγαθῶν
εὐθηνίαις ἐνευπαθοῦσι, πάσῃ δὲ κομῶσιν εὐδαιμονίᾳ, κἀντεῦθεν παντοίας ἡδονῆς πεπλη-
σμένοι, τὸν ἅπαντα βίον ἑορτὴν μίαν ἄγουσιν, ἧς τὸ μέγα κεφάλαιον ἡ νῦν τελουμένη
ἅμα μὲν εἰς δόξαν Χριστοῦ, τοῦ δοξασθέντος ἄρτι τῷ πάθει καὶ τῇ ἐγέρσει, | ἅμα 190[2]
δὲ πρὸς τιμὴν τοῦ τῶν μαρτύρων μεγίστου, οὗ τοὺς ἄθλους ἐνταῦθα πανηγυρίζομεν
σήμερον, σοὶ τῷ βασιλεῖ καὶ δεσπότῃ καὶ τῆς πανηγύρεως ταύτης καθηγεμόνι συνευ-
φραινόμενοι, καὶ τοῦτο μὲν συνεισφέροντες τῷ καιρῷ τὰ καθήκοντα, τοῦτο δὲ τῷ σῷ
κράτει τὸ διαρκὲς καὶ τὸ χρόνιον παρὰ τῶν τιμωμένων αἰτοῦντες, ἵνα καὶ ἡμῖν ἐπὶ
πλέον τὰ τῆσδε τῆς εὐζωΐας διὰ σὲ παραμείνοι, ὑπερασπίζοντος καλῶς τοῦ θεοῦ τῆς
πόλεως ταύτης, καὶ τοῦ ἔθνους παντὸς διὰ τὸν ἄλλον δῆλον ὅτι Δαβίδ, τὸν ἑαυτοῦ
παῖδα, σέ, τὸν πραῢν* καὶ ἡσύχιον καὶ κατὰ τὴν καρδίαν αὐτοῦ. [12] ταῦτά σοι, κράτιστε,
τὰ τῆς εὐσεβείας ἐπίχειρα· οὗτος ὁ καρπός σοι τῆς πίστεως· αὕτη τῆς γνησίας ἀγάπης
τῆς πρὸς θεὸν ἡ ἀντίδοσις· τοῦτον ἔχεις μισθὸν τῆς περὶ αὐτόν τε τιμῆς καὶ τοὺς
αυτοῦ γνησίους θεραπευτάς, τούς τε ἄλλους ὁπόσοι δι' αὐτόν τι πεπόνθασι, καὶ παρὰ
πάντας ἐξόχως περὶ τοῦτον τὸν ἐξοχώτατον ἐν αὐτοῖς καὶ περιφανέστατον, ᾧ φιλοτι-
μότατα | κάθῃ πανηγυρίζων ἐνταῦθα, καὶ κοινωνοὺς πρὸς τὴν τούτου θεραπείαν 191[1]
παραλαμβάνεις τὰς καὶ τῆς αὐτῆς ἐξουσίας σοι κοινωνούσας καὶ δόξης, τὰ καλὰ λέγω
ταῦτα τῆς βασιλείας ἀγάλματα, τοὺς διττοὺς ὀφθαλμοὺς τῆς καθ' ἡμᾶς γενεᾶς, τὰ τῆς
παλαιᾶς εὐγενείας καὶ λαμπρότητος λείψανα, τὰ πολυγενῆ καὶ πολύρριζα τῶν βασιλέων
βλαστήματα, αἷς ἐπ' ἔτη σε καὶ ἔτη συγχαίρειν καὶ συμβασιλεύειν εὐχόμεθα, μέχρις οὗ
τὰ ἄνω βασίλεια, τὰ ἀμετάθετα καὶ ἀσάλευτα, εἰς τὴν ἐκεῖσε δέξηται δόξαν καὶ βασι-
λείαν ὑμᾶς. τέως δὲ τὴν ἐπίγειον ταύτην εἰς χεῖρας κατέχοντες, ἐντείνετε* σφόδρα καὶ
κατευοδοῦσθε καὶ βασιλεύετε, οὕτω μὲν ἀλύπως καὶ ἱλαρῶς, οὕτω δὲ φιλανθρώπως
αμα καὶ φιλοφρόνως, καὶ τοῦτον τὸν τρόπον ἐπὶ μᾶλλον καὶ μᾶλλον τὰς ἀνθρωπίνας
γνώμας καταδουλοῦσθε, μὴ φόβοις προσβιαζόμενοι, ἀλλ' εὐνοίαις ἐξοικειούμενοι — τοῦτο
δὴ τὸ ὑμέτερον ἐξαίρετον γνώρισμα παρὰ τοὺς πώποτε βασιλεύσαντας — καὶ τῷ ἀ-
|λύτῳ τοῦ φίλτρου πρὸς ἑαυτοὺς συνδεσμοῦντες καὶ συγκρατοῦντες δεσμῷ, ὡς ἂν 191[2]
τά τε ἄλλα καὶ εἰρήνης βαθείας αὐτοί τε καὶ τὸ ὑπήκοον διηνεκῶς ἀπολαύοντες, εὐκαιρίαν

11 Exod 19, 5 | 11 ἄμμον codex | 11 Psalm ξζ 10 | 11 Isaias 66, 2 | 12 Psalm μδ 5

ἄγοιτε πλείστην οὕτως ἑορτάζειν ἅμα καὶ χαίρειν καὶ πνευματικῶς καὶ σωματικῶς, εὐμενὲς ἐφορῶντος ἄνωθεν ἐφ' ὑμᾶς τοῦ θεοῦ διὰ τὴν ὑμετέραν εὐμένειαν καὶ ἀμαχητὶ τροπουμένου τοὺς ὑπεναντίους ὑμῖν, εἴ τινες εἰσίν, ἱκεσίαις ἅμα καὶ ὑπουργίαις τοῦ λαμπροῦ καὶ μεγάλου τροπαιοφόρου, δυναμένου πάντα ῥαδίως ἐκ τῆς πρὸς αὐτὸν παρρησίας καὶ οἰκειώσεως, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

| **182.** *Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων λόγος εἰς τὴν* 192[1]
ἡμέραν τῆς μνήμης τοῦ μεγάλου τροπαιοφόρου καὶ τὴν νῦν γενομένην ἐπὶ τοῖς βαρβάροις θαυματουργίαν ἐν°.

[1] *Ὡς εὐτυχὴς καὶ πάντα μακάριος ὁ μέγας τροπαιοφόρος· πλήρης γοῦν ἐστὶ δόξης ἐν οὐρανῷ, πλήρης δὲ θαυμάτων ἐν γῇ, καὶ τῷ μεγέθει τῆς χάριτος καλύπτει πᾶσαν τὴν κτίσιν. θαυμαστὸν δὲ οὐδέν, εἰ δοξάζειν οἶδε τοσοῦτον ὁ τῆς δόξης θεὸς τοὺς οἰκείους φίλους καὶ δούλους, ἐπεὶ κἀκεῖνοι θεὸν διαφερόντως ἐδόξασαν.* [2] *καὶ μάρτυς οὗτος πρὸ πάντων ὁ πρωτεύων ἐν δόξῃ μάρτυς τῆς ἀληθείας, ὃς καὶ γένος καὶ πλοῦτον καὶ δόξαν καὶ δυναστείαν καὶ πᾶν εἴ τι ἄλλο τοῖς πολλοῖς περισπούδαστον δι' αὐτὸν ἀπηρνήσατο καὶ ζημίαν ἡγήσατο τοῦ κόσμου τὰ κέρδη πρὸς τὸ κερδῆσαι μόνον ἐκεῖνον, ὅθεν εὔζωνος ἔσπευσε καὶ κοῦφος πρὸς τὸν ἐρώμενον, καὶ οὐ πρότερον ἔσβεσε τῆς ἐπιθυμίας τὸ δίψος ἕως εὗρε καὶ ἥρπασεν ὃν ἐζήτει θεόν, ἵλεως ἐντεῦθεν εὖ μάλα, καὶ φαιδρὸς ἐκεῖσε μεταχωρήσας | καὶ μήτε βασάνων ἀφορήτων ἐπιφοραῖς μήτε χαλεπαῖς* 192[2]
ἀπειλαῖς, μὴ θωπευμάτων κλοπαῖς, μὴ δωρεαῖς, μὴ τιμαῖς, μηδενὶ μηχανήματι — καίτοι πάντων κεκινημένων — μαλακισθεὶς μηδ' ἐνδούς, ἀλλ' ἀκίνητος πρὸς πάντα καὶ ἄτρεπτος ἀντισχὼν διὰ τέλους, καὶ τὴν καλὴν εἰς Χριστὸν ὁμολογίαν καὶ πίστιν ἀσφαλῆ καὶ βεβαίαν συντηρήσας ἄχρι θανάτου, ὅνπερ δὴ καὶ αὐτὸν τελευταῖον δῶρον ἐκαρποφόρησεν, εὐψύχως ὑποσχὼν ὁ γενναῖος τὸν αὐχένα τῷ ξίφει καὶ καλὸν ἀριστείας καὶ ἀνδραγαθίας ὑπόδειγμα τοῖς μετ' αὐτὸν γενόμενος μάρτυσιν. [3] *οὕτω μὲν ὁ μάρτυς τὰ πρὸς θεόν, καὶ τοιαύταις αὐτὸν ἐξῳκειώσατο θεραπείαις, ὁ δὲ τοῖς ἀκηράτοις στεφάνοις τὸν νικητὴν λαμπρῶς στεφανοῖ, καὶ ὁμολογήσαντα* ἔμπροσθεν ἀνθρώπων αὐτὸν ἐνώπιον ἐκεῖνος τοῦ μεγάλου πατρὸς καὶ τῶν ἐκλεκτῶν ἀγγέλων ἀνακηρύττει, καὶ τῆς βασιλείας ποιεῖται κοινωνὸν τῆς ἰδίας, καὶ δόξης ἐμπίπλησι τὸν κόσμον πάντα πληρούσης, ἧς μέρος ἐλάχιστον | ἡ παροῦσα φαιδρότης, κἂν ὑπερβάλλῃ πάντα μικροῦ τὰ αἰσθητὰ* 193[1]
καὶ ὁρώμενα.

[4] *Τί δ' οὐ μέλλει τοιαύτη καὶ λέγεσθαι καὶ νομίζεσθαι, ἣν ἐν κύκλῳ τοσαῦται περιλάμπουσι χάριτες; δείξει γοῦν (ὡς ὁ λόγος) αὐτό, καὶ τῆς ἔξωθεν ἥκιστα μαρτυρίας δεήσει.* [5] *ὁ μὲν δὴ καινὸς οὐρανὸς ὁ θαυμαστὸς ναὸς οὗτος, ὃν ὁ μέγας οἰκεῖν τροπαιοφόρος εὐδόκησε, μεγέθει καὶ κάλλει καὶ πολυτελείᾳ κατασκευῆς πολύ τι τὰς ἄλλας ὑπερβαίνων οἰκοδομάς, καὶ διὰ τὸ περιὸν τῆς λαμπρότητος ἀπαξιῶν μὲν ὥσπερ τὴν γῆν, αἰρόμενος δὲ καὶ ἀνατρέχων εὖ μάλα πρὸς τὸν ὑπερθεν οὐρανόν, ὅλην μὲν ἔνδον δέχεται τὴν ἐκεῖθεν ἡμέραν, ὅλην δὲ λαμβάνει τὴν κάτωθεν, ἐξ ἀπείρων λαμπάδων τε καὶ λύχνων ἀναπτομένην, καὶ διπλαῖς ἑκατέρωθεν αὐγαῖς πυρσευόμενος, καὶ αὐτὸς ὅλος ἤδη φῶς αὐτόχρημα δείκνυται, πλὴν ὅσον οὐκ ἐᾷ τὸν ἀέρα καθαρῶς ὁρᾶσθαι καὶ διαυγῶς τὸ παχὺ τοῦτο νέφος τῶν ἐξ ἀρωμάτων εἰς ὕψος ἀναδιδομένων ἀτμῶν, ὁ δὲ*

3 Matth 10, 32 | 5 6 = cap 181, 8 9

μέσος ἕστηκε λαμ|πρὸς λαμπρῶς, ὁ μέγας ἐν ἀθληταῖς, ὁ μέγας ἐν νικηταῖς, 193[2]
τροπαιοφόρος ὄντως καὶ στεφηφόρος, δόξῃ καὶ τιμῇ (ψαλμικῶς* εἰπεῖν) ἐστεφανωμένος
καὶ ἀμήχανον οἷαν ἐνδεδυμένος εὐπρέπειαν, ὁποῖα νυμφίος* ἐκπορευόμενος ἐκ παστοῦ
αὐτοῦ μετὰ σοβαροῦ καὶ σχήματος καὶ κινήματος, καὶ χαίρει μὲν δοξαζόμενος εὐφήμοις
φωναῖς, αἳ τοῖς ὕμνοις ἐκείνοις τοῖς ἀγγελικοῖς τε καὶ οὐρανίοις ἀντιπέμπονται κάτωθεν,
χαίρει δὲ προσκυνούμενος σεπτῶς καὶ τιμώμενος ἐκ πάσης ἡλικίας καὶ φύσεως καὶ παντὸς
ἤδη γένους σχεδὸν τῶν ὑπ' οὐρανόν· οἱ δὲ καθ' ἅπερ εἰς πάνδημον καὶ κοινὸν εὐεργέτην
παμπληθεί τε προσίασι καὶ προσπίπτουσιν ἅμα, βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί,
ἄρχοντες καὶ πάντες κριταὶ γῆς.*

6 ἀλλ' εἰς καλὸν ἡμῖν ἥκουσιν οἱ βασιλεῖς εἰς τὸν λόγον, μᾶλλον δὲ τὸ ἐντεῦθεν
καλῶς αὐτοὶ καὶ τὸν λόγον ὡς τὸν σύλλογον τοῦτον ὑποδεχέσθωσαν· τοῦτο γὰρ ἡμῖν
ἐξαιρέτως τῆς ἑορτῆς | τὸ λαμπρότατον, τοῦτο καὶ τῆς σήμερον μάλιστα παρὰ τὰς 194[1]
ἄλλας τὸ πλεονέκτημα, ὅτι βασιλεῖς φιλοχρίστους οὕτω καὶ φιλομάρτυρας ἐξάρχους ἔχει
καὶ χορηγούς, οἷς πολλῶν ὑπαρχόντων ἀγαθῶν ἐκ θεοῦ, τὸ μέγιστον πάντων ἡ περὶ
ἐκεῖνον εὐγνωμοσύνη καὶ τὸ πρὸς εὐσέβειαν γνήσιον, ἧς αὐτάρκης ἀπόδειξις, κἂν εἰ
μηδὲν ὑπῆν ἕτερον, τὰ νῦν θεωρούμενα. νῦν δὲ τηλικοῦτον ἡμῖν ὑποθέσεων ὑφήπλωται
πέλαγος, καὶ τοσοῦτον πλῆθος πραγμάτων ἐπιρρεῖ πανταχόθεν, ὡς πᾶσαν μὲν ὄψιν,
πᾶσαν δὲ ἀκοὴν περικλύζεσθαι τῇ τούτων πλημμύρᾳ, καὶ μηδένα λόγον ἀρκεῖν οὐχ ὅτι
πρὸς ἀξίαν πάντα θαυμάσαι, ἀλλ' οὐδὲ τῶν πάντων ἓν ἱκανῶς τε καὶ μετρίως ὑμνῆσαι,
ὅσα μὲν βασιλεὺς τῆς πρὸς θεὸν εὐνοίας καὶ πίστεως ἐκφέρει τὰ δείγματα, ὅσα δὲ τὰ
γέρα τῆς θεραπείας παρ' ἐκείνου πάλιν ἀντιλαμβάνει, ἐκ γῆς, ἐκ θαλάττης, ἐξ ἀέρος,
ἐξ οὐρανοῦ — ὡρῶν εὐκρασίαν, εὐφορίαν καρπῶν, εὐθηνίαν τροφῶν, τῶν εἰς τρυφὴν
| καὶ ἀπόλαυσιν ἀνθρώποις τὴν ἀφθονίαν, καίτοι ταῦτα δοκεῖ πως πλατυτέρας 194[2]
ἔχειν αἰτίας καὶ τὸ θεοφιλὲς τῶν κρατούντων οὐ πάνυ τι σαφῶς παριστᾶν οὐδ' οἷον
ἀφωρισμένως, ἀλλ' εἰ καὶ μὴ ταῦτα τοσοῦτον, ἀλλ' ἐκεῖνά γε πάντως τοῦ φιλευσεβοῦς
αὐτῶν ἄντικρυς μηνύματα μόνου· τίς γὰρ ἂν οὐκ ἂν εἴποι τὴν περὶ τὸ κράτος εὐμέ-
νειαν τοῦ θεοῦ τῶν δυνάμεων τὰς κατὰ τῶν βαρβάρων νίκας ἡμῖν ἐξ οὐρανοῦ χορη-
γεῖν, οὐ κατὰ μίαν καὶ δύο μικρολόγως ἀριθμουμένας, ἀλλὰ συνεχεῖς καὶ ἀθρόας παρ'
αὐτοῦ φιλοτιμουμένας, οὕτω μὲν ταχὺ καὶ ῥᾳδίως, οὕτω δὲ ἀπίστως καὶ παραδόξως,
ὡς καὶ τυφλῷ δήλην εἶναι (τοῦτο δὴ τὸ ᾀδόμενον) τὴν κατορθοῦσαν ἅπαντα δύναμιν.

7 πῶς ἄν τις τούτων καθ' ἕκαστον ἐπιδράμοι τῷ λόγῳ; πῶς μετρήσοι τὸ ἄπειρον;
πῶς ἐξαριθμήσοι τὸ ἀναρίθμητον; ἀνατολὴ καὶ δύσις βοάτωσαν, ἄρκτος ἅμα καὶ με-
σημβρία· πᾶσι γὰρ γνωστὰ γέγονε τοῦ κόσμου τοῖς πέρασι τὰ τοῦ θεοῦ μεγα|λεῖα, 195[1]
καὶ τοῦ δυνατοῦ τὴν ἀήττητον ἰσχὺν καὶ ἀνίκητον τὰ ἔθνη πάντα κηρύττει, τῷ τῆς
εὐσεβοῦς βασιλείας καὶ φιλανθρωποτάτης ζυγῷ τὰ μὲν ὑποκύψαντα, τὰ δὲ προσερχό-
μενα, τὰ δὲ προσδοκώμενα. ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου — τοῦτο μὲν προφητεία*,
ταύτης δὲ σαφὴς ἡ ἀπόβασις. ἥκουσι καὶ γὰρ οὐκ εἰς ἅπαξ, ἀλλὰ συνεχεῖς αἱ πρεσβεῖαι
καθ' ἑκάστην ἐκεῖθεν. καὶ κατακυριεύσει (φησίν*) ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ
ποταμῶν ἕως περάτων τῆς οἰκουμένης. ὁ δὲ βασιλεὺς ὁ ἡμέτερος καὶ τοὺς ποταμοὺς
ὑπερβὰς ἤδη τῶν περαιτέρω κρατεῖ, καὶ τὰ πρὶν ἀκυρίευτα καὶ ἄμαχα ὅπλα, πρὸς ἃ

5 Psalm η 6 | 5 Psalm ιη 6 | 5 Psalm ρμη 11 | 7 Psalm ξζ 32 | 7 Psalm οα 8

τοὺς ἀνηνύτους εἶχε πολέμους ἡ Ῥωμαίων ἡγεμονία, νῦν ὑπὲρ αὐτῆς ἐστὶν ἕτοιμα προπολεμεῖν τε καὶ κινδυνεύειν.

[8] καὶ τὰ μὲν ἐκεῖθεν τοιαῦτα, τὰ δ' ἐντεῦθεν πάλιν ὁποῖα; βαρβαρικὰ μὲν κινη-
ματα πολλὰ καὶ πολλάκις καταδραμεῖν λῃστρικώτερον τὰ πρὸς δύσιν ἐπιχειρούντων, τὸ
δὲ τούτων τέλος οὐδὲν ἢ ὑπόπτωσις ἔνσπονδος καὶ δου|λείας ὁμολογία μετὰ τὸ 195[2]
γνῶναι τὸν κρείττονα καὶ φανερῶς πιστεῦσαι θεομαχεῖν τοὺς ἀνθισταμένους τῇ τούτου
δεσποτείᾳ καὶ βασιλείᾳ. διὰ τοῦτο κἀντεῦθεν εὐαγγελιζομένων πόδες* ταχύνουσι, καὶ
βασιλεῖς ἐθνῶν ἄγονται πολλαχόθεν αἰχμάλωτοι, οἱ δὲ καὶ προστρέχουσι ποσὶν αὐτο-
μάτοις, χώρας ὅλας παραδιδόντες καὶ ἐξιστάμενοι πόλεων καὶ προσόδων καὶ φόρων,
καὶ τῇ πάντων κρατούσῃ ῥωμαϊκῇ δυναστείᾳ καὶ τὰς ἑαυτῶν προστιθέντες καθ' ἅπερ
θαλάσσης πελάγει ποταμῶν ῥεύματα.

[9] ὡς ἂν δὲ τἆλλα παρεὶς τὸ πάντων μάλιστα πρόσφατον καὶ νέον θαυμάσω τῶν
θεοῦ τεραστίων, τίνες οὗτοι καὶ πόθεν οἱ ἀλλογενεῖς καὶ ξενόφωνοι; τίς ἀλλόκοτον ὄψιν
καὶ ψυχὰς θηριώδεις καὶ σχημάτων ἄτοπον θέαν οὕτω παραδόξως ἡμέρωσε καὶ πρὸς
τὸ ἀνθρωπινώτερον ἤμειψε, μεταποιήσας ἀθρόον; τίς λαὸν τῷ κυρίῳ, ὃν οὐκ ἔγνω,
προσήνεγκε; τίς εἰσήγαγεν ἔνδον ἐκκλησίας καὶ πόλεως τοὺς ἐχθροὺς θεοῦ τε καὶ βασι-
λέως; | οὗτοι (δότε γὰρ τῷ λόγῳ περὶ αὐτῶν εἰπεῖν τι διὰ βραχέων) ἔθνος μὲν 196[1]
ἦσαν ἄπιστον, ὅπερ ἅπαντες ἴστε, ἔθνος ἀσεβές τε καὶ ἄνομον, Σκύθαι τὸ γένος, νο-
μάδες τὸν βίον, ἀπηγριωμένοι τὸ ἦθος, βδελυροὶ καὶ ἀκάθαρτοι τὴν ζωὴν καὶ τὴν
δίαιταν, τἆλλα μὲν (ὡς ἂν εἴποι τις) οὐδενὸς ὄντες ἄξιοι, οὐ λόγον, οὐ νόμον, οὐ
θρησκείαν εἰδότες, οὐδενὶ πολιτείας τρόπῳ στοιχοῦντες, οὐδενὶ πρὸς ὁμόνοιαν δεσμῷ
συναπτόμενοι, κακουργῆσαι δὲ χώραν καὶ καταδραμεῖν αἰφνιδίως καὶ τὰ ἐν ποσὶ λείαν
θέσθαι καὶ μαχαίρας ἔργον ποιῆσαι μιαιφόνοις χερσὶ τὸ παρεμπεσὸν αὐταῖς ἅπαξ
πάντων εὐφυέστατοι καὶ δεινότατοι· οὕτω γοῦν καὶ τὴν χώραν ἐκ λῃστείας ἐκτήσαντο,
ἣν κατῴκουν εἰς δεῦρο, ἀσθενεστέρους ὄντας τοὺς ἄνωθεν οἰκήτορας ἐξελάσαντες, ἐφ'
οἷς οὐ μικρᾶς τινὸς τοῖς πάλαι κρατοῦσιν ἐδέησε πραγματείας, ἀλλ' ἦν ὁ πρὸς αὐτοὺς
πόλεμος ἄπορος ἀεὶ καὶ ἀμήχανος, κλεπτόντων εὐκαίρως τὰς ἐπιδρομὰς τῶν βαρβάρων,
εὐκαιρότερον δὲ τὴν ἑαυτῶν φυγὴν | καὶ ἀπόδρασιν, καὶ καταδυομένων ἑτοίμως 196[2]
ὥσπερ βατράχων εἰς ἕλη που καὶ νάπας καὶ τέλματα. καὶ νῦν δὲ πολλάκις ἐπείρασαν
τὸν Ἴστρον διαβαλόντες, ὃς αὐτοὺς ἀντιπέρας εἶχε προσοίκους, τὴν ἡμετέραν κακῶσαι·
ποῦ γὰρ ᾔδεισαν ἄνθρωποι θηρία μᾶλλον ἢ ἄνθρωποι τὸ νῦν ἐνταῦθα κατέχον, καὶ
ὅτι τὸ κράτος οὐκ ἀνθρώπινον ἔτι, ἀλλ' ἐκ θεοῦ τε καὶ θεῖον καὶ τοῦ κακῶς παθεῖν
ὑψηλότερον; [10] τὰς μὲν οὖν ἄλλας τούτων ἐφόδους εἰς οὐδὲν ἢ μικρόν τι πάνυ κακὸν
ἀποσκηπτούσας ἀνέκοπτε ταχὺ καὶ συνέστελλεν ἡ βασιλέως προμήθεια, τὴν ἐξ ὕψους
ἔχουσα συμμαχίαν, τὴν ἐσχάτην δὲ ταύτην καθ' ἡμῶν ἔλασιν ἢ μᾶλλον ἀπέλασιν ὡς
λόγος τῶν οἴκοι — οὐκ οἶδα τί ποτε φήσω, πότερον αὐτῶν ἀδικίαν πρὸς ἄλλους ἢ ἑτέρων
μᾶλλον πλεονεξίαν ἐπενεχθεῖσαν τούτοις ἐκ τύχης; τάχα δὲ πολὺ βέλτιον θειοτέρας
καλεῖν οἰκονομίας ἔργον τὸ πρᾶγμα, ἥτις ἄγει σοφῶς καὶ κυβερνᾷ τὰ ἀνθρώπινα, δι'
ἑτέρων ἕτερα πλέκουσα | καὶ τοῖς ἐναντίοις πολλάκις τὰ ἐναντία περαίνουσα, ὃ 197[1]
κἀνταῦθα προδήλως ἐπὶ τούτων θαυματουργεῖ. οἱ μὲν γὰρ ἐπῆλθον παμπληθεὶ πάντες

8 Isaias 52, 7

*ἅμα, τὸν ποταμὸν ἀθρόοι πεζεύσαντες ἠπειρωθέντα κρυστάλλῳ, καὶ τὴν ἀπόβασιν
κλέψαντες (ὅσπερ νόμος ἐκείνων) τὴν παραποταμίαν ἐκάκωσαν ἐκ μέρους καταδραμόντες·
ἡ βασιλικὴ δὲ καὶ νῦν οὐκ ἀπενύσταξε πρόνοια, ἀλλ' ἐν ὅπλοις ἦν παραχρῆμα τὰ Ῥω-
μαίων στρατεύματα, τέως μὲν τόλμης γέμοντα καὶ τῆς πρὸς τοὺς βαρβάρους περιφρο-
νήσεως. [11] ἐπεὶ δὲ προσῆλθον ἐγγυτέρω τῶν πολεμίων, καὶ τὰς ὄψεις ἐπέβαλον ἐξαί-
φνης τῷ στρατοπέδῳ, θάμβους ἅμα καὶ δέους πρὸς τὴν θέαν ἐπλήσθησαν· οὐ γὰρ
ἐφικτὸν ὀφθαλμοῖς οὐδ' ἀριθμῷ τὸ πλῆθος περιληπτόν, ἀλλὰ πάσας ἐκάλυπτε τὰς
ὄχθας ἡ στρατιά, πρός τε μῆκος ἀόριστον καὶ πλάτος ἐκτεταμένη καὶ ὡς ἄλλη τις
ἄμμος* ἐπικεχυμένη τῷ ποταμῷ· ἦν οὖν ὁ κίνδυνος δεινὸς τοῖς στρατεύμα|σιν, 197[2]
οὐχ ὅτι μόνον ὀλίγοι συρρήγνυσθαι πολλαπλασίοσιν ἔμελλον, ἀλλ' ὅτι καὶ πρὸς οὕτω
θυμομαχοῦντας, οἳ τὴν οἴκαδε μὲν ὑποστροφὴν ἀπεγνώκεισαν, ἐν ταῖς χερσὶ δὲ τὰς
πάσας εἶχον ἐλπίδας, ὥστε ἢ πολέμῳ κρατήσαντες τὴν χώραν οἰκῆσαι ἢ κακόν τι δρά-
σαντες μέγα μηδ' ἀντιπαθεῖν παραιτήσασθαι. τίς γὰρ φόβος θανάτου ταῖς βαρβάρων
ὠμότησιν; οἷς καθ' ἅπερ ἄλλο τι τῶν προχείρων καὶ ῥᾴστων καὶ ἡ σφαγὴ παραπαί-
ζεται. [12] οἱ μὲν οὖν ἦσαν ἐν τούτοις, καὶ βασιλεὺς παρεσκεύαζεν ἑτέραν βοήθειαν, ὡς
ἐλαττουμένων αὐτῷ κατὰ τὰς συμπλοκὰς τῶν προτέρων· ἤδη γάρ τινες ἐκείνοις συνέστησαν
πρὸς τὰς ἐκδρομὰς τῶν βαρβάρων ἀκροβολισμοὶ καὶ ἀψιμαχίαι, ἐν αἷς ὑστεροῦντες
ἀθυμότερον εἶχον. ἀλλὰ τίς ὁ διδοὺς ἐν τοῖς ἀπόροις πόρον ἑτοίμως; τίς ὁ λύων κλαυ-
θμὸν ἑσπερινὸν τὸ πρωΐ*; οὗτος ἔτι καλοῦντι* τῷ βασιλεῖ παρῆν βοηθός, καὶ ὁ στρατὸς
ὁρμῆς πλήρης κατὰ τῶν πολεμίων ἐχώρει, καὶ τὰ τῆς θείας αὐτίκα συμ|μαχίας 198[1]
ἐφανεροῦτο[...]. συμβολὴ γὰρ αὖθις μεγάλη καὶ περὶ τῶν ὅλων ἀγών, καὶ νικᾷ κατὰ κράτος
ὁ σταυρὸς τοῦ Χριστοῦ, θαυμαστῶς ὑπεράνωθεν ἐντυπωθεὶς τῷ ἀέρι, ὥσπερ ἤδη καὶ
πρότερον ἐπ' ἐκείνου τοῦ πρώτου χριστιανῶν βασιλέως καὶ τῷ νῦν θεόθεν κρατοῦντι
καὶ κλῆσιν καὶ τὸ σέβας παραπλησίου. [13] γίνεται δὴ φόνος τῶν βαρβάρων πολύς, καὶ
πολλῷ πλείων φόβος, φόβος, ἄγων εἰς αἴσθησιν τοὺς πρὶν ἀναισθήτους καὶ τὸ συμφέρον
διδάσκων μετὰ συνεργοῦ τῆς ἀνάγκης· αὐτίκα γὰρ ὡς ὑπό τινος πρηστῆρος βληθέντες
τοὺς θυμοὺς ἐξελύθησαν, καὶ τῶν χειρῶν ἀπορρίψαντες τὰ ὅπλα μακράν, εἰς ἱκεσίαν
ταύτας ἐξέτεινον, καὶ τὴν εὐσπλαγχνίαν τοῦ κράτους βαρβαρικαῖς καὶ ἀσήμοις ἐξεκα-
λοῦντο φωναῖς· ἡ δὲ τοσοῦτον ἐτάχυνε καὶ οὕτως αὐτοῖς ὑπὲρ ἐλπίδα πᾶσαν ἐχρήσατο,
ὥστε μεθ' ἡμῶν νῦν ἑστήκασιν εἰς θαῦμα τοῖς θεωμένοις, ἐξ ἀγρίων ὥσπερ θηρίων
εἰς ἡμέρους ἀνθρώπους μεταπλασθέντες, ἐκ τῆς πρὶν ἀμορφίας καὶ ἀτοπί|ας 198[2]
ἐκείνης εἰς τὴν νῦν ἱλαρότητα καὶ χάριν μεταβαλόντες, τὸ δὲ πάντων λαμπρότερον καὶ
μεῖζον εἰς ἔκπληξιν, ἐξ ἀσεβῶν καὶ ἀπίστων εὐσεβεῖς καὶ πιστοί, ἄρτι μὲν τοῦ λουτροῦ
τῆς ἀφθαρσίας τυχόντες διά τε τὴν τοῦ κράτους φιλοθεΐαν καὶ τὴν θείαν φιλανθρωπίαν,
ὑπ' ἐκείνου δὲ τῷ φωτὶ σημειωθέντες τῆς χάριτος καὶ τὴν μόρφωσιν ταύτην καὶ μετα-
ποίησιν παρὰ τοῦ καινοποιοῦ δεξάμενοι πνεύματος. [14] οὕτως οἶδε θεὸς οἰκονομεῖν
ἀνθρώποις τὴν σωτηρίαν, οὕτως ὁ κρατῶν τοὺς ἐχθροὺς ἐπικρατήσας ἀμύνεσθαι, ἄκοντας
σῴζων, ἀγνοοῦντας δοξάζων, μετὰ δωρεῶν καὶ τιμῶν θεογνωσίαν διδάσκων· καὶ ἰδοὺ
ἔθνος ἅγιον τὸ ἄνομον ἔθνος, καὶ λαὸς θεοῦ νέος ὁ παλαιὸς τὴν ἀσέβειαν, καὶ πάλιν
ἡ κλῆσις τῶν ἐθνῶν ἐνεργός, καὶ πάλιν ἡ πίστις προσθήκην θαυμαστὴν ἔλαβε, καὶ*

11 ἄμμος codex | 12 Psalm κθ 6 | 13 Isaias 65, 24

κατὰ τῶν περάτων τῆς γῆς τὸ εὐαγγέλιον ἴσχυσεν· οὕτω βασιλεὺς τοὺς ἀθέους τῷ
ἑαυτοῦ προσάγει θεῷ, οὕτως ὑποτάσσει θεὸς τῷ βασιλεῖ τοὺς ἐχθρούς, καὶ διὰ πάντων
παρίστησι τὴν πρὸς αὐτὸν ῥο|πὴν ὡς πολλή. 199[1]
[15] Ἀλλὰ τί μοι νῦν τούτων; ἆρον* κύκλῳ τοὺς ὀφθαλμούς σου, βασιλέων ὀρθοδο-
ξότατε (σὺ γὰρ τῶν παρόντων θαυμάτων αἰτιώτατος μάλιστα), καὶ ἴδε περὶ σὲ συνηγ-
μένους πάντας ἤδη μικροῦ τοὺς ὑπὸ τὴν χεῖρα τὴν σήν· πρόσσχες*, ὁ ποιμαίνων τὸν
ἐκλεκτὸν Ἰσραήλ, ὁ ὁδηγῶν ὡσεὶ πρόβατα τὸν βαρύν σου τοῦτον λαόν· κατάμαθε τὸ
πλῆθος ὁπόσον, τὴν εὐταξίαν ἡλίκη, τὴν ὑπακοὴν ὡς ἑκούσιος, τὸ σέβας ὡς ὑπὲρ ἄν-
θρωπον, τὸ φίλτρον ὡς ἐνδιάθετον· πάντες οὗτοι συντρέχουσι ποσὶν αὐτομάτοις ἐπὶ τὴν
Σιὼν τὴν ἁγίαν, τὴν πιστὴν μητρόπολιν ταύτην, τὴν Ἱερουσαλὴμ σου τὴν νέαν, ἧς θεός
τε καὶ σὺ δημιουργοὶ καὶ τεχνῖται, ἀφ' ἧς ἐξελεύσεται δικαιοσύνη καὶ νόμος*, τὰ παρ'
αὐτῇ καλῶς διδασκόμενα διὰ σὲ καὶ μαθητευόμενα, μᾶλλον δὲ πρό γε τούτου τὰ ἐπὶ
τῶν πράξεων κατορθούμενα, ἣν αὐτὸς ἐστερέωσεν ὁ κατοικῶν ἐν αὐτῇ· ὁ θεὸς* ἐν
μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται, ὁ θεμελιώσας καὶ ταύτην ὡς τὴν γῆν ἐπὶ τῶν ὑδά-
των*, θαῦμα μὲν τοῖς ὁρῶσι, θαῦμα δὲ τοῖς ἀ|κούουσι, πόλιν ὅλην μετέωρον 199[2]
μικροῦ καὶ ἀέριον, εἰ μή που βραχεῖ τινὶ μέρει τῆς θαλάσσης ἐφάπτεται καὶ βραχυτέρῳ
πάλιν τῆς γῆς. [16] αὕτη σοι σήμερον ξενίζει τοὺς ὑπηκόους, καὶ τὸ μέγεθος τῆς σῆς
ἐξουσίας ἐφ' ὅσον τε καὶ ὅσον ἐστὶν ὑπ' ὄψιν ἐναργῶς σοι παρίστησιν, ἀστενοχωρήτως
χωροῦσα μυριάδας τοσαύτας, ἄλλως μὲν ἀορίστους οὔσας καὶ ἀτεκμάρτους, ἄρτι δὲ
συνδραμούσας ἐκ τῶν ἄκρων τῆς γῆς ὡς ἀπὸ συνθήματος εἰς ἓν χωρίον ἐνταῦθα κατα-
φανὲς καὶ εὐσύνοπτον καθ' ἅπερ εἰς κοινὸν καταγώγιον ἁπάσης τῆς οἰκουμένης· αὕτη
πόλεις καὶ χώρας καὶ φυλὰς ἀπείρους ἐθνῶν εἰς ἑαυτὴν ὑποδέχεται, ἃς εἰς χεῖράς σοι
δέδωκεν ἀρρήτῳ προνοίᾳ ὁ ὑποτάσσων τὸν λαόν σου ὑπὸ σέ, λαὸν ὡς ἀληθῶς περιού-
σιον*, σφόδρα σφόδρα πεπληθυσμένον ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον*
τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, ἐκ παντοδαπῆς ἡλικίας συγκεκροτημένον καὶ τύχης,
εἰς διαφόρους ἀξίας τε καὶ τάξεις συντεταγμένον, μοναδικοὺς | καὶ μιγάδας, 200[1]
ἱερεῖς καὶ τοὺς ἔξωθεν, τοὺς ἐν τέλει καὶ τοὺς κοινούς, τοὺς τῆς πολιτείας καὶ τῆς στρα-
τείας, εὐγενεῖς τε καὶ δυσγενεῖς, πλουσιωτέρους καὶ πενεστέρους, τοὺς ἐν ὑπεροχῇ καὶ τοὺς
ἥττονας, καὶ καθ' ἑαυτοὺς μὲν πάντας ἐντίμους καὶ τηλικαύτης ἀρχῆς ὑπηρέτας οὐκ
ἀναξίους, ἐντιμοτέρους δὲ πλέον διὰ τὴν σὴν βασιλείαν καὶ τὴν ἐντεῦθεν εἰς ἅπαντας
ὑπερεκχυθεῖσαν φιλανθρωπίαν, ὑφ' ἧς καθ' ἑκάστην (ἵν' οὕτως εἴπω) περικλυζόμενοι
καὶ βροχὴν* ἑκουσίαν[sic] κατὰ τὸ γεγραμμένον βρεχόμενοι, πάσαις μὲν ἀγαθῶν εὐθηνίαις
ἐνευπαθοῦσι, πάσῃ δὲ κομῶσιν εὐδαιμονίᾳ, κἀντεῦθεν παντοίας ἡδονῆς πεπλησμένοι,
τὸν ἅπαντα βίον ἑορτὴν μίαν ἄγουσιν, ἧς τὸ μέγα κεφάλαιον ἡ νῦν τελουμένη, ἅμα
μὲν εἰς δόξαν Χριστοῦ, τοῦ δοξασθέντος ἄρτι τῷ πάθει καὶ τῇ ἐγέρσει, ἅμα δὲ πρὸς
τιμὴν τοῦ τῶν μαρτύρων μεγίστου, οὗ τοὺς ἄθλους ἐνταῦθα πανηγυρίζομεν σήμερον, σοὶ
τῷ βασιλεῖ καὶ δεσπότῃ καὶ τῆς πανηγύρεως ταύτης καθηγεμό|νι, συνευφραινό- 200[2]
μενοι, καὶ τοῦτο μὲν συνεισφέροντες τῷ καιρῷ τὰ καθήκοντα, τοῦτο δὲ τῷ σῷ κράτει,
τὸ διαρκὲς καὶ τὸ χρόνιον παρὰ τῶν τιμωμένων αἰτοῦντες, ἵνα καὶ ἡμῖν ἐπὶ πλέον

15 = 181, 10 | 15 Isaias 49, 18 | 15 Psalm οθ 2 | 15 Isaias 2, 3 | 15 Psalm με 6 | 15 Psalm κγ 2 | 16 Exod 19, 5 | 16 ἄμμον codex | 16 Psalm ξζ 10

*τὰ τῆσδε τῆς εὐζωΐας διὰ σὲ παραμείνοι, ὑπερασπίζοντος καλῶς τοῦ θεοῦ τῆς τε πόλεως
ταύτης καὶ τοῦ ἔθνους παντὸς διὰ τὸν ἄλλον δῆλον ὅτι Δαβὶδ τὸν ἑαυτοῦ παῖδα, σέ,
τὸν πραῢν καὶ ἡσύχιον* καὶ κατὰ τὴν καρδίαν αὐτοῦ.*

[17] *Ταῦτά σοι, κράτιστε, τὰ τῆς εὐσεβείας ἐπίχειρα· οὗτος ὁ καρπός σοι τῆς πίστεως·
αὕτη τῆς γνησίας ἀγάπης τῆς πρὸς θεὸν ἡ ἀντίδοσις· τοῦτον ἔχεις μισθὸν τῆς περὶ
αὐτόν τε τιμῆς καὶ τοὺς αὐτοῦ γνησίους θεραπευτάς, τούς τε ἄλλους ὁπόσοι δι' αὐτόν
τι πεπόνθασι καὶ παρὰ πάντας ἐξόχως περὶ τοῦτον τὸν ἐξοχώτατον ἐν αὐτοῖς καὶ περι-
φανέστατον, ᾧ φιλοτιμότατα κάθῃ πανηγυρίζων ἐνταῦθα, καὶ κοινωνοὺς πρὸς τὴν τούτου
θεραπείαν παραλαμβάνεις τὰς καὶ τῆς αὐτῆς ἐξουσίας σοι κοινωνούσας καὶ δόξης, τὰ
καλὰ λέ|γω ταῦτα τῆς βασιλείας ἀγάλματα, τοὺς διττοὺς ὀφθαλμοὺς τῆς καθ' ἡμᾶς* 201[1]
*γενεᾶς, τὰ τῆς παλαιᾶς εὐγενείας καὶ λαμπρότητος λείψανα, τὰ πολυγενῆ καὶ πολύρριζα
τῶν βασιλέων βλαστήματα, αἷς ἐπ' ἔτη σε καὶ ἔτη συγχαίρειν εὐχόμεθα καὶ συμβασιλεύειν
μέχρις οὗ τὰ ἄνω βασίλεια, τὰ ἀμετάθετα καὶ ἀσάλευτα, εἰς τὴν ἐκεῖ σε δέξωνται δόξαν
καὶ βασιλείαν ὑμᾶς.* [18]*τέως δὲ τὴν ἐπίγειον ταύτην εἰς χεῖρα κατέχοντες, ἐντείνετε*
σφόδρα καὶ κατευοδοῦσθε καὶ βασιλεύετε, οὕτω μὲν ἀλύπως καὶ ἱλαρῶς, οὕτω δὲ φι-
λανθρώπως ἅμα καὶ φιλοφρόνως, καὶ τοῦτον τὸν τρόπον ἐπὶ μᾶλλον καὶ μᾶλλον τὰς
ἀνθρωπίνας γνώμας καταδουλοῖσθε, μὴ φόβοις προσβιαζόμενοι, ἀλλ' εὐνοίαις ἐξοικει-
ούμενοι (τοῦτο δὴ τὸ ὑμέτερον ἐξαίρετον γνώρισμα παρὰ τοὺς πώποτε βασιλεύσαντας)
καὶ τῷ ἀλύτῳ τοῦ φίλτρου πρὸς ἑαυτοὺς συνδεσμοῦντες καὶ συγκρατοῦντες δεσμῷ, ὡς
ἂν τά τε ἄλλα καὶ εἰρήνης βαθείας αὐτοί τε καὶ τὸ ὑπήκοον διηνεκῶς ἀπο|λαύ-* 201[2]
*οντες, εὐκαιρίαν ἄγοιτε πλείστην οὕτως ἑορτάζειν ἅμα καὶ χαίρειν καὶ πνευματικῶς καὶ
σωματικῶς, εὐμενὲς ἐφορῶντος ἄνωθεν ἐφ' ὑμᾶς τοῦ θεοῦ διὰ τὴν ὑμετέραν εὐμένειαν
καὶ ἀμαχητὶ τροπουμένου τοὺς ὑπεναντίους ὑμῖν (εἴ τινες εἰσίν) ἱκεσίαις ἅμα καὶ
ὑπουργίαις τοῦ λαμπροῦ καὶ μεγάλου τροπαιοφόρου, δυναμένου πάντα ῥαδίως ἐκ τῆς
πρὸς αὐτὸν παρρησίας καὶ οἰκειώσεως, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας. ἀμήν.*

183. *Μηνὶ* Αὐγούστῳ ιε. Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων λόγος
εἰς τὴν ἁγίαν*[a] *κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου. εὐο' δέσποτ*[b].

[1]*Ἐπὶ τὴν μητέρα τοῦ Λόγου μετὰ τὸν Λόγον ὁ λόγος· τὸν γὰρ βασιλέα προ-
πέμψας τῇ βασιλίδι προσυπαντᾷ, ἀπὸ δόξης δόξαν ἀμείβων καὶ μεταβαίνων εἰς δύ-
ναμιν ἐκ δυνάμεως· οὕτως ἐντρυφᾷ τῇ τῶν καλῶν εὐπορίᾳ, καὶ τοσοῦτον χαίρει φιλο-
τιμούμενος τῇ περιουσίᾳ τῶν ὑποθέσεων.* [2] *Χριστὸς μὲν ἡμῖν ἡ πάντων ἑορτὴ*[c] *τῶν
αἰώνων ἑορτὴ*[d] *| χθὲς ἦν, ἀλλ' ἑορτὴ φωτισμὸς καὶ πηγὴ φωτὸς ἀϊδίου καὶ* 202[1]
αὐτοφῶς. διὰ τοῦτο[e] *καὶ φῶς ἀναβαλλόμενος*[f] *ὡς ἱμάτιον*[g] *τὴν αὐτῷ*[h] *κατὰ*[i] *φύσιν
ἀναβολὴν καὶ τῷ προσώπῳ λάμψας ὡς ἥλιος, ἐξ ὄρους*[k] *ἁγίου ταῖς ἀστραπαῖς ἡμᾶς*

16 Isaias 66, 2 | 18 Psalm *μδ* 5 | 0 Ea quae iam sequitur oratio sola extat etiam in codice Ottoboniano 194 chartaceo saeculi XVI miscellaneo fol 225—241: huius codicis discrepantias omissis minutiis orthographicis et similibus contextui subscripsimus D littera usi. Hunc titulum praefigit D: *τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου Εὐχαΐτων λόγος εἰς τὴν πάνσεπτον κοίμησιν τοῦ* (sic) *ὑπεραγίας ἡμῶν θεοτόκου* D pessime ac neglegentissime scriptus est: consentit plerumque cum B: ubi D a BC discrepat, nova ubique vitia addit: inprimis plurimos accentus et spiritus male collocatos habet *Studemund*, qui Bolligium hoc loco »aus dem Druck« [Menaeorum?] B nominato descripsisse testis est | *a* *ἁγίαν* C, *πάνσεπτον* BD | *b* (sic) duo ultima verba desunt in B | *c* *ἑορτῇ* D | *d* *καὶ* add C | *e* *διατοῦτο* CD | *f* *ἀναβαλόμενος* C | *g* Psalm *ργ* 2 | *h* *αὐτῶι* C | *i* *κατα* C | *k* *ὅλους* D

ἔβαλε, καὶ τὴν θέαν οὐ φέροντας παρῆλθε ταχύ· μᾶλλον δὲ μεθ' ἡμῶν ἐστὶν[l] ἀεὶ
κατὰ τὴν ὑπόσχεσιν, καὶ λάμπει τοῖς ἀξίοις καὶ νῦν, ἀλλὰ πρὸς ἀξίαν, καὶ μετριώτερον·
[3] ἡ σήμερον δὲ τὴν Χριστοῦ μητέρα ποιεῖται μυστήριον, ἐκ μεγάλου τε μέγα καὶ λαμπρὸν
ἐκ λαμπροῦ, καὶ προφθάνει φαιδρότητα φαιδρότης δημοτελής, καὶ μεγίστη πανήγυρις
τηλικαύτην καταλαμβάνει, οὕτω πάντα τρόπον ἡμῖν ἀγαθυνούσης τῆς ἀγαθότητος καὶ
χάριν διδούσης κατὰ καιρὸν ἀντὶ χάριτος*· οἶδε γὰρ ἡ σοφία παραμυθεῖσθαι σοφῶς
τὸ τῆς ἀνθρωπίνης ἀσθενείας ἀψίκορον[m], ἵν' ὥσπερ κακόσιτοι[n] τῷ πολυτελεῖ καὶ ποι-
κίλῳ τῶν προκειμένων ἀνακτώμεθα τὴν ὄρεξιν κάμνουσαν, καὶ ταῖς προθυμίαις ἀκμά-
ζοντες, ὁσάκις ἂν δέοι, πρὸς τὴν τῶν χρησίμων ἀ|παντῶμεν ἀπόλαυσιν. 202[2]

[4] Ἀλλά με θερμότερον κινεῖ τὰ παρόντα, καὶ φέρειν μετρίως οὐκ ἔχω τὴν ἡδονήν,
καὶ ζητῶ φωνὴν ἀξίαν τοῦ θαύματος. βοήσομαι τοίνυν λαμπρόν τι καὶ διαπρύσιον, καὶ
τῆς ἡμέρας τὴν χάριν ὑψηλῷ κηρύξω κηρύγματι.

[5] Μητρὸς θεοῦ κοίμησιν ἑορτάζομεν σήμερον, μητρὸς θεοῦ κατάπαυσιν, μητρὸς θεοῦ
μετάστασιν, ἀνάβασιν, ἔπαρσιν· καὶ προσθήκη τοῦ θαύματος, ὅτι καὶ θυγάτηρ ἡ μήτηρ,
ἔστι δ' ὅτι καὶ νύμφη, καὶ παρθένος αὖθις ἡ νύμφη, καὶ διὰ πάντα βασίλισσα, καὶ
δούλη πρὸ πάντων, καὶ τῶν χαρισμάτων τὸ πλῆθος ποικίλον καὶ πολυώνυμον. [6] ταύτης
αἴρεται νῦν ἀπὸ τῆς γῆς ἡ ζωή, καὶ πρὸς οὐρανοὺς ἀνυψοῦται τῶν οὐρανῶν τὸ μυ-
στήριον, τῶν ἀγγέλων τὸ θαῦμα, τῶν ἀνθρώπων τὸ κράτος, ἡ τοῦ γένους εὐγένεια, ἡ
χριστιανῶν παρρησία, τὸ παντὸς καλοῦ μεῖζον[o] ἀσυγκρίτως καλόν, καὶ τὸν θνητὸν
τοῦτον[p] κόσμον τοῖς θνητοῖς καταλείψασα[q], αὐτὴ πρὸς ἣν ἔτεκε ζωὴν μεταχωρεῖ[r]. [7] ἡ
δὲ τὴν μητέρα καὶ δεξιοῦται λαμπρῶς, καὶ φιλοτίμως ἀ|σπάζεται. ὁ κρατῶν γοῦν 203[1]
ἀρρήτως τῇ χειρὶ πνοὴν ἅπασαν ἐπὶ ταύτην κάτεισιν[s] αὖθις, οὐκ ἐνοικήσων (ὡς πρίν);
ἀλλ' (ὡς εἰπεῖν) ἐξοικίσων, μᾶλλον δὲ κατοικίσων οὗ πρεπωδέστερον, καὶ μετάξων ἐν-
τεῦθεν πρὸς ἑαυτὸν τὴν ἐν σπλάγχνοις ἀχράντοις κενωθέντα βαστάσασαν. διὰ τοῦτο[t] καὶ
πάρεστι, καὶ στρατὸν ἀγγελικὸν καὶ οὐράνιον ἑαυτῷ συνεπάγεται, μεθ' ὧν[u] πάλιν ἄνεισι,
τὴν τεκοῦσαν ἀπάγων, καὶ μεγάλην ἀντέκτισιν μεγάλου καταβάλλων[v] δανείου, παλιγγε-
νεσίαν ἀντὶ γεννήσεως καὶ ἀντὶ σαρκώσεως θέωσιν. τοῦτο ἡμῖν τῆς[w] ἑορτῆς τὸ κεφά-
λαιον, αὕτη τῆς ἡμέρας ἡ δύναμις. [8] τίς οὐ χαίρει πρὸς ταῦτα καὶ την ψυχὴν ἠρέμα
πτεροῦται καὶ τὸ σῶμα κουφίζεται καὶ ὅλος εἰς ὕψος μετεωρίζεται; τίς τοιούτοις θεά-
μασιν ἐντυχὼν οὐκ ἐπαίρεται, καὶ περιφρονεῖ τἆλλα πάντα, καὶ πρὸς ἓν τοῦτο φέρεται;
τίς ἡδίων ἀπόλαυσις; τίς ἀμείνων τρυφή; τίς ἑτέρα τέρψις χαριεστέρα τῆς τοιᾶσδε[x] φαι-
δρότητος; ἣν θεός τε παρὼν καὶ χορὸς ἀγγέ|λων συνὼν καὶ λειτουργοῦντες ἀπόστολοι 203[2]
καὶ μήτηρ θεοῦ τιμωμένη, δι' ἣν ταῦτα πάντα καὶ περὶ ἥν, λαμπρὰν λαμπρῶς συγ-
κροτοῦσιν. [9] ἀλλ' οἷον ἐκεῖνό μοι παρ' ἐλπίδα προσέστη; τοιαύτης γὰρ ἤδη τῇ θεο-
μήτορι παρασκευασθείσης πομπῆς ἐκ τηλικούτου συστήματος, τίς ἐκεῖ δοθήσεται[y] χώρα
τοῖς ἐλαχίστοις ἡμῖν πρὸς τὴν τῆς κοινῆς δεσποίνης ἡμῶν[z] τιμήν; τίς δὲ[a] ἱκανὸς κατα-
λαβεῖν τινὰ θέαν ἐν οὕτω θεσπεσίῳ θεάτρῳ καὶ καλλίστης ὁράσεως βραχύ τι παρα-

l ἔστι D | * Iohann 1, 16 | *m* ἀψίκορον D | *n* κακώσιτοι D | *o* μείζων D | *p* τούτον (sic) D | *q* κατα-
λήψασα D | *r* μεταχωρεῖ BD, ἐκδημεῖ C | *s* κάτισιν D | *t* διατοῦτο C | *u* μεθ' ὃν D | *v* καταβάλλον D |
w post hanc vocem 8—9 litterae erasae sunt in C | *x* τοιάσδε D | *y* δοθείσεται D | *z* ἡμῶν BD,
omisit C | *a* ἡμῶν hic addit C

*πολαῦσαι; ἆρ' οὐκ ἐδείσατε; οὐχὶ μὴ κατόπιν (ὅ δή φασιν) ἔλθοιμεν[b] ἑορτῆς; ἀλλὰ τὸ
δεινότερον ἔτι, μὴ καὶ παρόντες ἁμάρτοιμεν αὐτῆς ὡς ἀνάξιοι; [10]ἀλλά μοι[c] θαρσεῖτε·
μάτην γὰρ ἡ δειλία, καὶ τὸ δέος οὐκ εἰς καιρόν. τίς γὰρ αὕτη καὶ πόθεν, περὶ ἣν ἡ
ξένη τιμὴ καὶ τὸ τῆς δόξης ἀπρόσιτον; οὐκ ἐξ ἡμῶν τῶν ἀνθρώπων; ἐξ ἡμῶν δηλαδή,
καὶ κἂν ὑπὲρ ἄνθρωπον, ἀλλὰ ἄνθρωπος. τί δ' ὁ ταύτην δοξάσας ἐπὶ τοσοῦτον; οὐχὶ
καὶ αὐτὸς καθ' ἡμᾶς ἀπὸ ταύτης δι' εὐσπλαγχνίαν, ὁ καὶ πρὸ ταύτης ἀρρήτως ὑπὲρ
ἡμᾶς ὢν[d] ἀεί; | τῶν ἀριδήλων καὶ τοῦτο. κατ' οὐδὲν τοίνυν ἔλαττον καὶ ἡμῖν* 204[1]
*ἀνθεκτέον[e] τῆς τοῦ καλοῦ μετουσίας· ἡ γὰρ ἐκ τοῦ γένους οἰκείωσις ὀρέγει τὴν παρρησίαν,
καὶ τὴν φύσιν οὐχ ὅπως ἀνθισταμένην, ἀλλὰ καὶ συμπράττουσαν ἔχομεν. [11]ὡς ὄφελον
οὕτω καὶ τὸν τρόπον ἔχοιμεν συναιρόμενον· ἂν γὰρ δὴ καὶ τοῦτο προσῇ, θαυμαστή τις
εὐτυχία τὸ πρᾶγμα. καὶ μηκέτι μέλλωμεν ἄνθρωποι, ἀλλὰ τοῖς ἀγγέλοις θαρροῦντες
ἑαυτοὺς ἀναμίξωμεν· οὐ γὰρ κρίσις[f] ἐνταῦθα τῆς ἀξίας τῶν φύσεων, ἀλλὰ θυμηδίας
ἰσομοιρία, μᾶλλον[g] δὲ καὶ τῶν φύσεων ἐντεῦθεν ἰσοτιμία, διὰ τὸν ἐκ τοιαύτης ἡμῖν
ὁμοιωθέντα μητρὸς καὶ τοῖς ἐπουρανίοις ἑνώσαντα θεοπρεπῶς τὰ ἐπίγεια.*

[12]*Τοιγαροῦν ἐπεὶ ταῦτα καὶ τοσούτου θεάματος μεταλαβεῖν ἀξιούμεθα (ἐπὶ τούτῳ[h]
γὰρ καὶ συνεληλύθαμεν), τιμήσωμεν ἁγνῶς τὴν παρθένον, τὴν μητέρα γνησίως, τὴν
νύμφην πολυτελῶς, τὴν δεδοξασμένην ἐνδόξως, ὑπερκοσμίως τὴν ὑπερκόσμιον· καθαροὶ
τὰ καθήκοντα τῇ καθαρᾷ λειτουργήσωμεν, εὐλα|βῶς τῇ δεσποίνῃ, τῇ βασιλίδι* 204[2]
*λαμπρῶς τὰ πρὸς θεραπείαν ἐπιτελέσωμεν. μηδὲν τῶν ἀνάγνων[i] προσφερέσθω τῇ πα-
ναγίᾳ, μηδὲν τῶν κάτω κειμένων τῇ τῶν οὐρανῶν ὑπερτέρᾳ. ἔστω κράτιστα πάντα καὶ
μεγαλοπρεπῆ καὶ φιλότιμα καὶ τηλικαύτῃ πομπῇ καὶ πανηγύρει προσήκοντα. [13]ἐγὼ μὲν
ἐπᾴσω τῇ δεσποίνῃ τὰ προπεμπτήρια[k], ὑμεῖς δὲ ἄλλοθεν ἄλλος ἀκολούθως ἐπευφημεῖτε,
καὶ τὸ πρὸς δύναμιν ἕκαστος παρ' ἑαυτοῦ συνεισφέρων, τὴν ὁσίαν αἰσίως τῆς ἑορτῆς
συμπληροῦτέ[l] μοι. οὐ χεῖρον μέντοι, τὸν λόγον ἀνωτέρω[m] προαγαγεῖν, ἵν' ἀπὸ τοῦ τόκου
τοῦ θείου τιμήσω τὴν θεοτόκον, καὶ καλὴν ἀρχὴν ὑποθῶ καλῷ πράγματι.*

[14]*Ἦν ὅτε κόσμος πρὸς κόσμον ἀλλοτρίως εἶχε καὶ πολεμίως, ὁ ὁρώμενος οὗτος πρὸς
τὸν ἀόρατον, ὁ τῆς φθορᾶς πρὸς τὸν ἄφθαρτον, ὁ ἀπιὼν[n] πρὸς τὸν μένοντα, καὶ τὰ[o]
τοῦ αὐτοῦ κτίστου κτίσματα κακῶς ἐστασίαζεν. ὁ μὲν τὸν οἰκεῖον, ὡς θέμις, ποιητὴν
περιεῖπε, κἀκείνῳ[p] τὴν δόξαν ἀπεδίδου καὶ τὴν τιμήν, ὁ δὲ ῥᾳθυμίᾳ[q] τοῦ ὄντος
| διαμαρτὼν ἀπηνέχθη πρὸς τὰ μὴ ὄντα καὶ τοὺς ἐχθροὺς εὐεργέτας ἀνοήτως* 205[1]
*ὑπέλαβε καὶ ὡς ἀληθείᾳ τῇ πλάνῃ δι' ἀπροσεξίαν κατηκολούθησεν. [15]ἐντεῦθεν τοῦτο
τὸ μέγα τοῦ θεοῦ ποίημα ὀλεθρίων δαιμόνων γίνεται παίγνιον, καὶ τὸ κατ' εἰκόνα
πατεῖται πρὸς ὕβριν τοῦ ἀρχετύπου, καὶ ὁ βραχὺ παρ' ἀγγέλους[r] παρασυνεβλήθη τοῖς
κτήνεσιν. [16]ἐντεῦθεν τὰ σπλάγχνα πάσχει τοῦ ἀπαθοῦς, καὶ τὸ πάθος οἶκτος περὶ
τὸ πλάσμα καὶ φιλανθρωπία περὶ τὸν ἄνθρωπον. ἐντεῦθεν ἡ ἀρχαία[s] βουλὴ καὶ ἀλη-
θινή, καὶ βοηθεῖν ἐδόκει καιρός. καὶ τῆς βοηθείας ὁ τρόπος ὡς ὑπερφυὴς καὶ παρά-
δοξος. [17][t]μετὰ πᾶσαν ἄλλην μηχανὴν ἀπρακτήσασαν αὐτὸς ὁ φέρων[u] τὰ πάντα τῷ*

b *ἔλθωμεν* D | *c* *ἀλλ' ἅ μοι* D | *d* *ὧν* D | *e* *ἀνθεκταῖον* D | *f* *κρίσις* CD, *κτίσις* B | *g* *μᾶλλον* usque ad *ἰσοτιμία* om D | *h* *τούτῳ* B, *τοῦτο* C[2], *τούτω* DC[1] | *i* *ἀνάγνων* CD, *ἀνάγκων* B *k* *προμπτέρια* D | *l* *συμπληροῦτε* CD | *m* *ἀνωτέρωι* C | *n* *τὸν ἄφθαρτον ὁ ἀπιὼν*] *ἀφθαρσίαν ὁ ὁ ποιῶν* (sic) D | *o* *τὰ*] *τὸ* D | *p* *κακείνωι* C | *q* *ῥαθυμίαι* C | *r* Psalm η 6 μη 13 | *s* *ἀρχαία* CD, *ἀρχεία* apogr | *t* C[1] in marg minio *τίς ὁ λόγος τῆς θείας σαρκώσεως*, idem atramento D | *u* Hebr 1, 3

ῥήματι τῆς δυνάμεως τὸν ἀγῶνα τοῦτον ὑπέρχεται, καὶ ὁ θεὸς τῶν ἀνθρώπων διὰ τοὺς
ἀνθρώπους ἐνανθρωπεῖ, καὶ ὁ ταπεινοὺς ὑψῶν ταπεινοῦται καὶ τὴν πρὸς τὸν ἀντίπαλον
πάλην ἐκ τοῦ ἴσου τοῖς πίπτουσιν ἡμῖν ὑποδέχεται. τί γάρ, εἰ καὶ νεύματι μόνῳ τὸν
ἐχθρὸν ἐξ ὕψους ἀνάλωσεν, ἐν ἀσφαλεῖ καθεστὼς ἐπὶ τῆς οἰκείας περι|ωπῆς 205[2]
καὶ μηδένα πόνον ἢ κίνδυνον περὶ τὴν συμπλοκὴν ὑποστάς; τί δὲ μέγα δραπέτην
πονηρὸν καὶ ἀγνώμονα ὑπὸ θεοῦ χειρωθῆναι, καὶ ἀναχθῆναι[v] κάκιστον δοῦλον παρὰ
δεσπότου δυνατοῦ δέσμιον; τοῦτο μὲν οὖν ῥᾴδιον μᾶλλον ἢ παράδοξον ἦν, καὶ τῆς
θείας πλέον ἰσχύος ἢ φιλανθρωπίας κατόρθωμα. [18]ὁ δὲ τῆς ἰδίας ὥσπερ ἀξίας τὴν
ἐμὴν προθεὶς εὐδοξίαν (ὢ βάθος εὐσπλαγχνίας θεοῦ, ὢ χρηστότητος πέλαγος), ἐμὲ
μορφοῦται τὸν χοϊκόν, ἵνα τὸ ἐμὸν ἀσθενὲς τῆς ἑαυτοῦ πληρώσας δυνάμεως, δι' αὐτοῦ[w]
καταβάλοι τὸν ἰσχυρὸν[x] καὶ τῇ τὴν ἧτταν εἰς φύσιν[y] ἐξ ἔθους δεξαμένῃ σαρκὶ παραδοὺς
ἀνέλπιστον νίκην ποιήσοι[z] τὸ τρόπαιον ταύτης μᾶλλον ἢ ἑαυτοῦ, καὶ οὕτως ἀφελὼν
τὸ μεσότοιχον[a] καὶ καταργήσας ἐν ἐκείνῃ τὴν ἔχθραν, συνάψοι τὰ διεστῶτα καὶ πρὸς
μίαν ὁμόνοιαν ἁρμόσσοι τὸ πᾶν. οὗτος ὁ λόγος τῆς τοῦ λόγου παχύτητος, τοῦτο τῆς
μεγάλης κενώσεως τοῦ θεοῦ τὸ μυστήριον. [19]ἐπεὶ δὲ τῇ θείᾳ σαρκώσει θείας ἔδει
γεννήσεως, καὶ τοιαύτῃ γεννήσει καὶ τοιαύτης μητρός, ἐνταῦθα | τὸ μέγα[b] τοῦ 206[1]
καθ' ἡμᾶς τοῦδε γένους δῶρον καὶ καρποφόρημα, ἡ κοινὴ φιλοτιμία τῆς φύσεως, τὸ ἐν
ἀνθρώποις ἐξαίρετον, τῶν ἐν κόσμῳ τὸ κάλλιστον, ἡ τηνικαῦτα μὲν κόρη καθαρὰ καὶ
ἀνέπαφος, μετὰ ταῦτα[c] δὲ καὶ γυνὴ καθαρωτέρα πολλῷ, καὶ τὴν ἁγνείαν τόκῳ[d] μεθ'
ὑπερβολῆς ἁγιάσασα· οὐ κατὰ μητέρας γὰρ μήτηρ ἡ τοῦ πατρὸς πάντων μήτηρ, οὐδὲ
κατὰ παρθένους παρθένος ἡ τὸν ἁγιασμὸν τετοκυῖα, ἀλλ' ἀμιγὲς μὲν οὐδέτερον, ἀκριβὲς
δὲ ἑκάτερον, μᾶλλον δὲ καὶ ἀμφότερα πολὺ καθ' ὑπεροχήν· παρθένος μέν, ἀλλ' οὐκ
ἄκαρπος οὐδὲ ταῖς[e] μητράσι δοθείσης[f] εὐλογίας ἐπιδεής. [20]τὸ δ' ἔτι[g] καινότερον, ὅτι
οὐκ ἄλλον ἡμῖν, ἀλλ' αὐτὸν τοῦτον τίκτει τὸν ταῖς τικτούσαις τὸ τίκτειν ἐπ' εὐλογίαις
δωρούμενον· πρῶτος γὰρ αὐτὸς μετὰ τῆς τοῦ χαίρειν προσρήσεως τὴν ἁγίαν μήτραν
εἰσδὺς καὶ λύσας ἑτοίμως τῇ πρὸς τὴν μητέρα χαρᾷ τὴν εἰς τοὺς προγόνους ἀράν, εὐλο-
γημένην[h] τε[i] προσειπὼν τῇ τοῦ ἀγγέλου φωνῇ καὶ κεχαριτωμένην[k] καλέσας τὴν καὶ
προϋπάρχουσαν[l] ταῦτα καὶ παρα|χρῆμα πλέον ὑπάρξουσαν, ἀπ' αὐτῆς αὐτίκα καὶ 206[2]
δι' αὐτῆς ὁλοκλήρῳ τῷ γένει τὴν εὐλογίαν διέδωκε. μήτηρ μέν, ἀλλ' ἀκήρατος καὶ γα-
μικῶν νόμων κρείττων καὶ τῶν ἀναγκαίων ταῖς ἄλλαις εἰς κυοφορίαν ἐπέκεινα. καὶ
θαυμαστοῖ τὴν τεκοῦσαν ὁ γεννηθεὶς τῇ καινῇ μίξει ταύτῃ τῶν ἐναντίων, καὶ μαρτυρεῖ
τῷ τεχθέντι τὸ περὶ τὰς φύσεις διπλοῦν δι' ἑαυτῆς ἡ[m] γεννήσασα. [21]ὃ[n] μὲν γὰρ ἦν
ἀπ' ἀρχῆς, εἶτα γέγονε· καὶ προσλαβὼν ὃ οὐκ ἦν, καὶ ὅπερ ἦν συντηρεῖ, καὶ μένει
πάλιν οὐχ ἧττον ὢν θεὸς προαιώνιος καὶ ὁ[o] νεόκτιστος ἄνθρωπος, ὅλος τοῦτο κἀκεῖνο[p],
φύσει κατ' ἄμφω, καθ' ἑκάτερον τέλειος, ἡνωμένος μὲν ἀσυγχύτως[q] εἰς ὑπόστασιν μίαν,
διῃρημένος δὲ τοῖς θελήμασι καὶ ταῖς τῶν φύσεων ἰδιότησιν. ἐχρῆν γὰρ αὐτὸν τῶν
θαυμασίων ὄντα θεόν, θαυμαστὰ πανταχοῦ τὰ ἑαυτοῦ ποιεῖν πράγματα, καὶ μὴ μόνον

v ἀπαχθῆναι CD, ἀναχθῆναι B | w αὐτοῦ D | x Matth 12, 29 | y εἰς φύσιν om D | z ποιήσει D | a Ephes 2, 14 | b τὸ μέγα om D | c μεταταῦτα C | d τόκωι CD, τῷ apographum | e ταῖς B, τῆς C, τοῖς D | f δοθησης D | g τὸ δέ τι D | h Luc 1, 28 | i τὲ CD | k κεχαριτωμένη D | l καὶ προϋπάρχουσαν] προ καὶ ὑπάρχουσαν D | m ἡ om D | n Ὁ CD, Ὃ B | o ὁ omisit C | p κακεῖνο C | q ἀσυγχήτως C

ἁπλῶς ἢ τῇ συμφωνίᾳ δεικνύντα τὸ ἐναρμόνιον ἢ τῷ διαφόρῳ πρὸς τὸ καινὸν ἐξαλ-
λάττοντα, ἀλλὰ καὶ πρὸς ἑαυτὰ ξενοτρόπως ἀντί|θετα καὶ ἀντίστροφα. [22] διὰ 207[1]
τοῦτο [r] διπλοῦς καὶ τὴν γέννησιν, διπλοῦς καὶ τὴν φύσιν, τὸ μὲν ἐν ἀμφοῖν ὑπερκόσμιον
καὶ ὑπέρχρονον, τὸ δὲ κατὰ κόσμον καὶ περὶ χρόνον. τοῦτο μὲν τὸ ἀκόλουθον, ἀμήτωρ
τὸ πάλαι· τίς γὰρ μήτηρ ἐκεῖ τοῦ τοὺς αἰῶνας γεννήσαντος; ἀπάτωρ τὸ νῦν· ποῦ γὰρ
κάτω πατὴρ τοῦ τὸν [s] μόνον ἔχοντος ἄνωθεν; τίς δ' ἀνὴρ τῆς ἀχράντου καὶ παναμώμου
ὁ παρ' ἑαυτοῦ συντελέσας τι πρὸς τὴν ἄρρητον γέννησιν; σὺ δ' ἐντεῦθεν ἐκδέχου τὸ
ἀντιστρέφον [t]· μόνος οὖν ἀμήτωρ ὁ καὶ ἀπάτωρ· μόνος δ' αὖ ἀπάτωρ ὁ καὶ ἀμήτωρ·
τῆς αὐτῆς γὰρ ἄμφω δυνάμεως, μᾶλλον δὲ ὁ αὐτὸς καὶ ἀμφότερα. [23] ἐκεῖ θεος εἷς,
ἀλλ' οὐχ ἓν ἁπλῶς — ὡς καὶ τρία, καὶ τὰ τρία δ' οὖν ἕν, ἐπειδήπερ εἷς πάλιν· πατήρ,
καὶ υἱὸς (ἡ τριὰς ἡ μακαρία) καὶ πνεῦμα· υἱὸς ἄναρχος ἐξ ἀνάρχου πατρὸς ὁ νῦν ὑπ'
ἀρχὴν ἀπὸ μητρὸς τοιαύτης γενόμενος. μία φύσις τὸ πᾶν, μία βούλησις, κίνησις, ἐνέργεια,
δύναμις, οὐσία, θεότης, τὸ συνεκτικώτατον ἁπάντων καὶ κυριώτατον· τἆλλα μὲν τὸ [u] καθ'
ὅλου μοναδική τις ἁπλό|της καὶ ἑνιαία [v], τρισσουμένη δὲ μόνον ταῖς ὑποστάσεσι 207[2]
καὶ τοῖς ἐπ' αὐταῖς [w] ἰδιώμασιν. εἷς κἀνταῦθα θεός· ἄχρι τούτου καὶ μόνον ἡ ὁμοιότης·
τὸ δ' ἑξῆς ὅρα δὴ παραλλάττον πως ὁμοῦ καὶ ἀντανακλώμενον· οὐ γὰρ ἁπλοῦς ἔτι νῦν —
ὡς καὶ [x] ἄνθρωπος· τὴν οὖν φύσιν διπλοῦς, ἀλλὰ τὴν ὑπόστασιν εἷς· ὅπερ ἔμπαλιν πάλιν
πρὸς τὸ ἐκεῖ. οὕτω κρείττοσι λόγοις ἡ κρείττων οἰκονομία — τὸ μὴ διαφέρον ἅμα καὶ
διαφέρον — πρὸς τὸν ἄνω φέρεται τρόπον, ἵνα καὶ τὸ ἄτρεπτον δείξῃ καὶ γνωρίσῃ τὸ
πρόσλημμα, ἔτι δὲ τῆς ὅλης θεότητος τὸ περὶ τὰ πρόσωπα πλούσιον — εἰς ἓν αὐτῇ στε-
νωθέν — ἀναπληρώσῃ πανσόφως τῇ συνθέσει τῶν φύσεων. [24] ἀλλὰ τί μοι τούτων νυνί;
τοῖς τοίνυν τοῦ υἱοῦ τοῦ θεοῦ καὶ τοῦ υἱοῦ καὶ θεοῦ καὶ τὰ περὶ τὴν τεκοῦσαν ἑπόμενα.
καθ' ὃ μὲν ἐκεῖνος ἄνθρωπος ὕστερον, καὶ μήτηρ ἡ ἐνεγκοῦσα, καθ' ὃ δὲ καὶ θεός,
οὐδὲν ἧττον καὶ παρθένος, οὐχ ἧττον [y] καὶ μετὰ γέννησιν κἀκείνη [z]. τὸ μὲν τῆς πλη-
ρώσεως, τὸ δὲ τῆς κενώσεως, καὶ τὸ μὲν ὡς μόνου [a] θεοῦ θεῖον ὅλον, τὸ δὲ ὡς καὶ
ἀνθρώπου [b] | ἀνθρώπινον. τούτου τί συμφωνότερον ἢ θεῷ πρεπωδέστερον ἢ 208[1]
μητρὶ χαριέστερον; [25] πλὴν ὁ μὲν τοῦτο δεύτερον τὴν ὑπὲρ ἡμᾶς τε καὶ καθ' ἡμᾶς
γέννησιν ταύτην γεννηθεὶς ἀπὸ μητρὸς ἀξίας ἦν ὑποτασσόμενος τοῖς γονεῦσι κατὰ τὸ
λόγιον [c], δῆλον δ' ὅτι γονεῦσι, τῇ μὲν κατὰ φύσιν καὶ [d] ὑπὲρ φύσιν, τῷ δὲ κατά τινα
σχέσιν εἴτ' οὖν [e] θέσιν (εἰ βούλει) καὶ πρὸς φύσιν οὐδέν [f]. ὡς γὰρ ἀνὴρ ὁ μνηστὴρ καὶ
τοῦ τεχθέντος πατήρ. γονεῖς τοίνυν ὁμῶς, εἰ καὶ μὴ [g] ὁμοίως ἀμφότεροι· ὑφ' ὧν καὶ
λαμβάνει τὸ σωτήριον ὄνομα τὸ χρηματισθὲν [h] αὐτοῖς ὑπὸ τοῦ ἀγγέλου καὶ πρὸ συλ-
λήψεως, καὶ ὡς πρωτότοκον ἅγιον κυρίῳ προσάγεται. βαβαῖ [i] καρποφορίας ὑπερφυοῦς.
θεὸς θεῷ δῶρον, καὶ υἱὸς πατρὶ δίδοται μεγαλοπρεπέστατον δώρων [k] ἁπάντων καὶ
γνησιώτατον. ὑφ' ὧν ὁ πάντα πληρῶν καὶ εἰς Αἴγυπτον φυγαδεύεται, καὶ ἐξ Αἰγύπτου
κληθεὶς ἀνακομίζεται πάλιν, καὶ μετ' ὀλίγον ζητεῖται προσεδρεύων τῷ ἱερῷ, πρὸς οὓς
εἰς καιρὸν καὶ παρρησιάζεται ἐν τοῖς τοῦ ὄντως ὄντος [l] δεῖν λέγων εἶναι τὸ πλέον, οὐκ

r διατοῦτο C | s τοῦ τὸν CD, τοῦτον B | t ἀντιστρέφων D | u τὰ D | v ἑνιαῖα D | w ταῖς ὑπ' αὐταῖς D | x καὶ om D | y κἀκείνη add C | z κἀκείνη hoc loco omisit C | a μόνως C, μόνου BD | b ἀνθρώπων D | c Ephes 6, 1 Coloss 3, 20 Luc 2, 51 | d καὶ BD, κἂν C | e εἴτουν CD | f C[1] in marg minio ὡραῖον | g μὴ om D | h Luc 2, 21 | i βαβαῖ C, βαβαὶ apographum | k δώρων C, δῶρον apographum | l ὄντως BD, ὄντος C, ὄντως ὄντος Lagarde Luc 2, 49

ἐν τοῖς τοῦ δο|κοῦντος πατρός. ἢ καὶ χαρίζεται τὴν παρὰ τῷ γάμῳ θαυματουργίαν, 208[2]
λόγῳ μόνῳ τὸ ὕδωρ εἰς οἶνον ἐκβιασάμενος, ἔκ τε τῆς ἄχρις ἐντελοῦς ἡλικίας περὶ τοὺς[m]
πατέρας ὑποταγῆς καὶ τοῦ τὴν ἀρχὴν τῶν σημείων ἐκείνοις προσαναθεῖναι[n] νομοθετῶν[o]
ἡμῖν ἄντικρυς τὴν εἰς τοὺς τεκόντας τιμήν. [26] ἀλλὰ Χριστὸς μὲν ἐντεῦθεν τῶν θαυ-
μάτων ἀρξάμενος, περὶ τὴν τοῦ κόσμου σωτηρίαν ἀπασχολεῖται, καὶ τὴν βασιλείαν
κηρύσσει τῶν οὐρανῶν, καὶ ταῖς εἰς τοῦτο φερούσαις ἐνεργείαις[p] καὶ πράξεσιν ἑαυτὸν
ἐπιδίδωσιν, ἕως τὸ ἔργον τοῦ ἀληθινοῦ πατρὸς ἐτελείωσε, καὶ τῷ σταυρῷ δοξασθείς,
πρὸς ἀξίαν κἀκεῖνον[q] ἑαυτῷ[r] ξυνεδόξασεν[s]. ὅτε πάλιν εὑρίσκει τὴν μητέρα πλησίον, καὶ
τῇ μακρόθεν αὐτῇ προμηνυθείσῃ[t] ῥομφαίᾳ δεινῶς τὴν καρδίαν σπαρασσομένην ἰδὼν —
καὶ τί γὰρ ἡ μήτηρ ἐπὶ ξένῳ πάθει μονογενοῦς[u]; — παραμυθεῖται καὶ προνοεῖ, καὶ
παρθένον παρθένῳ μαθητῇ παρατίθησιν, ἀνθ᾽ ἑαυτοῦ τὸν στεργόμενον εἰσποιήσας τῇ
στεργομένῃ, καὶ τοῦτον τὸν τρόπον, ὡς ἱλαρῶς τε διά|ξοι τὸν λοιπὸν βίον καὶ 209[1]
τὴν μόνωσιν ταύτην ὑπενέγκοι ῥᾷον, οἰκονομήσας. [27] οὐ μὴν ἀλλὰ καὶ θρηνεῖ τὸν
ἑαυτῆς[v] ὡς νεκρὸν ἡ θεόπαις[w] καὶ μυρίζει, καὶ τὸν ἐπιτάφιον νόμον, ὡς εἶχε, σὺν ταῖς
ἄλλαις ἐκπληροῖ γυναιξίν. εἶτα παρ᾽ αὐτίκα καὶ βλέπει τὸ καλὸν ἐκεῖνο καὶ μέγα καὶ
γλυκὺ θέαμα — Χριστὸν τὸν ἄρτι ταφέντα (ὢ τῆς θεϊκῆς ἐξουσίας· ὢ τῆς δυνάμεως)
ζῶντα πάλιν εἰς τρίτην — καὶ γνωρίζει τὸν φίλτατον, καὶ περιχεῖται τῷ ποθουμένῳ, αἰδοῖ
τε καὶ φόβῳ καὶ πόθῳ μεριζομένη, καὶ τῇ χαρᾷ περιγάννυται, τὰ παρόντα τε[x] μετ᾽
ἐκπλήξεως ὁρῶσα πολλῆς, καὶ τὰ προλαβόντα συμβάλλουσα[y] ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ
θαυμαστήν τινα πάσχουσα[z] πρὸς πάντα τὴν ἡδονήν. μεταξύ τι βραχὺ καὶ πρὸς οὐρανοὺς
ἐν νεφέλαις ἐπαρθέντα ὁρᾷ, καὶ τῆς ἀγγελικῆς ὁμιλίας[a] καὶ παρηγορίας[b] ἀκούει,
εὐαγγελιζομένης καὶ πάλιν τοῦ ἀπιόντος τὴν ἔλευσιν. [28] ἀλλ᾽ οὐδὲν ἄρα ταῦτα μητρικῷ
πόθῳ κάμνοντι καὶ παιδὸς ἐκδημίαν ὅσον πρὸς τὸ φαινόμενον (ἀλλὰ παιδὸς πῶς ἂν
εἴποι|μι θεοπρεπῶς καὶ ἀξίως παιδὸς ἡλίκου καὶ τίνος;) φέρειν οὐκ ἔχοντι. διὰ 209[2]
τοῦτο[c] ζητεῖ τὴν πρὸς αὐτὸν ἄφιξιν[d], καὶ παρ᾽ αὐτοῦ λαμβάνει καὶ τοῦτο (προθύμως
διδόντος[e]) φιλοφρόνως, ὡς εἴωθεν. ἀπόδειξις αὐτάρκης τοῦ λόγου ἡ μετ᾽ ὀλίγον ἐν-
τεῦθεν τῆς ἀθανάτου μετάθεσις, ἣν πανηγυρίζομεν σήμερον, κλητὴν ἁγίαν ἡμέραν τὴν
ἡμέραν ἄγοντες ταύτην, καὶ μετὰ τοσαύτης[f] αὐτὴν ὑποδεχόμενοι τῆς τιμῆς. [29] καλὰ μὲν
γὰρ ἤδη καὶ τἄλλα, καὶ καλῶν κάλλιστα τὰ τῆς θεομήτορος θαύματα. τίνα ταῦτά φημι;
τὰ πρὸ τοῦ[g] τόκου παράδοξα, τὰ ἐν τόκῳ, τὰ μετὰ[h] τόκον, τὴν ἄσπορον σύλληψιν,
τὴν ἄλυπον κύησιν, τὴν ἄφθορον γέννησιν, τὴν ὄψιν ἐκείνην τοῦ ἀγγέλου τὴν φοβεράν,
τὴν φωνην ἐκείνην τὴν θείαν καὶ λαμπρὰν καὶ[i] χαρμόσυνον, τὰ Ἰωάννου τοῦ πάνυ
θαυμαστὸν[k] σκίρτημα[l], τιμῶντος ἐγγάστρια τὸν ἔτι κατὰ γαστέρα, τὴν Ἐλισάβετ ἐπί-
γνωσιν τῆς τοῦ τιμηθέντος ἀξίας καὶ τὴν ἀξίαν περὶ τὴν κύουσαν[m] εὐλάβειαν καὶ
ἀνάρρησιν[n], τοὺς ἀγγέλους μετὰ βραχύ, | τοὺς ποιμένας, τοὺς μάγους, τοὺς ὕπαρ 210[1]
τοὺς ὄναρ, τοὺς ἐν ἐκστάσει χρηματισμούς, τὴν Συμεὼν προφητείαν, τὴν Ἄννης ἀνθο-

m τοὺς] τοῦ D | *n* προσαναθῆναι D | *o* νομοθετῶν CD, νομοθετῷ B | *p* ἐνεργείαις C, ἐνεργίαις apographum | *q* κακεῖνον CD | *r* ἑαυτόν D | *s* συνεδόξασεν CD | *t* προσμηνυθήσει D Luc 2, 35 | *u* μονογεννοῦς D | *v* ἡ θεόπαις add C | *w* hic omittit C | *x* τὲ CD | *y* συμβαλοῦσα D | *z* πάσχουσαν D | *a* ὁμηλίας D | *b* παροιγορίας D | *c* διατοῦτο CD | *d* ἄφηξιν D | *e* διδόντως D | *f* τοσούτης D | *g* τοῦ om C in versus fine | *h* τὰ μετὰ] μετὰ D | *i* θείαν καὶ λαμπρὰν καὶ] λαμπρὰν καὶ θείαν D | *k* θαυμαστὰ σκιρτήματα D | *l* Luc 1, 41 | *m* κυοῦσαν apogr | *n* ἀνάρρησιν C, ἀνάρρυσιν D, ἀνάῤῥυτον apographum

*μολόγησιν· πρὸς δὲ τούτοις ἢ καὶ πρὸ τούτων τὰ ταύτης αὐτῆς ὥσπερ ἴδια[o] — ὡς εὐχῆς
δῶρον ἄνωθεν τοῖς ἱεροῖς ἐδόθη πατράσιν, ὡς μητρικὴν παραδόξως ἀγονίαν διέλυσεν
(ἔδει γάρ, ἔδει προδραμεῖν θαῦμα θαύματος, καὶ καρπὸν νεκρᾶς μήτρας παρθενίας τόκον
πιστώσασθαι), ὡς εὐθὺς δοτὸν δῶρον ἀντεδόθη πάλιν τῷ δεδωκότι[p], ὡς χερσὶν ἱερέων
τῷ ἱερῷ προσαχθεῖσα[q], τὴν ὑπὲρ πᾶσαν πίστιν ἀνήχθη παρὰ τοῖς ἁγίοις ἀδύτοις ἀνα-
γωγήν, τὸν ἀπ' οὐρανοῦ ξένον ἄρτον, τὴν ἀγγέλων τροφὴν[r] ἐκεῖ δεχομένη, τἄλλα[s], οἷς
καλῶς αὕτη πόρρωθεν ἁγνιζομένη θεῷ πρὸς ὑποδοχὴν ηὐτρεπίζετο τῆς θείας ἁγιωσύνης,
ὧν οὐδὲν ἀπεικὸς ἐπὶ μυστηρίῳ τοσούτῳ, κἂν πολὺν ἔστιν ἃ τὸν παράλογον ἐν τῷ
ὑπερβάλλοντι φέρῃ[t]. 30 πόσαι μοι καθ' ἕκαστον τούτων πανηγύρεις καὶ τελεταί, ὧν
κεφάλαιον[u] ἓν ὑπερφυές τε καὶ μέγιστον, θεοῦ ἐνανθρώπησις ἐπὶ τῷ τὸν | ἄν-* 210[2]
*θρωπον θεωθῆναι, καὶ τούτων ἑκάστην μετὰ τοῦ ἰδίου καιροῦ τε καὶ μυστηρίου δεχό-
μεθα καὶ προπέμπομεν ὥσπερ ὥρας ἄλλας εὐτάκτους ὑπαπιούσας ἀλλήλαις ἐν κόσμῳ
καὶ ἐπιούσας καὶ τὴν ἑαυτῶν ἡμῖν χάριν ἐκ διαδοχῆς φιλοτιμουμένας. 31 τὰ δὲ νῦν
ἡ σφραγὶς ἐκείνων πασῶν καὶ βεβαία συμπλήρωσις ἡ ἐσχάτη καὶ πρώτη καὶ μεγίστη
τῶν ἑορτῶν, χρόνῳ μὲν ἐσχάτη καὶ τάξει, τἄλλα[v] δὲ δυνάμει καὶ ἀξιώματι.*

*32 Πάλλεταί μοι τὸ πνεῦμα πρὸς τὰ παρόντα, καὶ ἡ καρδία σκιρτᾷ, καὶ περισκοπεῖ
τινὰς λόγους ὁ λογισμὸς[w] ὑψηλοὺς[x] καὶ ἀξίους τῆς μεγαλοπρεπείας τοῦ θαύματος.
ἀπαίρει πρὸς οὐρανοὺς ὁ λογικὸς οὐρανός[y]· ὁ ἔμψυχος θρόνος τοῦ θεοῦ μετατίθεται·
ὑψοῦται τῆς δόξης ἡ κιβωτός· ἡ πηγὴ τοῦ φωτὸς μεταχωρεῖ πρὸς τὸ φῶς· ὁ τῆς ζωῆς
θησαυρὸς μεταβαίνει πρὸς τὴν ζωήν. 33 καὶ τὰ συντρέχοντα θαύματα περὶ τὴν ἐκδημίαν
ἡλίκα; Χριστὸς αὐτὸς ἄνωθεν ἐνταῦθα προσυπαντᾷ, τὰς αὐτῷ καὶ φίλας καὶ δούλας[z]
δυνάμεις συνεπαγόμενος ἐν | κύκλῳ δορυφορούσας[a], καὶ τὴν ἀγκαλισαμένην[b]* 211[1]
*πολλάκις φιλοστόργως[c] εὖ μάλα καὶ γνησίως ἀνταγκαλίζεται, καὶ γίνεται πλοκὴ θαυμαστὴ
καὶ συμφωνία τοῦ πράγματος. ὁ δεσπότης ἄγει τὴν δέσποιναν, ὁ βασιλεὺς τὴν βασί-
λισσαν, ὁ νυμφίος τὴν νύμφην[d], ὁ υἱὸς τὴν μητέρα, τὴν παρθένον ὁ καθαρός, τὴν
ἁγίαν ὁ ἅγιος, ὁ πάντων ἐπέκεινα τὴν πάντων ὑψηλοτέραν· καὶ δέχεται ψυχὴν ὁ οὐρα-
νὸς ἑαυτοῦ πλατυτέραν, καὶ προπέμπουσιν ἄγγελοι τὴν ἀγγέλων ἐνδοξοτέραν, καὶ συν-
τρέχουσιν ἄνθρωποι, καὶ πονοῦσιν ἀπόστολοι[e] ἄλλος ἄλλοθεν ἄρτι συνεκφανέντες ἀθρόον,
καὶ (ἵν' οἰκειότερον εἴπω τι) ἐξ ἀέρος (οὐκ οἶδ' ὅθεν) ἐπιβραχέντες[f] τῇ γῇ. 34 ὢ καινῆς
ἐπομβρίας· ὢ πτηνῶν ὁδοιπόρων· ὢ πεζῶν ἀερίων. τίνες οἵδε; ὡς νεφέλαι πέτανται —
καλῶς Ἡσαΐας[g] μεθ' ἡμῶν ἀπορεῖ. τίς ὁ λόγος τῆς οὕτω παραδόξου καινοτομίας;
πόθεν ἐκ νεφῶν ἡμῖν ἄνθρωποι; πῶς ἐπίγειον στράτευμα τοσοῦτον ἐξ οὐρανοῦ; οὐ γὰρ
εἷς ὧδε μόνον Ἠλίας[h] αἰθεροδρόμος, οὐχ εἷς Ἀββακοὺμ[i] ἐπὶ νεφέλης μετάρσιος, οὐδὲ
Παῦλος μόνος ἐκ γῆς πρὸς οὐρανὸν | τρίτον, ἀλλ' οὐρανόθεν εἰς γῆν μετὰ* 211[2]
πολλῶν ἄλλων πάρεστι· μυστηρίῳ γὰρ μείζονι καὶ πλειόνων ἔδει τῶν λειτουργῶν.

o *ἰδία* D | *p* *δεδοκότι* D | *q* *προσαχθῆσαν* D | *r* Psalm *οζ* 25 | *s* *τ' ἄλλα* C | *t* *φέρῃ* C, *φερει* B | *u* *κε-
φάλαιον* CD, *κεφάλειον* apogr | *v* *τ' ἄλλα* C | *w* *ὁ λογισμὸς* C, *λογισμοῖς* BD | *x* *ὑψηλοῖς* D | *y* *ὁ λογικος
οὐρανός* C, > apographum | *z* *καὶ δούλας* om D | *a* *δωρυφορούσας* D | *b* *ἀγγαλισαμένην* D | *c* *φιλό-
στοργος* B, *φιλοστόργως* C, *φιλοστόργος* D | *d* *νύμφην* CD, *νύμφιν* apographum | *e* C[1] minio in marg
περὶ τῆς μετεωροπορίας τῶν ἀποστόλων, idem atramento D | *f* *ἐπὶ βραχύντες* D | *g* Isaias 60, 8 | *h* *ἠλίας*
C | *i* *ἀμβακοὺμ* C, *ἀβακοὺμ* D

35 ἡ[k] μὲν οὖν, χερσὶ δεσποτικαῖς καὶ γνησίαις ἑαυτὴν ἡδέως πιστεύσασα, τῷ βασιλικῷ[l]
προσάγεται θρόνῳ ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη κατὰ τὴν ἐπ'
αὐτῇ παλαιὰν συγγενικὴν προφητείαν[m], καὶ τὴν ἑαυτῆς βασιλείαν τε καὶ δόξαν παρα-
λαμβάνει ἐκ δεξιῶν ἡ βασίλισσα παραστᾶσα τοῦ βασιλέως ἐπὶ κοινωνίᾳ τῆς ἴσης ἀιδίου
μακαριότητος. [n]οἱ δὲ ταφῆς μνημονεύουσι, καὶ περὶ τὸ ἄχραντον σῶμα καὶ θεοδόχον
φιλοπονοῦσι. 36 φεῦ δεινῆς ὕβρεως· καὶ πῶς γὰρ οὐκ ἄξιον τὸ πρᾶγμα σχετλιασμοῦ;
φεῦ ζημίας[o] οὐ φορητῆς, εἰ θάνατος εἶλε[p] τὴν ἀπαρχὴν τῆς ζωῆς, καὶ τάφος κατέσχε
τὴν τοὺς τάφους κενώσασαν τῷ τόκῳ τῷ ζωηφόρῳ. ἀλλ' εὐλαβείσθω μηδείς, μηδ'[q] ἀγω-
νιάτω τὸν κίνδυνον· ἐπὶ καινοῖς γὰρ καινά, καὶ τοῖς ἀεὶ παραδόξοις ἐπισυμβαίνει
παράδοξα· οὐ γὰρ ἤνεγκεν ἡ γῆ[r] τὸ οὐράνιον, οὐ|δ' ἡ[s] φθορὰ τὸ ἀκήρατον· 212[1]
ἔνθεν τοι[t] κἀκεῖνο[u] ταχὺ τὴν αὐτὴν ἀπαίρει[v] κατόπιν, καὶ ψυχὴν ὅλως ἄμωμον ὅλως
ἄφθαρτον σῶμα μεταδιώκει ὑπὸ δορυφόρων τοιούτων μετὰ τῆς ἴσης τιμῆς πρὸς τὴν
αὐτὴν ἐκείνῃ[w] κατάπαυσιν καὶ λῆξιν φερόμενον. τέως δ' οὖν ὡς νεκρὸν νόμῳ φύσεως
πρὸς τάφον ἀπάγεται, ἀποστολικαῖς τε χερσὶν[x] καὶ[y] ἱερατικαῖς ἀνυψούμενον καὶ γλώσσαις
καὶ στόμασιν ὁσίοις κατευφημούμενον.

37 [z]Πόθεν οὖν ἐνταῦθα σύ, βέβηλε[a], μεταξὺ τῶν ἁγίων, ἵνα καὶ πρὸς σὲ κατὰ
πάρεργον ἐπιστραφῶ τι βραχύ; πῶς ἐπὶ[b] τοσοῦτον ἐξέστης τῶν σαυτοῦ λογισμῶν, ὡς
ἀνάγνοις μὲν ὄμμασιν, ἀνάγνοις δὲ καὶ χερσὶ τῶν ἀψαύστων τούτων καταιολμῆσαι, καὶ
πειραθῆναι τὸ φρικωδέστατον — εἰς τὰ ἀνύβριστα ἐξυβρίσαι; οὐ γὰρ ἔχεις ἀκούειν, κἂν[c]
οὐδὲν ἕτερον, ἐν τοῖς προγόνοις[d] τοῖς σοῖς οἷα πέπονθεν Ὀζὰ[e] διὰ τὴν προπέτειαν, καί-
τοι[f] τύπος ἐκεῖνα[g] τῶν δρωμένων; καὶ κιβωτὸς χειρῶν ἔργον τὸ ἐκεῖ κομιζόμενον, καὶ
σαφῶς ἐπὶ σωτηρίᾳ τῶν ἁγίων ἡ πρόψαυ|σις, θάνατος μέντοι τὰ τῆς ὑπουργίας[h] 212[2]
ἐπίχειρα· καθαροῦ γὰρ δέον προσάπτεσθαι μηδ' ἐπὶ τιμῇ[i] τὸν μὴ καθαρόν, ὅτι τὸ καλὸν
οὐ καλόν, εἰ μὴ καλῶς (φασί[k]) γίνοιτο. 38 αὐτὴ δέ σοι νῦν ἡ τῶν πραγμάτων ἀλήθεια.
τὸ γὰρ προπεμπόμενον[l] τοῦτο, ἡ ἀκατάλυτος αὕτη σκηνὴ καὶ ἀχειροποίητος[m], οὐ λι-
θίνας[n] πλάκας ἐντὸς[o] οὐδὲ ῥάβδον[p] φέρει θαυματουργόν, ἀλλ' ὃ πολλῷ[q] μεῖζον, αὐτοῦ
τοῦ καὶ δόντος ἐκεῖνα καὶ θαυμασιώσαντος τέμενός ἐστιν ἅγιον, ὃν οὐδ' ὄρος[r] δύναται
στέγειν καταβάντα τι μικρὸν ἐπ' αὐτό, ἀλλ' ἁπτομένου μόνον καπνίζεται[s], οὗ[t] σαλπίγγων
φωναὶ[u] φοβερὸν ἠχοῦσαι καὶ μέγα, καὶ[v] λαμπάδες[w] καιόμεναι πυρὶ φλογερῷ, ἀστραπαί
τε διάττουσαι καὶ γνόφος φρικώδης καὶ βολίδες καὶ λίθοι καὶ τοιαῦτα δείματα[x] πλεῖστα
μακρὰν καὶ τοὺς ἤδη καθηγνισμένους ἀπάγουσι. πῶς οὖν, ἄναγνε, σὺ τοῖς ἀπροσίτοις
ὑπέμεινας ἐπενεγκεῖν ὑβρίστριαν χεῖρα, καὶ τὸ μέγα τοῦτο ἤλπισας[y] ἔργον, τὸν ἀσάλευτον
θρόνον τοῦ βασιλέως τῆς δόξης, ἐπ' ἀτιμίᾳ σαλεῦσαι καὶ περιτρέψαι; τίς ὢν τὴν
| δύναμιν ἢ τίνα τοῦ μίσους[z] ἐπαγόμενος πρόφασιν τῆς ἀπονοίας, ὁπότε καὶ 213[1]

k κα^θ add C[1] in marg minio | *l* βασιλικῷ superscripto ει super ι altero D | *m* Psalm μδ 10 | *n* C[1] in marg minio περὶ τῆς τοῦ σώματος μεταθέσεως. idem D atramento | *o* ζημίας superscripto ει super ι D | *p* εἶλι C, εἶχε BD | *q* μὴδ' C | *r* γῆι C | *s* οὐδ' ὁ D | *t* ἔνθέν τι D | *u* κακεῖνο C | *v* ἐπαίρει D | *w* ἐκείνηι C, ἐκήνην D, ἐκείνη apographum | *x* χερσὶ C | *y* καὶ om D | *z* C[1] in marg minio περὶ τῆς ἐπιβουλῆς τοῦ ἑβραίου, D in marg περὶ τῆς τόλμης τοῦ ἑβραίου | *a* βέβυλε D | *b* ἐπι C | *c* κἂν C | *d* Regn β 6, 7 | *e* ὀζᾶν D | *f* καὶ τί B, καίτοι C, καί τι D | *g* ἐκεῖνος B | *h* ὑπουργείας D | *i* μηδ' ἐπὶ τιμῆι C, μηδὲ πιτιμὴ D, μηδ' ἐπιτιμῇ B | *k* φασι CD | *l* προπεμπόμενον CD, προπεμπτόμενον B | *m* Cor β 5, 1 | *n* λιθήνας D | *o* Deut 10, 5 | *p* Num 17, 10 | *q* ἀλλὰ πολλῶ D | *r* ὅρος D | *s* Exod 20, 18 | *t* οὐ D | *u* φωνὴ CD | *v* καὶ C, > B | *w* λαμπάδαις D | *x* δείγματα D | *y* ἤλπησας D | *z* μείσους D

ϑεομαχεῖν οὐκ ἐνάρκησας; [39]ἢ που τάχα καὶ[a] σῶμα καὶ κλίνη σε καὶ τὰ ἐπιτάφια σύμβολα ὡς περὶ νεκροῦ τινὸς ἄλλου τῶν συνήϑων καὶ κατὰ σὲ [περὶ] τοῦ τῆς ἀϑανασίας παρέπεισε ϑησαυροῦ οἰηϑῆναι, καὶ διὰ[b] τοῦτο τὸ ϑράσος ἀσωφρόνιστον καὶ ἀκάϑεκτον; [40]σῶμα μέν, ἀλλ' ἀκράτητον οὐ ϑανάτῳ μόνον[c] καὶ τάφῳ, ἀλλὰ καὶ χερσὶ πελαζούσαις οὕτω ϑρασέως· ταύταις μέντοι καὶ πλέον φοβερὸν ἢ ἀκράτητον, ὅσῳ καὶ τομὴν[d] ἐπιφέρει τῆς ϑρασύτητος πρόστιμον, ὡς αὐτὸς σαφῶς μαρτυρεῖς οἷς ἐνδίκως πεπείρασαι. [41][e]κλίνη μέν· ἀλλ' ἐπίσχες· αὐτίκα γὰρ δήπουγε φανεῖται καὶ σοὶ — ἔμοιγ' οὖν[f] ἤδη φαίνεται — τῆς σῆς κιβωτοῦ κατὰ πολὺ σεμνοτέρα, ἐν ἱερωτέρῳ πάνυ χωρίῳ τεϑησαυρισμένη καὶ σεβομένη ἐσϑής τε καὶ ζώνη· σύμφημι γὰρ τὰ τυχόν σοι τέως καὶ χλευαζόμενα τῷ φαινομένῳ μόνῳ προσέχοντι καὶ μηδέν τι βαϑύτερον (ὥσπερ[g] νόμος σὸς πανταχοῦ) συ-
|νιδεῖν δυναμένῳ. ἀλλ' οὐκ εἰς μακράν, ὦ ϑαυμάσιε, καὶ τὴν ζώνην ὄψει ταύτην 213²
καὶ τὴν ἐσϑῆτα, εἰ μήπω καὶ νῦν σὺν ἡμῖν βλέπειν ἔχεις τοῖς[h] τῶν ἁγίων ἁγίοις ἱερῶς ἐμβατεύοντα καὶ τιμῆς παρὰ πᾶσι ϑεοπρεποῦς ἀξιούμενα. πῶς δὲ οὐκ ἔμελλεν, ἃ καὶ χρόνος ᾐδέσϑη, καὶ φϑορᾶς ἀδυσώπητος νόμος ἐδυσωπήϑη, τὰ κατὰ πάντων ὁμοῦ τῶν ὁρατῶν δυναστεύοντα; [42]ἤδη γοῦν μοι δοκεῖς οὐδ' αὐτὸς ἔτι μελλήσειν ἐπὶ πολύ, ἀλλὰ παραχρῆμα δὴ μάλα συμφρονήσειν[i] τὸ δέον, τῇ καλῇ παιδείᾳ[k] νουϑετηϑείς, ἣν ὁρῶ κατὰ πόδας σε μετιοῦσαν ἀπρόοπτον, ὡς ἂν αὐτός τε περὶ ταῦτα διατεϑῇς[l] εὐπειϑέστερον, καὶ πολλοῖς ἄλλοις κῆρυξ[m] τῶν ἐπ' αὐτοῖς φανῇς[n] ϑαυμασίων, μαϑὼν ἐξ ὧν πέπονϑας, οἵαν ἔχει τὴν δύναμιν. [43]τοιγαροῦν νοῦν κτησάμενος, ἐπείπερ ἐπλήγης, καὶ παρὰ τοῦ τρώσαντος αὖϑις, ὅπερ ἀκούεις[o], τυχὼν τῆς ἰάσεως (ὅτι χρηστεύεσϑαι
πέφυκε καὶ πρὸς τοὺς ἀχαρίστους οὕτω καὶ πονηρούς), σωφρο|νέστερος γίνου μοι 214¹
τῶν ἑξῆς ϑεατής, καὶ τὴν ϑαυμαστὴν παρ' ἐλπίδας[p] ἠλλοιωμένος ἀλλοίωσιν, μεϑ' ἡμῶν ἤδη σκόπει τά τε ἄλλα σὺν εὐλαβείᾳ καὶ τὴν κορυφαίαν ἐκείνην καὶ πρεσβυτάτην τῶν ϑεολόγων ἀκρότητα, κατ' αὐτοὺς ἐκείνους εἰπεῖν, ὡς αὐτοὶ πάντων ἄριστα τοὺς ἐξοδίους[q] πρῶτοι διατιϑοῦσι, ϑεοφόρητοί τε γινόμενοι[r] καὶ πρὸς τὴν ἄνωϑεν ἔμπνευσιν ὅλοι μεϑαρμοζόμενοι, εἶϑ' ὡς ἐφεξῆς τοῖς ἑξῆς[s] τὴν καλὴν ὑπουργίαν ταύτην παραδιδοῦσι, καὶ ὡς ἀναλόγως οὕτω τοῖς πᾶσι τὰ τῆς εὐφημίας καταμερίζεται. [44]ἀλλ' οἱ μὲν[t] ἀγωνίζονται, καὶ περὶ τὴν ἀνήκουσαν ἕκαστος αὐτῷ λειτουργίαν[u] ἐκϑυμότατα κάμνουσιν, ἐκ τοῦ πλέον δοξάσαι καὶ πλέον δοξασϑῆναι φιλοτιμούμενοι, ἐμὲ δὲ καὶ πάλιν ἐκφέρει τὸ ϑάμβος τῶν ὁρωμένων, καὶ συναπαίρειν[v] ἡγοῦμαι τῇ δεσποίνῃ πρὸς οὐρανόν, καὶ τῇ διανοίᾳ μικροῦ παραψαύω τοῦ στερεώματος. διὰ[w] τοῦτό μοι δέξασϑε[x] φωνὴν μετάρσιον[y], ὡς ἐξ ὕψους τοσούτου πρὸς ὑμᾶς φερομένην.

|[45]εὐφραινέσϑω[z] ὁ οὐρανὸς ἄνωϑεν, καὶ δικαιοσύνην αἱ νεφέλαι ῥανάτωσαν[a]· 214²
ῥηξάτω τὰ ὄρη εὐφροσύνην[b], καὶ οἱ βουνοὶ ἀγαλλίασιν[c]· σαλευϑήτω ἡ ϑάλασσα καὶ τὸ πλήρωμα αὐτῆς[d], ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ· εὐφραινέσϑωσαν

a καὶ om C | *b* δια CD | *c* μόνω D | *d* τομὴν CD, τὸ μὴν B | *e* C¹ in marg minio περὶ τῆς τιμίας κλίνης καὶ ἐσϑῆτος καὶ ζώνης, idem D atramento (nisi quod κλήνης pro κλίνης habet) | *f* ἔμοιγ' οὖν CD, ἐμοὶ γοῦν B | *g* ὥσπερ BD, ὅσπερ C | *h* τοῖς om D | *i* συμφρονήσει D | *k* παιδία D | *l* διατεϑεὶς D | *m* κύρηξ D | *n* φανεὶς D | *o* καὶ + B, sed eo ipso loco C habet rasuram trium fere litterarum, quas tamen και non fuisse constat *Studemund* | *p* παρελπίδα D | *q* ἐξωδίους D | *r* γινόμενοι BC¹, γενόμενοι C² | *s* ἐξοῖς D | *t* μὲν C | *u* λειτουργείαν D | *v* συναπείρειν apogr | *w* δια C | *x* δέξασϑαι D | *y* μεταρσίαν C | *z* ὑφαινέσϑω D | *a* Isaias 45, 8 | *b* Isaias 49, 13 | *c* Psalm ξδ 13 | *d* Psalm Ϟζ 7

ἄγγελοι καὶ ἀγαλλιάσθωσαν ἄνθρωποι, πᾶν γένος θνητόν, πᾶν ἀθάνατον, ἔμψυχος ἅμα φύσις καὶ ἄψυχος, αἰσθητή τε καὶ νοητή, ὁρατὴ καὶ ἀόρατος, πᾶν ὅσον ἐγκόσμιον[e] καὶ πᾶν ὑπερκόσμιον[f]· ἡ γὰρ ἀνασωσαμένη τοῖς πᾶσι[g] τὴν χαρὰν ἀπελθοῖσαν, αὐτὴ πρὸ πάντων ἀξία τὰς ἀπαρχὰς αὐτῆς φέρεσθαι. δεῦτε τοιγαροῦν, εὐφρανθῶμεν ἐπὶ τῇ προξένῳ τῆς εὐφροσύνης· σαλπίσωμεν σάλπιγξιν εὐήχοις καὶ μουσικαῖς ἐν πανηγύρει λαμπρᾷ, ἐν εὐσήμῳ ἡμέρᾳ[h] ἑορτῆς ἡμῶν· συνδράμωμεν ἕκαστος εἰς τὴν κοινὴν ἀγαλλίασιν, βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς, νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· προφητική[i] τε γὰρ ἡ παραίνεσις καὶ μάλα δικαία[k].

| [46] Ἀλλ' εἰς δέον ἐμνήσθην προφητείας καὶ προφητῶν. ποῦ ποτέ μοι νῦν 215[1]
αἱ θαυμασταὶ καὶ πολλαὶ περὶ τῶν παρόντων ἐκεῖναι[l] προαγορεύσεις; ποῦ τὰ πάλαι
θρυλούμενα[m] τοῖς τὰ ἔμπροσθεν βλέπουσι; ποῦ πρὸ πάντων Δαβίδ, ὁ βασιλεὺς καὶ
προφήτης καὶ Χριστοῦ προπάτωρ — τὸ μεῖζον — ; τί τὴν ἑαυτοῦ θυγατέρα, περὶ ἧς τοιαῦτα
μεγάλα καὶ λαμπρὰ προεθέσπισεν, οὐκ αὐτὸς παρὼν ᾄδει καὶ τιμᾷ τοῖς καθήκουσι,
τὸ δεκάχορδον ἐκεῖνο ψαλτήριον καὶ τὰ εὔηχα κύμβαλα καὶ τὸν χορὸν καὶ τὰ τύμπανα
καὶ πᾶν, εἴ τι ἄλλο, μουσικόν τε καὶ τερπνὸν ὄργανον, μεθ' ὧν ἡμῖν πλεονάκις τὸν
θεὸν αἰνεῖν παραινεῖ, νῦν ἐνταῦθα παράγων καὶ τὴν ἡδίστην[n] πασῶν ἁρμονίαν ἀνα-
κρουόμενος, ὡς πολὺ δικαιότερον ἢ ὁπόταν ἐκεῖ τῆς κιβωτοῦ[o] προηγεῖτο, ποικίλην τινὰ
μουσικὴν καὶ παντοδαπὴν καὶ πολύφθογγον συναπηχῶν ἐκ μέλους παντός, ἢ τὰ πάντα
κινῶν ὑφ' ἡδονῆς κἀκεῖνος[p] εὐρύθμως συνυπωρχεῖτο, καὶ τερπόμενος τέρπειν ὡμολόγει
θεόν; [47] ποῦ δὲ τὰ τῶν | ἄλλων ἁγίων καὶ δικαίων συστήματα, ῥήσεις[q] τε[r] 215[2]
σοφῶν καὶ αἰνίγματα, παραβολαί τε καὶ λόγοι σκοτεινοὶ καὶ δυσέφικτοι, πρὶν εἰς πέρας
ἐλθεῖν, ἕνα πάντες σκοπόν, ἓν κεφάλαιον, ὑπόθεσιν μίαν τὴν πολυΰμνητον ταύτην καὶ
πολυσύμβολον παρθένον ποιούμενοι, καὶ ἄλλος μὲν ἄλλως τὰ κατ' αὐτὴν φανταζόμενος,
ἄλλου δ'[s] ἄλλος οὐκ ἔλαττον ἐκθειάζων τὸ φαντασθέν, καὶ συμφώνως ἐντεῦθεν ἡμῖν
εὐαγγελιζόμενοι σωτηρίαν παγκόσμιον; ἀλλ' οἱ μὲν εὖ οἶδ' ὅτι καὶ πάρεισιν[t] ἀφανῶς
καὶ παρέσονται, τῇ τῶν προρρηθέντων[u] αὐτοῖς ἀποβάσει συνησθησόμενοι, καὶ ταῖς
ἑαυτοῦ[v] φωναῖς ἕκαστος, μᾶλλον[w] δὲ ταῖς τοῦ πνεύματος, τὴν τῶν καλῶν τούτων πάν-
των αἰτίαν συνανυμνήσοντες. δίκαιοι δέ εἰσιν, ὥσπερ πάλαι μέλλουσαν, ἔτι οὕτω καὶ[x] νῦν
πολλῷ μᾶλλον ἤδη παροῦσαν ἐγκωμίοις καὶ κρότοις δεξιοῦσθαι τοῖς λαμπροτάτοις.
[48] τοιγαροῦν[y] ἀκολούθως προστιθέσθω καὶ τὸ ἡμέτερον, ὁ τῆς προσθήκης δὲ τρόπος —
καὶ μηδεὶς ἀπληστίαν[z] καταγνώτω[a] τοῦ λόγου· ὁμολογεῖ γὰρ ἡττᾶ|σθαι τοῦ 216[1]
πάθους διὰ τὸν πόθον, καὶ ὑμῖν[b] αὐτὸ τοῦτο περὶ τὰ παρόντα βουλόμενος, ἐμβοᾷ μέγα
πᾶσι τὸ παρακλητικόν. [49] καὶ συνέπεσθε· ἐπάρωμεν εἰς ὕψος φωνήν· κροτήσωμεν χεῖρας·
αἰνέσωμεν θεὸν μετ' ᾠδῆς, τὸν ποιοῦντα τοιαῦτα θαυμαστὰ πράγματα, ἔνδοξά τε καὶ
ἐξαίσια, ὧν οὐκ ἔστιν[c] ἀριθμός, τὸν ἐπὶ τὴν ταπείνωσιν ἐπιβλέψαντα τῆς δούλης αὐτοῦ,
καθ' ἅπερ αὐτή φησιν[d] ἡ τῶν Χερουβὶμ ἀνωτέρα, καὶ τοσαῦτα ποιήσαντα[e] μετ' αὐτῆς

e ἐγγόσμιον D | *f* καὶ πᾶν ὑπερκόσμιον om D | *g* τοῖς πᾶσι om D | *h* ἡμέρα C Psalm π 4 | *i* Psalm ρμη 11 12 | *k* δικαίω D | *l* ἐκείνων D | *m* θρηλούμενα D | *n* ἡδύστην D ; *o* Regn β 6, 14—16 | *p* κακεῖνος CD ; *q* Proverb 1, 6 | *r* τὲ CD | *s* ἄλλου δ' C, ἀλλ' οὐδ' B | *t* πάρησιν D | *u* προρηθέντων D | *v* αὐτοῦ D | *w* μᾶλον D | *x* καὶ om C | *y* οἱ γὰρ οὖν D | *z* ἀπληστείαν D | *a* καταγνώτωι C | *b* ἡμῖν D | *c* οὐκ ἔστιν CD, οὐκ εστιν B | *d* Luc 1, 48 | *e* ποιήσαντι D

μεγαλεῖα. μακαρίσωμεν, ἄνθρωποι, τὴν τοῦ πλάστου μητέρα, ἐξ ἧς ἡ τοῦ πλάσματος[f]
καὶ ἀνόρθωσις καὶ ἀνάπλασις[g]. ἀψευδὴς τοῦτο πρόρρησις ταύτης τῆς μεγάλης προφή-
τιδος[h], ὑπὸ πάσης εἰπούσης μακαρισθήσεσθαι γενεᾶς[i]. μεγαλοπρεπῶς μὲν οὖν καὶ ἀξίως
πρῶτα μὲν ὑπ' αὐτῶν τῶν ἀχράντων εὐαγγελίων τὸν πρέποντα λαμβάνει μακαρισμόν,
πρὸς τὸν ἑαυτῶν[k] ἐφ' ἑκάστης δεσπότην ἀναβοώντων[l] Μακαρία ἡ κοιλία ἡ βαστάσασά
σε καὶ μαστοὶ οὓς ἐθήλασας· εἶθ' ὑπὸ πασῶν γενεῶν, ὡς ἡ προαγόρευσις, ἤδη | τε[m] 216²
μεμακάρισται, καὶ εἰς τὸν αἰῶνα μακαρισθήσεται. [50] *μακαριζέσθω τοίνυν οὐχ ἥκιστα*
καὶ νῦν παρ' ἡμῶν, καὶ τὸν ὀφειλόμενον ἔρανον ἐκ τοῦ καθ' ἡμᾶς ἄρτι γένους ἀνεν-
δεῶς ἐκπληρούσθω. δότε αὐτῇ ἀπὸ καρποῦ χειλέων αὐτῆς, ἡ σοφὴ παροιμία[n] κατὰ καιρὸν
ἡμῖν ἐγκελεύεται — αὐτὸς δὲ ἂν[o] εἴποιμι μᾶλλον, ἀπὸ καρποῦ κοιλίας αὐτῆς —, καὶ δι'
εὐλογίας ἁπάσης ἡ εὐλογημένη γεννήτρια τῆς εὐλογίας ἀγέσθω. μή τις ἀγνώμων ἔστω
περὶ τὴν εὐεργέτιν[p]· [q] *μή τις ὑπερόπτης τῆς βασιλίδος· μή τις ὀλιγώρως ἔχων πρὸς*
τὴν δεσπότιν[r]· ἀλλὰ πάντες ἅμα καὶ πᾶσαι μετὰ τοῦ προσήκοντος κόσμου πρὸς τὴν
πάνδημον ταύτην ἑορτὴν ἀπαντήσωμεν[s], καὶ σὺν ἀλλήλοις ὁμοῦ φαιδρυνθῶμεν πανη-
γυρίζοντες, πλούσιοί τε καὶ πένητες, ὑψηλοί τε καὶ ταπεινοί, ἱερεῖς καὶ λαός, μοναδικοὶ
καὶ μιγάδες, ὅσον ἐν ἄρχουσιν, ὅσον ἐν ἀρχομένοις, ὅσον ἐν ἀνδράσιν, ὅσον ἐν γυναιξίν.

[51] *Ἀλλὰ μεταξὺ λέγοντί μοι προσέπεσέ τι τῶν ἀβουλήτων, μᾶλλον δὲ τῶν τῇ τάξει*
μαχο|μένων τῆς φύσεως. αἱ γάρ με γυναῖκες ἐνταῦθα πλεονεκτοῦσι καὶ ἀξιοῦσι 217¹
πρωτεύειν[t] — εἴς γε τοῦτο τὸ μέρος — ἡμῶν τῶν ἀνδρῶν, οἷς τὸ ἄρχειν αὐτῶν καὶ
πανταχοῖ προκεκρίσθαι ἥ τε φύσις πάλαι ἀπέδωκε καὶ ὁ τὴν φύσιν δημιουργήσας.
τὰ τοῦ γένους γοῦν δίκαια πολλὰ παρ' αὐταῖς, καὶ βοηθεῖσθαι δοκοῦσι πανταχόθεν εἰς
τὴν προτίμησιν. οὐχ ἧττον μέν τι κἀκεῖναι[u] πρὸς ἑαυτὰς στασιάζουσιν[v], αἱ παρθένοι
πρὸς τὰς μητέρας, αἱ μητέρες πρὸς τὰς παρθένους, καὶ φιλονεικοῦσιν ὅλον ἑκάτεραι
τὸ κοινὸν ἰδιώσασθαι. [52] *ἀλλὰ ταύταις μέν, εἰ δοκεῖ, καταλλαγὴν[w] πρὸς ἀλλήλας ἡμεῖς*
ἐπιτάξωμεν, τῷ τῆς φυσικῆς ἐξουσίας ὀρθῶς χρησάμενοι νόμῳ καὶ τὴν ἴσην ἑκατέραις
ἀπονείμαντες μοῖραν· οὐ γὰρ τοῦτο μᾶλλον ἢ τοῦτο, ἀλλ' ἐπ' ἴσης ἀμφότερα — καὶ παρ-
θένος καὶ μήτηρ — ἡ τιμωμένη, καὶ κοινὸν ὁμοίως ἁπάσαις γυναιξὶ τὸ καλλώπισμα. αὐτοῖς
δ' ἡμῖν πρὸς ἐκείνας εἰς αὖθις[x] ἡ δικαία τάχα δικάσει καὶ κοινὴ δέσποινα, ὁπηνίκα
καὶ ὅπως εὐδοκήσοι καὶ δοκιμάσοι. τὰ | δὲ νῦν (ἑορτὴ γὰρ ἡμῖν, ἀλλ' οὐκ ἀγὼν 217²
τὸ προκείμενον) ἐν εἰρήνῃ[y] πανηγυρίσωμεν, ἐν ἀγάπῃ συνεορτάσωμεν, καὶ τὴν καλὴν
τέως ἅμιλλαν πρὸς ἀλλήλους ἅμα καὶ πρὸς ἐκείνας κατ' ἰσοτιμίαν ἁμιλληθῶμεν. [53] *αἰ-*
σχυνθῶμεν, ἄνδρες, φανῆναι γυναικῶν ἐλάττους περὶ τὰ κράτιστα, καὶ τὸ πρεσβεῖον
κἀνταῦθα τῆς τάξεως ἐκ τοῦ κατὰ ταῦτα μᾶλλον πρωτείου λαβεῖν φιλοτιμησώμεθα.
αἰδέσθητε, μητέρες, ἡττηθῆναι παρθένων, αἷς αὐταὶ τὸν νυμφίον τὸν καθαρὸν ἐκ κα-
θαρᾶς μητρὸς ἐχαρίσασθε. αἰδέσθητε, παρθένοι, μητέρων ἀπολειφθῆναι, αἷς αὐταὶ
τὸ μηκέτι τίκτειν ἐν λύπαις ἐδώκατε δι' ἀμωμήτου παρθένου ἐν χαρᾷ καὶ χαρὰν καὶ
τεκούσης ἅμα καὶ συλλαβούσης. [54] *τί μοι διατάττειν καθ' ἕκαστα; τί δε λέγειν τὰ πλείω;*

f *ἀνάπλασις* add C | *g* *καὶ ἀνάπλασις* om C | *h* Luc 1, 48 | *i* *γενεᾶς* C, *γενεάς* B | *k* *ἑαυτὸν* D
l Luc 11, 27 | *m* *τὲ* CD | *n* Proverb 31, 31 | *o* *δ' ἂν* CD | *p* *εὐεργέτην* D | *q* *μή τις — βασιλίδος* om
D | *r* *δεσπότην* D | *s* *ἀπαντήσωμεν* CD | *t* *προτεύειν* D | *u* *χακεῖναι* C | *v* *στασιάζουσαι* [quis? Lagarde]
w *καταλαγὴν* D | *x* *εἰσ αὖθισ* CD, *εἰσαῦθις* apogr | *y* *εἰρήνη* CD

νῦν ἄγγελοι χαίρουσιν, ἀναβαίνοντες καὶ καταβαίνοντες ἐπί τε τὸν υἱὸν τοῦ ἀνθρώπου
καὶ τὴν μητέρα τὴν ἄνθρωπον[sic], καὶ την τῶν πυλῶν αὖθις ἔπαρσιν[z] ἀλλήλοις διακε-
λεύονται, οὐχ[a] ἃ τὸ πρὶν[b] ἀποροῦντες καὶ πυνθανό|μενοι Τίς ἐστιν οὗτος ὁ 218[1]
βασιλεὺς τῆς δόξης; ἤδη γὰρ ἐγνώσθη κἀκείνοις[c] ἐμφανῶς διὰ ταύτης, ὅτι ὁ καταβὰς[d]
πρὶν ἐκεῖθεν, αὐτὸς ἐκεῖνός ἐστιν[e] καὶ ὁ ἀναβὰς πάλιν ὕστερον· ἀλλ' ἐξ ἑτέρας[f] ἄλλα
γραφῆς μετὰ τῆς ὁμοίας ἐρωτῶντες ἐκπλήξεως Τίς αὕτη ἡ ἐκκύπτουσα[g] ὡς ὄρθρος, καλὴ
ὡς ἡ σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος; [55] νῦν ἀὴρ ἁγιάζεται τῇ τῶν ἁγίων ἀνόδῳ καὶ φωτὶ
ξένῳ σύμπας φρυκτωρεῖται καὶ καταλάμπεται. νῦν οὐρανοὶ σκιρτῶντες ἀνοίγονται, καὶ
θεοῦ βασίλεια δέχεται περιχαρῶς τὴν βασίλισσαν. νῦν ὁμοῦ τὰ ἄνω καὶ κάτω ἐμμελῆ
τινὰ χορείαν[h] χορεύει καὶ παναρμόνιον, καὶ πανήγυρίς τις παγκόσμιος[i] συγκινοῦσα τὴν
κτίσιν εἰς εὐφροσύνην ἡ παροῦσα καθέστηκεν ἡμέρα τῆς θεομήτορος.

[56] [k] Ἐπαινῶ πρὸς τοῖς ἄλλοις καὶ τὸν καιρόν. τῇ γὰρ μεθ' ἡμῶν τῆς δεσποίνης
ἀναστροφῇ καὶ τὸ[l] ἔτος ἤδη συναπολήγει[m], ὥσπερ πρὶν εἰς τὸν κόσμον ἐρχομένῃ διὰ
γεννήσεως συνεισῆλθε[n] καὶ συνδιήγαγεν, οὕτω πάλιν ἐντεῦθεν ἀπιούσῃ συναπιόν, ἵνα
καὶ αὐ|τὸ τὴν προσήκουσαν ἐκπληρώσῃ δορυφορίαν, τοῖς τῆς βασιλίδος κινήμασι 218[2]
δουλεῦον καὶ παρεπόμενον. νυνὶ δὲ καὶ δῶρα προσάγει τῶν ἑαυτοῦ τὰ κρείττω καὶ
τελεώτατα, μεθ' ὧν χαῖρον χαίρουσαν προπέμπει καὶ συναπέρχεται. [57] ἥδιστον μὲν ἔαρ
ἐν ὥραις (τίς ἀντείποι λόγ[ι]ος τῷ λόγῳ;) καὶ ποικίλη χάρις ἀνθέων καὶ ἁπαλὴ φυτῶν
βλάστη καὶ ὡραιότης ἀγροῦ καὶ χλοάζουσα πόα καὶ καλὸν ταῖς ἀρούραις ἐπικυματίζοντα
λήια, ἡδὺ δὲ καὶ στάχυς παρρησίαν ἄρτι λαμβάνων καὶ προκύπτων εἰς φῶς οἷα βρέφος
εὐγενές τε καὶ χάριεν ὡς ἐκ μήτρας τῆς κάλυκος, καὶ βότρυς[o] ἐπαγγελλόμενος καὶ τοῖς
δροσεροῖς ἔτι φύλλοις ὑπαναστέλλειν ἀρχόμενος, καλὰ δὲ καὶ τἄλλα[p] καθ' ἑξῆς τῶν ὡραίων[q],
οἷς ἡ ὥρα τρυφᾷ καὶ ταῖς ἐλπίσιν εὐφραίνει τὸν θεατὴν γεωργόν· πολὺ δ' ἔτι κάλλιον[r]
ἡ πάντων τελεσφορία καὶ τὸ πρὸς ἐκπλήρωσιν ἔργου[s] τὴν ἐπαγγελίαν ἐλθεῖν, ὅπερ οὗτος
ἡμῖν ὁ καιρὸς νῦν χαρίζεται. [58] νῦν[t] γὰρ αἱ μὲν ἀποθῆκαι[u] τὸν σῖτον, οἱ ληνοὶ[v] δὲ
τὸν οἶνον, καὶ τὴν | ἄλλην τοῦ ἔτους εὐετηρίαν ὁ προσήκων δέχεται τόπος, καὶ 219[1]
οὐκ ἔτι[w] προσδοκωμένην, ἀλλ' εἰς χεῖρας ἤδη κατερχομένην[x] καὶ τὸ τῶν ἐλπίδων ἀμ-
φίβολον ἀσφαλεῖ τέλει κρίνουσαν. νῦν[y] ὁμοῦ καὶ ὁ σπείρας χαίρει, θερίσας, καὶ ὁ φυ-
τεύσας εὐφραίνεται, τοὺς καρποὺς τῶν πόνων δρεψάμενος. [z] ὁ κύριος ἔδωκε χρηστότητα,
καὶ ἡ γῆ ἡμῶν ἤδη τὸν καρπὸν αὐτῆς ὁλοκλήρως, εἰ μή τι[a] που τέλεον ὑπερήμερον καὶ
ἐκπρόθεσμον. [59] τῆς γῆς δὲ τὸ ἴδιον ἐντελῶς ἀπεχούσης, καὶ ὁ οὐρανὸς ἀναλόγως
ἀπέχει τὸ ἑαυτοῦ, τὸν οὐράνιόν φημι τοῦτον θησαυρὸν καὶ ὑπέρτιμον, ὃν ἀπολαμβάνων
σήμερον γέγηθε τὴν αὐτοῦ γλυκεῖαν ἐλπίδα, τὴν εὐφορίαν τῆς κτίσεως, τὸ μέγα τοῦ
κόσμου γεώργιον, καὶ θησαυρίζει τὸν πλοῦτον ἐν ἀσύλοις ταμείοις καὶ τὴν εὐδαιμονίαν
τοῖς ἄγαν ἐνδοτάτοις ἐναποτίθεται, ἐκλεγεῖσαν μὲν εἰς καιρὸν μετὰ τὴν τῆς οἰκονομίας
συμπλήρωσιν καὶ τὴν θαυμαστὴν ὑπουργίαν τοῦ κατὰ Χριστὸν μυστηρίου, ὡς δὲ θέρος
εὖ μάλα πῖον καὶ εὔσταχυ[b] καὶ τῆς ὥρας ἔχον[c] | ἐπιτηδείως, ἐν θέρει συγ- 219[2]

z Psalm *κγ* 9 | *a* *οὐχ'* CD | *b* Psalm *κγ* 8 | *c* *κακείνοισ* C | *d* Iohann 3, 13 | *e* *ἐστι* C | *f* Cant 6, 9 | *g* *ἐγκύπτουσα* B | *h* *χορίαν* D | *i* *πανήγυρις παγκόσμιος* C | *k* $C^m D^m$ *περὶ τοῦ καιροῦ τῆς κοιμήσεως* | *l* *τὸ* om D | *m* *συναπολήγῃ* D | *n* *συνῆλθε* D | *o* *βότρυσιν* D | *p* *τ' ἄλλα* CD, *τἄλλα* B | *q* *ὁρέων* D | *r* *κάλιον* D | *s* *ἔργον* D | *t* *μὲν* add D | *u* *ἀποθῆκαι* CD | *v* *λιναὶ* D | *w* *τόποσ· οὐκέτι* C | *x* *κατεχομένην* D | *y* *μὲν* add D | *z* Psalm *πδ* 13 | *a* *τι* C, om D | *b* *ἄσταχυ* D | *c* *ἔχον* C, *ἔχων* B

κομισθεῖσαν καὶ πρὸς τὴν οἰκείαν κατάπαυσιν ἐντεῦθεν μετενεχθεῖσαν, οὐ μέντοι [d] *καθ'*
ἅπαξ ἀπενεχθεῖσαν ἡμῶν, οὐδ' ἀποστᾶσαν εἰς τέλος τῶν καθ' ἡμᾶς, κἂν [e] *μεθέστηκεν.*
[60] *ἐκείνη γὰρ ἡ τῶν τῆδε προνοοῦσα καὶ νῦν· ἐκείνη καὶ βραβεύει καὶ φέρει καὶ συντη-*
ρεῖ τὰ ἡμέτερα· ἐκείνης ἔργον καὶ δῶρον ἡ εὐνομία τῶν πόλεων, ἡ τῆς οἰκουμένης
εἰρήνη, τῶν ἐκκλησιῶν ἡ ὁμόνοια, τῶν σκήπτρων ἡ δυναστεία, τῶν στρατοπέδων [f] *ἡ εὐ-*
τυχία, ἡ τῶν πάντων ὧν ἔχομεν καλῶν χορηγία· δι' ἐκείνην καὶ ζῶμεν καὶ κινούμεθα
καὶ ἐσμέν [g]*· δι' ἐκείνην πιστεύομεν καὶ θανόντες εὖ ἕξειν, ἐπὶ χρηστοτέραις ἐλπίσιν ἐν-*
θένδε μεταχωροῦντες· καὶ συνελόντα [h] *φάναι, παρ' αὐτῆς κἀνταῦθα κἀκεῖσε* [i] *τὰ τῆς*
*εὐπραγίας ἡμῖν, κατὰ πάντα χρόνον καὶ τρόπον ἱλεουμένης τὸν ἑαυτῆς μὲν υἱόν, τῶν**
οἰκτιρμῶν δὲ πατέρα, καὶ παρ' αὐτοῦ ταῦτα πάντα παρέχουσαν[sic] *ἡμῖν καὶ παρέξουσαν*[sic]*·*
καὶ τὸ μέλλον γὰρ ὑπολάμπει τοῖς παροῦσιν ἤδη φαιδρότερον | διὰ τὸ πρὸς 220[1]
τὸ εὐεργετεῖν (ὡς ἂν εἴποι τις) ἄπληστον καὶ ἀκάματον τῆς κοινῆς ἡμῶν πάντων εὐερ-
γεσίας καὶ [k] *εὐεργέτιδος ταύτης.*

[61] *Ταῦτά σοι, δέσποινα, τὰ παρ' ἡμῶν προπεμ[π]τήρια· ταῦτά σοι τὰ γέρα* [l] *τὰ*
ἐξιτήρια [m] *— ἀνθ' ὧν εὖ πεποίηκας τὴν φύσιν τὴν ἡμετέραν, ἀνθ' ὧν ἡμῖν πᾶσι σωτηρίαν*
ἐπήγασας, ἀνθ' ὧν ζωὴν ἔτεκες, ἀνθ' ὧν χαρὰν ἔβλυσας τῷ γένει τῷ ἀνθρωπίνῳ. εὖγε
τῶν ἐκ σοῦ δωρημάτων οἷς ἐπλουτίσθημεν· εὖγε τῶν πολλῶν χαρισμάτων οἷς ἐδοξά-
σθημεν. οὐκ ἔτι προστίμοις προγονικοῖς ὑποκείμεθα· οὐκ ἔτι δουλεύομεν ἀρᾷ καὶ φθορᾷ·
θάνατος ἡμῶν οὐκ ἔτι κυριεύει. διὰ σοῦ ταῦτα πάντα καὶ διὰ σὲ καὶ ἐκ σοῦ. σὺ γὰρ
ἀφεῖλες πᾶν δάκρυον ἀπὸ προσώπου τῆς γῆς· σὺ τὴν κτίσιν ἐνέπλησας παντοίας εὐερ-
γεσίας· τὰ οὐράνια εὔφρανας· τὰ ἐπίγεια ἔσωσας· τὸ πλάσμα κατήλλαξας· ἐξιλάσω
τὸν πλάστην· τοὺς ἀγγέλους ὑπέκλινας· τοὺς ἀνθρώπους ἀνύψωσας· τοῖς ἄνω, τοῖς
κάτω [n] *δι' ἑαυτῆς ἐμεσίτευσας· μετεσκεύασας ἄριστα τὸ πᾶν πρὸς τὸ βέλτιον. πολλαὶ*
| θυγατέρες, πολλαὶ καὶ μητέρες ἐποίησαν δύναμιν· σὺ δὲ ὄντως ὑπέρκεισαι καὶ 220[2]
ὑπερῆρας πάσας.*

[62] *Ἀλλ' οὗτος μὲν ἐπὶ πᾶσιν ὁ βραχὺς χαριστήριος, ὁ δ'* [o] *ἱκέσιος τίς* [p]*; λαὸς ἡμεῖς*
σός, ὦ κυρία τῆς κτίσεως, σὸς ἐξαίρετος κλῆρος, σὴ μερὶς ἐκλεκτή· σοὶ γὰρ φέρων ἡμᾶς
ὁ ἐκ σοῦ τεχθεὶς ἔδωκε, πατρικὴν εἰκότως κληρονομίαν προσφιλεῖ μητρὶ χαρισάμενος.
σὺ καὶ σῴζεις καὶ σῴζοις τὴν καλὴν δωρεάν· μᾶλλον δὲ τὸ ἀγχίστροφον σῴζοις, ὥσπερ
καὶ σῴζεις, τό τε κράτος ὡσαύτως κατὰ πάντων κραταιοῦσα καὶ ὁμοίως εἰς τέλος ἰθύ-
νουσα τὸ πολίτευμα, τήν τε πόλιν τὴν σήν, τὸ διὰ σὲ μέγα θαῦμα τοῦτο καὶ περιβόητον,
ἣν ὡς βασιλὶς βασιλίδα συνέχεις καὶ περιέπεις καὶ τὴν ὅση ταύτης ὑπήκοος, τῇ μεγάλῃ
χειρί σου κυβερνῶσα καὶ κατευθύνουσα, ἐν ἀκινδύνῳ τε μάλιστα τὰ κοινὰ καθιστῶσα,
κἂν [q] *ἀντίπαλόν τι προσβάλοι κἂν* [r] *ἑτέρως ἀβούλητον, αὐτὴ στρατηγοῦσα καὶ κατορθοῦσα*
τὸν πόλεμον [s]*, αὐτὴ τὸν σὸν τρόπον, ὃν οἶδας, ὃν εἴωθας, μετιοῦσα τὸν κίνδυ|νον* 221[1]

d *μέντι* D | *e* *κἂν* CD | *f* *στρατοπαίδων* D | *g* Act 17, 28 | *h* *καὶ συνελόντα* BD, *συνελόντα δὲ* C
i *κἀκεῖσε* CD | * *τὸν* apogr | *k* *εὐεργεσίας καὶ* om C | *l* *γέρα* CD, *γέρατα* B | *m* *ἐξητήρια* D | *n* omnia inde a
δι' ἑαυτῆς usque ad finem orationis desunt in D, qui pro illis haec substituit: *σὺ ὑπάρχεις ὁ ἐξ οἰκονο-*
μήσας τὴν ἑνώτητα καὶ διὰ σοῦ ἐγνώκαμεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν
τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων (sic) *ἀμήν*: quibus verbis oratio in D finitur *Studemund* | * Proverb 31, 29 | *o* *ὁ δ'* C,
οὐδ' B | *p* *ἱκέσιος τίς* C, *ἱκέσιός τις* B | *q* *κἂν* C | *r* *κἂν* C | *s* *αὐτὴ στρατηγοῦσα — πόλεμον* om B

*καὶ τὸ διοχλοῦν ἀζημίως καὶ ἀβλαβῶς ἀποτρέπουσα, ἵν' οὕτως ἡμῖν πανταχόθεν τὸ
ἀσφαλὲς διὰ τὴν σὴν χάριν ἔχουσιν ἐξῇ μεγαλύνειν σε καὶ δοξάζειν ἀεὶ τὴν τὸ γένος
ἡμῶν ὑπερφυῶς μεγαλύνασαν· ὅτι σοὶ[t] πᾶσα δόξα πρέπει καὶ τῷ σῷ τόκῳ σὺν πατρί
τε καὶ πνεύματι νῦν καὶ εἰς τοὺς αἰῶνας. ἀμήν.*

184. *Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων προσφώνησις πρὸς τὸν ἐν
Εὐχαΐτοις λαόν, ὅτε πρῶτον ἐπέστη τῇ ἐκκλησίᾳ.*

[1] Ἐπίστευσα, δι' ὃ ἐλάλησα, φησὶν ὁ θεῖος Δαβίδ, ἀξιωθεὶς μυστηρίων βαθυτέρων
ἀποκαλύψεως. καὶ ἡμεῖς οὖν πιστεύομεν, δι' ὃ καὶ λαλοῦμεν*, ἵνα καὶ ὁ μέγας ἀπό-
στολος συνεφάψηται τῷ λόγῳ τῶν προοιμίων. τίς οὖν ἡ πίστις ἣν ἐπιστεύσαμεν, καὶ
ὁ λόγος, ὅνπερ λαλοῦμεν, ποθεῖτε τάχα μαθεῖν; ἕτοιμοι διδάξειν ἡμεῖς· ἀρκτέον δὲ
οὕτως. [2] ἀκοῇ μὲν ὠτὸς καὶ αὐτὸς τὸ πρότερον ἤκουον τὰ τῆς καθ' ὑμᾶς ἐκκλησίας,
τῆς περιφανοῦς ταύτης λέγω καὶ διαβοήτου, πλεονεκτήματα, ὡς μὲν ἔχει μεγέθους, ὅτι
συμμέτρως ἄγαν καὶ ἀπο|χρώντως, ὡς δὲ κάλλους καὶ σχήματος, ὅτι θαυμαστῶς* 221[2]
*καὶ λαμπρῶς, ὅπως τε χρυσῷ καὶ ἀργύρῳ καὶ γραφῆς εὐπρεπείᾳ καὶ ψηφῖδος αὐγῇ
καὶ λίθων εὐχροίᾳ περιστίλβει πᾶσα καὶ καταλάμπεται, ἔτι δὲ καὶ τὸν πρόσθετον
κόσμον ὡς περιττή, ὅσος τε ἐν ὑφάσμασι καὶ ὅσος ἐν σκεύεσι, πολυτελέσιν ἅπασι καὶ
λαμπροῖς, τιμιωτάτοις τὴν ὕλην, ἐξαισίοις τὴν ἐργασίαν, καὶ τὸ ἐξ ἀμφοτέρων φιλότιμον
πανταχόθεν πλουτοῦσι, τὴν ἐκ λαμπάδων καὶ λύχνων τε πολύφωτον φρυκτωρίαν καὶ
τὸ τοῖς γηΐνοις ἀστράσι τούτοις ἁμιλλᾶσθαι πρὸς τὰ οὐράνια. [3] ταῦτα μὲν (ὡς ἂν εἴποι
τις) τὰ κατ' αὐτὸν τὸν ναόν, τὰ δὲ περὶ αὐτὸν οὐδὲν οὐδὲ αὐτὰ ἐνδεέστερα πρὸς θαύ-
ματος λόγον, οἰκοδομάς τε λέγω παντοδαπὰς καὶ χρημάτων προσόδους καὶ γῆς καρπῶν
εὐφορίας, χώρας τε βαθὺ κύτος εὐχρήστου καὶ πολυφόρου καὶ πηγὰς ὑδάτων ἡδίστων
καὶ ἰδεῖν καὶ πιεῖν, βοσκημάτων ἀγέλας τε καὶ πλῆθος συνοικιῶν καὶ πᾶν εἴ τι ἄλλο
(συνελόντα εἰπεῖν) εὐδαιμονίαν οἴκου συνίστησι καὶ | λαμπρότητα. [4] τί τὸ μεῖζον* 222[1]
*παρῆλθον, εἴ γε παρῆλθον; τὸν ἐκλεκτὸν λαὸν τοῦτον, τὰ τέκνα Σιών, τὰ τίμια καὶ
ἰσοστάσια χρυσίου, τὰ ἔμψυχα ἀναθήματα, τὸν ὡς ἀληθῶς εὐπρεπέστατον κόσμον τῆς
ἐκκλησίας, τοὺς λίθους τοὺς πολυτίμους, ἐξ ὧν αὐτὴν Χριστὸς συνεπήξατο, αὐτὸς καὶ
θεμέλιος καὶ ἀκρογωνιαῖος* γενόμενος· ὑμᾶς ἤδη λέγω, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον
ἱεράτευμα*, τὴν ἐπιθυμητὴν μερίδα κυρίου, τὸν ἐξαίρετον κλῆρον, τὸ ἐκλεκτὸν ποίμνιον,
ποίμνιον μὲν θεοῦ τοῦ ποιμαίνοντος τὸν ἀγαπητὸν Ἰσραήλ, ποίμνιον δὲ καὶ ἐμὸν ἤδη
τοῦ πρὸς ποιμαντικὴν ὑμῖν ὑπ' αὐτοῦ παρ' ἐλπίδα πᾶσαν ἐκλελεγμένου, ἐλαχίστου μὲν
ἴσως ἐν υἱοῖς ἀνθρώπων, ὥσπερ πάλαι* Δαβὶδ ἐν υἱοῖς Ἰεσσαί, ἀδελφῶν δὲ ἄλλων
πολλῶν μειζόνων καὶ κρειττόνων προκεκριμένου οἷς εὐδόκησε κρίμασιν ὁ σοφῶς καὶ
ἀρρήτως κυβερνῶν τὰ ἡμέτερα. [5] τοσούτοις ὀνόμασιν ὑμᾶς δεξιοῦμαι τοὺς ἐμοὶ καλῶς
κληρωθέντας — εἴη δὲ εἰπεῖν καὶ τὸ ἔμπαλιν ὅτι καὶ καλῶς κληρωσα|μένους ἐμέ·* 222[2]
*τοιούτοις προοιμίοις τιμῶ τοὺς ἐκ θείας ψήφου λαχόντας με καὶ οὓς ἐκεῖθεν αὐτὸς
ἔλαχόν τε καὶ ἔλαβον, ὧν οὐκ ἔχω τί πρῶτον θαυμάσω καὶ ἀποδέξομαι, τὸ πλῆθος,
τὴν εὐταξίαν, τὴν πίστιν, τὴν θερμότητα, τὴν σύνεσιν, τὴν εὐλάβειαν, τὴν εὐκοσμίαν
τοῦ ἤθους, τὸ τοῦ λόγου καίριον, τὸ τῆς σιωπῆς εὔλογον, τὴν περὶ τὰ θεῖα σπουδήν,*

t σοι B | 1 Psalm *ριε* 1 | 1 Cor *β* 4, 13 | 4 Ephes 2, 20 Petr *β* 2, 6 | 4 Petr *α* 2, 9 | 4 Psalm *ρνα*? Regn *α* 16, 11?

τὸ περὶ τὰς ἀναγνώσεις φιλόπονον, τὸ πρὸς ἀλλήλους φιλάδελφον, τὸ φιλομαθές, τὸ φιλό-
λογον, τὴν εὐρυθμίαν τὴν ἐν τοῖς ᾄσμασι, τὴν τέχνην, τὴν εὐφυΐαν, τὴν πρός τε τὰ μέλη καὶ
πρὸς τὰ καλὰ συμφωνίαν, ἵνα καὶ γλώσσῃ καὶ γνώμῃ τὴν ἑνότητα τῆς πίστεως παραστήσητε,
τὴν πᾶσαν ἐμπρέπουσαν αἰδῶ καὶ σεμνότητα, οὐ τοῖς τοῦ βήματος μόνον οὐδ᾽ ὅσοι τῶν ἁγίων
ἀδύτων ἐπιβαίνειν ἠξίωσθε (ἧττον γὰρ ἂν ἦν τὸ καλὸν θαυμαστὸν ὡς καὶ ὀφειλόμενον),
ἀλλὰ δὴ καὶ τοῖς ἔξωθεν, καὶ τούτων οὐχ ἁπλῶς τοῖς ἐν κλήρῳ, ἀλλὰ μέντοι καὶ ὅσον τῆς
κοσμικῆς μερίδος καὶ κα|τωτέρω, τάξει μόνῳ sic καὶ σχήματι τῆς ἱερωτέρας ἀφω- 223[1]
ρισμένον, τἆλλα δὲ μηδὲν ἢ παντάπασιν ὀλίγον ἐλλεῖπον εἰς τὴν αὐτὴν εὐδοκίμησιν.

[6] Ταῦτα πολλοῖς μὲν ᾔδετο καὶ πάλαι καὶ νῦν πρὶν ἡμῖν ἐποφθῆναι, νυνὶ δὲ
κατὰ τὸ γεγραμμένον ὅ τε ὀφθαλμός μου ἑώρακε, καὶ μαρτυρεῖν ὁ λόγος θαρρεῖ· ἡ
μαρτυρία δὲ γραφική* Καθ᾽ ἅπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν, καὶ οὐδὲν ἡμᾶς ἐξη-
πάτησεν ἡ φήμη περὶ ὑμῶν οὐδ᾽ ἐψεύσατο. [7] χαίρω μὲν οὖν καὶ ταῦτα κατ᾽ ἐλπίδας
εὑρὼν (καὶ πῶς γὰρ οὔ;), τοσαύταις ἐντυχὼν εὐκληρίαις καὶ βλέπων ἡδέως λαόν τε
σοφὸν καὶ οὐχὶ μωρόν*, ἀλλοτρίοις πόνοις κατηρτισμένον, ἵν᾽ ἡμῖν ᾖ κουφότερος ὁ κόπος
ὁ ἐφ᾽ ὑμῖν, καὶ ναὸν οὕτω κρείττω λόγου καὶ θαύματος, ἔνδοθέν τε πολλαῖς κατα-
στραπτόμενον χάρισι καὶ τοῖς ἐκτὸς ἀγαθοῖς περιαντλούμενον πάντοθεν, ὅπερ δὴ καὶ
αὐτὸ πνευματικῆς εὐφροσύνης οὐκ ἀλλότριον ἥγημαι, ὥσπερ ἥδιστα συμψάλλω τῷ Δαβίδ*
καὶ συναληθεύω Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, οὕτω καὶ τῆς θείας σημεῖον
| ἐπισκοπῆς κατὰ τὸν μέγαν Ἰώβ*, οὐχ ἧττον δὲ τάχα καὶ τῆς εὐσεβείας τῶν 223[2]
μετεχόντων τὴν ἐν τοῖς τοιούτοις εὐθηνίαν τιθέμενος καὶ τὸ Ἰδοὺ οὕτως εὐλογηθήσεται
ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον μετὰ Δαβίδ* καὶ πάλιν ἐπιφωνῶν. [8] οὔπω δὲ
τοσοῦτον οὐδὲν ἐν ἅπασι τούτοις, καίπερ οὖσι τοιούτοις, ἠγάσθην οὐδὲ ἐθαύμασα ὡς
τὸ μέγιστον ἁπάντων καὶ κάλλιστον καὶ διαφερόντως τῶν ἄλλων ὑπερέχον καὶ ὑπερ-
κείμενον, τὴν μαρτυρικὴν λέγω χάριν, ἥτις ἐνοικεῖ τῷ ναῷ, καὶ δι᾽ ἣν τἆλλα πάντα
καὶ παρ᾽ ἧς καὶ πρὸς ἥν, ἧς τὸ μέγα κλέος καὶ περιώνυμον, τὸ πᾶσαν περιτρέχον τὴν
κτίσιν καὶ πάντα τόπον πληροῦν τῶν ἐξ αὐτῆς θαυμάτων καὶ χαρισμάτων, ὧν ἤδη καὶ
αὐτοὶ πλεονάκις καὶ μακρόθεν ἔτι κατετρυφήσαμεν, ἐκ προγόνων καὶ ἄνωθεν τὰς ἐκεῖθεν
ποικίλας εὐεργεσίας κληρονομήσαντες καὶ δαψιλεστάτας εἰς δεῦρο παρὰ πάντα τὸν βίον
ἐκ τῆς ἀθλητικῆς χειρὸς χορηγούμενοι, εἰς ὃν ἐλπίζομεν ὅτι καὶ ἔτι χορηγηθήσονται·
πο|λύ τι δικαιότερον ἅμα τὸ ἀπὸ τοῦδε καὶ ἀφθονώτερον, τὸ μέν, ὅτι ἐγγύτερος 224[1]
νῦν ἢ τὸ πρόσθεν ὁ εὐεργέτης — εἰ θέμις τοῦτο εἰπεῖν περὶ τοῦ πάντα τόπον πλη-
ροῦντος τοῖς ἀριθμοῦ παντὸς κρείττοσι σημείοις καὶ τέρασι —, τὸ δέ, ὅτι καὶ νῦν οἰκει-
ότερος — τολμήσω γάρ — ἢ τὸ πρότερον ὁ τῆς εὐποιΐας δεόμενος, καὶ δεόμενος μὲν
ἔτι μᾶλλον ὑπὲρ τὸ πάλαι διὰ τὴν τῶν νόσων ἐπίτασιν, ἧς οὐδὲν οὕτως αἴτιον ὡς
ἡ τῆς ἄχρις ὑμῶν δυσχεροῦς καὶ μακρᾶς ὁδοιπορίας θλίψις καὶ κακοπάθεια, ὁρᾶτε
ὅπως ἡμᾶς κατεργασαμένη καὶ κατατήξασα διὰ τὴν ἀήθειαν μάλιστα, ὡς μικροῦ μοι
καὶ ἄχρηστον διαθεῖναι τὸ σῶμα καὶ πρὸς τοὺς ἀναγκαιοτέρους δὴ τούτους καὶ χρη-
σιμωτέρους τῶν πόνων (τοὺς ἱεροὺς καὶ πνευματικούς φημι), εἰς οὓς ὑπὸ τοῦ πνεύματος
προκεκλήμεθα, νωθρὸν ὡς τὰ πολλὰ καὶ δυσκίνητον, οἰκειότερος δὲ διὰ τὴν φιλαν-
θρωπίαν τοῦ μάρτυρος, ὑφ᾽ ἧς ἐξελέγημεν καὶ παρ᾽ ἧς προσελήφθημεν, ἐξ ἀναξίων

6 Psalm μζ 9 | 7 Deuter 32, 6 | 7 Psalm κϛ 8 | 7 Iob 21, 9 | 7 Psalm ρκζ 4

δόξαντες ἄξιοι ἢ καὶ ἐλπισθέντες τυχόν | (οὐδὲ τοῦτο γὰρ ἔλαττον· ἐπεὶ τὸ τοὺς 224[2]
ἁγίους ἐλπίσαι — καὶ μάλιστα τοὺς οὕτω δεδοξασμένους — ταὐτὸν καὶ τὸ καταπράξασθαι)·
μᾶλλον δὲ πείθομαι μηδ' ἄλλως αὐτοῖς ἐπινοεῖσθαι τὸ ἐλπιζόμενον ἢ τοῦ τέλους βε-
βαίως παρὰ τοῦ πατρὸς τῶν χαρισμάτων ἐνδεδομένου. [9]πλὴν ἀλλὰ τοῦτο μὲν ὁπηδή-
ποτ' ἂν ἔχοι, τέως ἐχέτω (περὶ τηλικούτων γὰρ νῦν φιλοσοφεῖν οὐ καιρός), ὅτι μέντοι
παρὰ τῆς χάριτος, τῆς τε θεϊκῆς καὶ τῆς θείας, ἤτουν τῆς μαρτυρικῆς, προβεβλήμεθα
καὶ τὴν τῶν ὑμετέρων ψυχῶν ἐπιστασίαν ἐγκεχειρίσμεθα, ἴστε μὲν καὶ αὐτοί, τοῖς περὶ
τὴν ἡμετέραν κατάστασιν τερατουργηθεῖσι συντεκμαιρόμενοι, ὧν τὰ μὲν ὄψει, τὰ δὲ καὶ
ἀκοῇ παρειλήφατε, μαρτυρήσει δὲ καὶ πᾶς ὁστισοῦν ὡς οὐκ ἐξ ἀνθρώπων ἡμεῖς οὐδὲ
δι' ἀνθρώπων ἀρχιερεῖς· οὐδὲ γὰρ χρημάτων τὴν ἄπρατον ὠνησάμεθα χάριν, οὐ θω-*
πείαις ἐκλέψαμεν, οὐ δυναστείαις ἐβιασάμεθα, οὐ χάρισιν ἀλόγοις ἐκαπηλεύσαμεν, οὐχ
ἑτέραις τισὶ περιδρομαῖς καὶ περινοίαις ἐξειργασάμεθα, ἢ μήτε ταύτης ὀναίμεθα καὶ
τῆς ἐκεῖθεν | δόξης ἐκπέσοιμεν — τὸ δεινότατον ἁπάντων καὶ φρικωδέστατον —, 225[1]
οἳ καὶ τῶν ἄλλων, ὁπόσοι τούτοις τοῖς τρόποις ἐπιπηδᾶν τολμῶσιν ἱερωσύνῃ, πολλὴν
καταγινώσκομεν ματαιότητα καὶ σκαιότητα, ὅτι παίζειν ἐν οὕτω φοβεροῖς ὑπομένουσι
καὶ μικρὰν ἡδονῆς ἢ καὶ δόξης ἀπόλαυσιν τοσούτου θαρροῦσιν ἀντωνεῖσθαι κινδύνου,
εἴπερ εἰσί τινες οἱ ταῦτα παρανομοῦντες ἢ ἀσεβοῦντες (τὸ ἀληθέστερον) — εἴη δὲ
μηδεὶς μηδὲ γένοιτο· οὐ τοιοῦτον οὖν, ἄπαγε· οὐ μὲν οὖν οὐ τοιοῦτον, μὴ αἴσχιστον
ᾖ καὶ ἡ ἐπὶ τούτοις ἀπολογία, τὸ καθ' ἡμᾶς καὶ ἡμέτερον· ἀλλὰ γενναῖον μέν που
κἀκεῖνο (ἤδη γὰρ τολμήσω νεανιεύσασθαι, τῇ ἀληθείᾳ θαρρήσας) τὸ βιασθῆναι περὶ
τὸν θρόνον καὶ τέλος ἐνδοῦναι, μὴ λαμβάνειν δόξαντας χάριν, ἀλλὰ διδόναι, καὶ
πεισθέντας μᾶλλον ἢ πείσαντας· γενναιότερον δὲ τὸ καὶ αὐτοὺς ὑμᾶς ἔχειν μάρτυρας
μετὰ μυριάδων ἄλλων πλειόνων τῆς ἐμῆς εἴτε προπετείας εἴτ' ἐλευθερίας ταύτης καὶ
παρρησίας, ὡς ἐμαυτὸν ἐγὼ πείθω καὶ ὑμᾶς συμπείθειν οὐκ ἀπιστῶ.

| [10]*Ἀλλ' ἀφείσθω μὲν ἤδη τοῦτο τὸ μέρος· τί γὰρ ἀποδείξεώς δεῖ τοῖς οὕτω* 225[2]
παρὰ πᾶσι πεπιστωμένοις ἐξ ὧν ὅτι θεῖον τὸ ἔργον καὶ οὐκ ἀνθρώπινον[.....] ἢ πῶς ἂν
τις μᾶλλον ἑτέρως τὸ ἐκ θεοῦ παραστήσειεν; εἰ δὲ θεῖον, καὶ ἄξιον τῆς εἰργασμένης
πάντως δυνάμεως. οὐκ ἂν δ' ἄλλως ἄξιον εἴη, μὴ τῆς τε ψυχικῆς ἀτονίας καὶ τῆς σω-
ματικῆς ἀσθενείας ἐκεῖθεν ἡμῖν ἐπιρρωσθείσης καὶ τονωθείσης ὅθεν ἐνισχύεται τὰ
ἀδύνατα καὶ οἱ ἀσθενοῦντες περιζώννυνται δύναμιν. [11]τοῦτο μὲν οὖν εἰς ἕτερον ἀνα-*
βεβλήσθω καιρόν· προσευχῶν γάρ, οὐ λόγων, κατόρθωμα τὸ ποθούμενον, καὶ προσευχῶν
ἄλλων τε πολλῶν ἴσως καὶ τῶν ὑμετέρων οὐχ ἥκιστα, οὓς ἐθάδας ἔχει θεραπευτὰς
ὁ μέγας οὗτος τῆς χώρας οἰκιστὴς καὶ φύλαξ καὶ πολιοῦχος, ὃν οὐκ εἰκὸς παράκλησιν
ἀτιμάσαι εὔνου καὶ γνησίου λαοῦ ὑπὲρ ἀσθενοῦς ποιμένος νεήλυδος κοινῇ προσφερο-
μένην εὐψύχως, ὡς ἄν τά τε ἄλλα καὶ πρὸς τὸν καταρτισμὸν ὑμῶν εὐτονώτερον καὶ
προθυμότερον ἔχοιμεν, εἴπερ ἐνδέοι τι καὶ ἔτι πρὸς τελειότητα. ὑπὲρ | οὗ πᾶς ὁ 226[1]
λόγος τῆς περὶ ἡμᾶς ἀνελπίστου ταύτης μεταβολῆς καὶ καινοτομίας, καὶ πρὸς ὃ τἄλλα
πάντα, τὴν εὐθηνίαν δὴ λέγω τῶν τῆς γῆς ἀγαθῶν οἷς ὑμεῖς περικλύζεσθε διὰ τὸν
πλούσιον τοῦτον χορηγὸν καὶ δοτῆρα, καὶ οἷς ἡμᾶς ἴσως οἴεσθε θέλγειν τοῦ μηδενός
ἐστιν ἄξια θεῷ τε κἀμοί, κἂν ἔτι πλείω τε καὶ λαμπρότερα τούτοις ἐπιβλύσειεν ἕτερα,

9 Galat 1, 1 | 10 Regn α 2, 4 | 226[1] edidi quae praebet apogr

ἐπεὶ μιᾶς ὡς ἠκούσατε* ψυχῆς ἀνθρωπίνης οὐδ' ὁ σύμπας κόσμος ἀντάξιος· τοσούτου
γε δεῖ τῶν τοσούτων ἅμα τὸ μέρος, κἂν τὸν ἐν Ἐδὲμ παράδεισον εἴποι τις, ἐπεὶ καὶ
αὐτὸς ἐκεῖνος διὰ τὸν ἄνθρωπον, ὥσπερ δὴ καὶ ὁ κόσμος. [12]ἄλλως τε κἀκεῖθεν ἡμεῖς
ὅθεν αἱ τῶν πλούτων πηγαί, καὶ οὗ τῶν καλῶν τῶν ἀνθρωπίνων οἱ θησαυροί, ἐκ
περάτων γῆς πανταχόθεν ἐκεῖσε δαψιλέστατα συρρεόντων καὶ πρὸς τὰ πέρατα πάλιν
ὡς ἔκ τινος παγκοίνου καὶ παγκοσμίου δεξαμενῆς ἀγαθῶν ἀπορρεόντων ἐκεῖθεν καὶ
καταμεριζομένων εἰς ἅπαντα τὰ μέρη τῆς οἰκουμένης, ὥστε θαυμαστὸν ἀστέρες | οὐ- 226^2
δὲν τῷ πολλάκις αὐτὸν ἐπεσκεμμένῳ τὸν ἥλιον, καὶ τὸν ἐντριβέντα θαλάσσῃ λίμνης
ὄψις οὐ καταπλήξει· ἐῶ γὰρ εἰπεῖν ὡς οὐδ' ἐπ' ἐκείνοις ἂν γνώμη καταθαμβηθείη
στερρά, ἐπεὶ καὶ ἄμφω ἐκλείπει, καί γε τῷ παντὶ συνεκλείψει καὶ τὰ τηλικαῦτα πάντως
στοιχεῖα, τὸ μὲν σβεννύμενον, τὸ δὲ ξηραινόμενον, καί τις καινοτέρα κατάστασις οὐκ
εἰς μακρὰν τὰ παρόντα μεταμείψει καὶ διαδέξεται, εἴπερ ἀψευδεῖς αἱ γραφαί, ἐπὶ
θύραις ἤδη τὸ τέλος διαρρήδην* προσαγορεύουσαι, κἂν ὡς ἀκινήτοις ἡμεῖς τοῖς οὐ μέ-
νουσι τούτοις οὐδ' ἑστηκόσι προσέχωμεν. ὅτε δὲ τὸ ὅλον ἀπέρχεται, πῶς τὸ μέρος παραμενεῖ;
καὶ μέρος ὃ βούλει, κἂν τὸ πάντων ἐξαίρετον καὶ τιμιώτατον εἴποις. εἰ δὲ τὸ τοιοῦτον
οὐ μόνιμον, πῶς ἂν ἄλλο τι τῶν ἧττον θαυμαζομένων ἢ τιμωμένων; οὐκ οὖν τὸν ἀστέρα
λίαν ἐκπλαγησόμεθα διὰ τὸν ὑπερλάμποντα ἥλιον, ἐπεὶ μὴ δεδόξασται, καίτοι δεδοξα-
σμένος διὰ τὴν τῆς δόξης ἐκείνης ὑπερβολήν, ὅπερ ἤκουσας, οὐδὲ μέντοι τὸν | ἥ- 227^1
λιον, τὸ θαυμασιώτατον θαῦμα πάντων θαυμάτων, ὅτι καὶ οὗτος ἐκλείπει, οὐδὲ πόλεως
τοίνυν ὑπηκόου καὶ δουλευούσης, ὅτι καὶ ἡ ταύτης κρατοῦσα καὶ πλοῦτον καὶ δόξαν καὶ
τὴν ἀρχὴν καὶ αὐτὴν δὴ τὴν ὕπαρξιν πρόσκαιρον, οὐκ ἀΐδιον, ἔχει· διὰ τοῦτο οὖν οὐκ
ἀξία, ὅσον ἐπὶ τούτοις τοῖς προτερήμασι, μακαρισμοῦ καὶ ζήλου καὶ θαύματος τῷ γε
συνετῷ τὴν διάνοιαν. εἰ δ' οὐκ ἐκείνη, πῶς αὕτη; ἣ τοσοῦτον ὑστερεῖ περὶ ταῦτα, οὐχ
ὅτι μόνον ἐκείνης τῆς πασῶν ἀσυγκρίτως ὑπερφερούσης, ἀλλὰ καὶ πολλῶν ἄλλων πό-
λεων ὑποτελῶν ὁμοίως καὶ ὑποφόρων, κἂν ὁ λόγος ἐξαίρειν προθυμῆται* τὰ κατ' αὐτήν,
ὡς οἰκείαν ἤδη σεμνύνων καὶ κοσμεῖν ἐπιχειρῶν ὅσον ἔξεστι, τὰ πολλοῦ μὲν χρόνου καὶ
πόνου, πολλῆς δὲ φροντίδος καὶ μέντοι καὶ δαπάνης συχνῆς ὡς ὁρῶ, πρὸς ἐπανόρθωσιν
χρῄζοντα. [13]ἀλλ' ἵνα μὴ δόξω τις ἀηδὴς μηδὲ ἄχαρις ἐκ πρώτης εὐθύς, τῶν παρ'
ὑμῖν τι τέως θαυμαζομένων ἀρχόμενος κακίζειν καὶ μέμφεσθαι, ταῦτα μὲν ἔστω κρά-
τιστα πάντα, καὶ λεγέσθω | τοιαῦτα — χάριν ὑμῶν· ἡμᾶς δ' οὖν οὐ τούτοις 227^2
αἱρήσετε· μὴ οὕτως ὑπολαμβάνετε· οὐ γὰρ ἐπὶ τούτοις τὸ χρίσμα καὶ τὸ πνεῦμα καὶ
ἡ ἀνάρρησις· ἀλλ' ἄλλος μέν τις πρὸς ταῦτα διακείσθω περιχαρῶς, εἴ γε βούλοιτο, καὶ
τὴν ἐν αὐτοῖς εὐκληρίαν τέλος ἤδη τιθέσθω τοῦ σκοποῦ καὶ τῆς προχειρίσεως· τὸ δὲ
παρ' ἡμῶν ζητούμενον ἕτερον, ὥστε πάντας ὑμᾶς πρὸς τὴν ἄνω μάνδραν ἐκ ταύτης
ὁδηγῆσαι καὶ εἰσελάσαι, ἧς ὁ τόπος τῆς χλόης* καὶ τὸ ὕδωρ τῆς ἀναπαύσεως, ἔνθα
τοῦ κυρίου ποιμαίνοντος, οὐδένα οὐδὲν τῶν ἀγαθῶν ὑστερήσει, καὶ προσενεγκεῖν σεσῳ-
σμένους τῷ διψῶντι σωθῆναι πάντας ἀνθρώπους καὶ τῆς πατρικῆς εὐλογίας ἅμα καὶ
βασιλείας — ὡς καὶ ἀπ' ἀρχῆς ἐπὶ τούτῳ γενομένους — κληρονομῆσαι.

[14]ἵν' οὖν τύχοιμεν τοῦδε τοῦ ὄντως ἐφετοῦ τε καὶ μακαρίου, καὶ μή τινος ὑμῶν σωτηρίαν τῶν ἐμοὶ πεπιστευμένων ζημιωθείημεν, οὕτω μοι τὸ πρᾶγμα διέλεσθε· δότε

11 Matth 16, 26 | 12 Cor α 10, 11? Petr α 4, 7? | 12 προθυμεῖται codex | 13 Psalm κβ 2 1

χάριν διπλῆν· δότε πρόθυμοι θεῷ καὶ ἡμῖν· ἰδίαν μὲν πρὸς ἡμᾶς, εἴγε βούλεσθε, τὴν
ὑπὲρ ἡμῶν ὅπερ ᾔτηται πρεσβείαν | καὶ ἔντευξιν δι' ὧν προείρηται λόγον, κοινῇ 228[1]
δὲ θεῷ τε κἀμοὶ τὴν ἐπὶ πᾶσιν εὐπείθειαν, ἥτις οὐχ ὡς χάρις αἰτεῖται, ἀλλ' ὡς ἀπα-
ραίτητον ὄφλημα παρ' ὑμῶν ἀπαιτεῖται· αὐτοὶ δ' ὅμως χάριν τὸ χρέος διὰ τῆς εὐγνω-
μοσύνης ποιήσετε, ἑκόντας ἑαυτοὺς καὶ προθύμους εἰς ὑπακοὴν ἡμῖν χαριζόμενοι, ἵν'
ὄντως καλὸν τὸ παρ' ὑμῖν καλὸν ᾖ, μὴ πρὸς ἀνάγκην γινόμενον, ἀλλ' ἀγαπητῶς ἐνερ-
γούμενον, ὃ τοῦ καθ' ἡμᾶς ἐστὶ λόγου καὶ τῆς ἀρίστης τοῦ πνεύματος νομοθεσίας καὶ
εὐταξίας· καὶ πῶς γὰρ οὐκ ἄτοπον, τὰς κοσμικὰς μὲν ἀρχὰς τοὺς ἑαυτῶν σῴζειν ὅρους
καὶ πειθοῖ τὰ πολλά, μὴ βίᾳ περαίνεσθαι, ὑμᾶς δὲ τοὺς ἄνωθεν, οὐκ ἐκ γῆς, ἀρχο-
μένους, οἳ καὶ τοῖς ἄλλοις ὀφείλετε παράδειγμα καλοῦ παντὸς εἶναι καὶ τῷ καθ'
ἑαυτοὺς ἀρχετύπῳ ῥυθμίζειν τοὺς πολλοὺς εἰς τὸ βέλτιον, ἀγνωμονεῖν πρὸς τὸν ἄγοντα
καὶ ζυγομαχεῖν πρὸς τὸν λόγον καὶ τοῦ προσβιάζοντος δεῖσθαι καὶ τοὺς ἀκινήτους
νόμους τῆς τάξεως ἀνατρέπειν καὶ λύειν, ἣ καὶ τὰ ἐπίγεια λέγεται συνέχειν καὶ τὰ
οὐράνια, μεθ' ἧς ἐν | στρατηγίᾳ μὲν τρόπαια, ἐν δὲ κυβερνητικῇ σωτηρία, ἐν δὲ 228[2]
πάσαις ἁπλῶς ἡγεμονίαις εὐστάθεια, καὶ πάλιν ἧς ἄνευ ἐκεῖ μὲν ἧτται καὶ κίνδυνοι,
πανταχοῦ δὲ καθ' ἅπαξ διαφθορὰ καὶ ἀπώλεια; [15] *τοῦτο τοίνυν πρῶτον καὶ μάλιστα*
δότε τῷ θεῷ καὶ ἡμῖν — ἢ ἀπόδοτε —, το πειθαρχεῖν εὐγνωμόνως καὶ τοῖς ὑφ' ἡμῶν λεγο-
μένοις οὖς ὑπέχειν εὐήκοον· τὰ δ' ἄλλα διδάξει καὶ ὑποθήσει κατὰ καιρὸν τὸ πνεῦμα
τὸ ἅγιον, σοφίζον μὲν ὡς πνεῦμα σοφίας, ὡς ἡγεμονικὸν* δ' ὁδηγοῦν, καὶ χορηγοῦν*
ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν εἰς δόξαν ἑαυτοῦ καὶ τιμήν, εἰς οἰκοδομὴν*
ὑμετέραν, εἰς καύχημα ἐμόν, ὃς ὑμῖν ἐχαρίσθην διὰ τοῦ χρίσαντος πνεύματος, καὶ
*ὑμᾶς δῶρον ἔλαβον καὶ κλῆρον ἠγαπημένον, ὡς καὶ αὐτὸς λέγειν δύνασθαι τὸ ψαλμικὸν**
ἐκεῖνο σὺν παρρησίᾳ Καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοι ἐστί· καί γε εἴη τοιαύτη
καὶ διαμένοι, μᾶλλον δέ μοι προβαίνοι καὶ προκόπτοι ἐπὶ τὰ ἔμπροσθεν, ὡς μὴ μόνον
τὸ τάλαντον ψιλὸν ἀποδῶμεν, ὃ καὶ ἄλλος ποιήσας (ἀπέστω δὲ μακρὰν | τὸ 229[1]
ὑπόδειγμα) ὡς πονηρὸς κατεκρίθη δοῦλος καὶ ὀκνηρός, ἀλλὰ καὶ τὴν ἐπ' αὐτῷ παρα-*
στήσωμεν ἱκανῶς ἐργασίαν, ὑπὲρ ἧς ἡ πολύευκτος μαρτυρία καὶ ἡ ἀνάρρησις καὶ τὸ
μετ' ἐλπίδος λαμπρᾶς εἰσελθεῖν εἰς τὴν χαρὰν τοῦ κυρίου, εἰς ἣν πάντας γένοιτο κα-
ταντήσειν ὑμᾶς, καὶ ποιμένας ἅμα καὶ ποίμνια, τοὺς μὲν τοὺς μισθοὺς τῶν ἐπὶ τῇ
διδαχῇ τοῦ πιστοῦ λόγου κόπων καὶ πόνων, τοὺς δὲ τοὺς στεφάνους τῆς ὑπακοῆς λη-
ψομένους παρὰ τοῦ δικαίου τῶν πάντων διαιτητοῦ καὶ μισθαποδότου.

[16] *Ταῦτα, φίλοι καὶ ἀδελφοί, τὰ ἐμὰ πρὸς ὑμᾶς τοὺς δεξαμένους ἐπιβατήρια·*
οὗτος, ὦ πατέρες καὶ τέκνα, μᾶλλον δὲ τέκνα πάντες διὰ τὴν υἱοθεσίαν τοῦ πνεύματος,
ὁ πρέπων τῷ καιρῷ προσφωνητικός· τοῦτον προσάγομεν ἡμεῖς καὶ καρποφοροῦμεν,
ἀνάθημα μὲν τῷ σεβασμίῳ ναῷ τῶν ἐξ ὕλης ἀψύχου τούτων οἷς καλλωπίζεται, ὅμως
δὲ τιμίων ἴσως οὐκ ἀτιμότερον, ὑμῖν δ' ἀπαρχὴν τῆς ἡμετέρας διδασκαλίας, εἴτε τοῦτο
τέως καὶ μόνον, εἰ τύχοιμι τῆς ποθουμένης εὐνοίας πρός αὐτούς τε τοὺς | λό- 229[2]
γους καὶ πρὸς τὸν λέγοντα, εἴτε τὸν αὐτὸν καὶ συμπλήρωσιν, εἰ τοῦ ἐφετοῦ διαμάρτοιμι·
τοσοῦτον γὰρ ἀμυνοῦμαι τὴν σφόδρα μισουμένην ἀγνωμοσύνην — ἧς ἐν μηδενὶ πειρα-
θείημεν, ἀλλὰ καὶ πολὺ τοὐναντίον — ὥσπερ δὴ ταῖς ἔξωθεν ταύταις πανδήμοις φιλο-

15 Isa 11, 21 | 5 Psalm ν 14 | 15 Ephes 6, 19 | 15 Psalm ιϛ 6 | 15 Matth 18, 32

φροσύναις καὶ λαμπραῖς ὑπαντήσεσιν, ἐν αἷς ὡς ἐνῆν, ἐφιλονεικήσατε καὶ πρὸς αὐτὴν
τὴν βασιλίδα τῶν πόλεων, τὴν περὶ ἡμᾶς διαβόητον ἐκείνην τιμὴν καὶ δορυφορίαν*
ἁμιλληθῆναι οὕτω φιλοτίμως ἢ καὶ λαμπρότερον, κἂν ταῖς ὑμετέραις καρδίαις ὑποδεχ-
θείημεν καὶ ταύτην εὕροιμεν μᾶλλον παρ' ὑμῶν τὴν δεξίωσιν ὑπὲρ μυριάδας ἀρνῶν
πιόνων καὶ θησαυροὺς πολυπλούτους χρυσίου καὶ ἀργυρίου, ὧν ὀλίγον τὸ κέρδος καὶ
ἀνόνητος ἡ ἀπόλαυσις, εἰ καὶ σαίνει τὴν αἴσθησιν καὶ παρακλέπτει τὰ πλείω τοὺς μὴ
τὸ ὄντως ὀρεκτὸν καὶ μακάριον εἰδέναι προαιρουμένους, ὅς εστιν ὁ πρῶτος ἡμῶν ἀρχιε-
ρεὺς καὶ ποιμήν, ὁ καὶ θεὶς τὴν ψυχὴν ὑπὲρ τῶν ἰδίων προβάτων καὶ λαβὼν αὐτὴν*
πάλιν, | ὡς εὐδόκησε σήμερον ἐν τῇ κυρίᾳ καὶ πρώτῃ καὶ μεγίστῃ ταύτῃ τῶν 230[1]
ἡμερῶν, ἣν αὐτὸς καὶ ἐδόξασε καὶ πάλιν δοξάσει τῇ τε προκατάρξει τῶν ἔργων καὶ*
τῇ ἐκ νεκρῶν ἀναστάσει καὶ μετ' οὐ πολὺ τῇ τοῦ πλάσματος ἐκ τάφων ἐπανακλήσει·
καὶ τοῦτο γὰρ δή που λίαν ὀρθῶς (ὡς ὁ ἐμὸς λόγος) καὶ πιστεύεται πολλοῖς καὶ ἐλπί-
ζεται· ἀφ' ἧς νυνὶ καὶ ἡμεῖς τῶν ἡμετέρων λόγων καὶ ἔργων οὐκ ἀλόγως ἀρχόμεθα,
πρὸς τηλικοῦτον παράδειγμα σκοποῦντες καὶ ἀφορῶντες, καὶ τὴν ἐκεῖθεν εὐόδωσιν καὶ
συνεργίαν ἐπικαλούμενοι παρὰ τοῦ πάντων ἡμῶν δημιουργοῦ καὶ σωτῆρος, τοῦ ἐν πατρὶ
καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι τιμωμένου, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. ἀμήν.

185. *Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων λόγος εἰς τοὺς ἐκταράσσοντας*
φόβους καὶ τὰς γινομένας θεοσημείας.*

[1] *Εἴργει μοι τὸν λόγον ἡ ἀθυμία, καὶ τὴν γλῶσσαν ὁρμῶσαν ἐπέχει τὰ σκυθρωπά·*
ἡ δὲ κρείττων ὅμως ἐλπὶς ἀνακαλεῖται τὴν προθυμίαν, καὶ τὰ μὲν οἷα νέφος τι παχὺ
καὶ ζοφῶδες ἠρέμα λεπτύνει καὶ | διακόπτει, τὴν δὲ καθ' ἅπερ διά τινος ἀκτῖνος 230[2]
τοῦ λόγου κατὰ μικρὸν αὐγάζειν ποιεῖ καὶ πρὸς τὰ ἐκτὸς διαχεῖσθαι καὶ τὸ ἑαυτῆς
ἀκωλύτως ἐπιτελεῖν· ὡς εἰ μὴ παρῆν αὕτη γοῦν, ἡ λοιπὴ καὶ τελευταία βοήθεια (τὴν
ἐλπίδα λέγω τὴν θαυμασίαν, τὸ κοινὸν καὶ μέγα τοῖς ἐν θλίψεσι φάρμακον, ἧς τὸ
πρῶτον καλὸν τὸ μὴ καταισχύνειν ἀκούομεν), ἓν ἐλείπετο τάχα τοῖς παροῦσι κακοῖς,*
σιγῇ που κατακεῖσθαι καὶ στένειν μόνον ἡμᾶς, ἑαυτῶν καθ' ἅπαξ ἀπεγνωκότας καὶ
το μέλλον ὡς ἄφυκτον σὺν τρόμῳ καραδοκοῦντας. [2] *οὕτως ἐξέστημεν ἐφ' οἷς ἑωράκα-*
μεν, οὕτως ἐτάκημεν ἐφ' οἷς κατεπλάγημεν, μᾶλλον δὲ καὶ ὁρῶντες εἰς ἔτι καὶ ἀκούοντες
ἐξιστάμεθα καὶ ὡς κηρὸν τὴν καρδίαν ἐν μέσῳ τῆς κοιλίας τηκόμεθα· τὸ γὰρ δὴ φο-
βερώτατον, ὅτι μὴ μόνον ἡμᾶς πανταχόθεν ἤδη σφοδρῶς ἐξετάραξαν οἱ φοβερισμοὶ
τοῦ θεοῦ, ἀλλὰ καὶ παραμένει τὰ δείματα, μᾶλλον δὲ προβαίνει πληθύνοντα καὶ τὸν
φόβον ημῖν διὰ τῆς προσθήκης συναύξοντα. [3] *τοσοῦτον (ὡς ἔοικεν) ἐν κα|κοῖς* 231[1]
ἐπλουτήσαμεν, καὶ οὕτω τὴν θείαν μακροθυμίαν εἰς τέλος ἐδαπανήσαμεν, ὡς τὴν ὀργὴν
ὅλην ἄκρατον ἑλκῦσαι πρὸς ἑαυτούς, καὶ τοῦ θυμοῦ τὸν τρυγίαν τὸν τοῖς ἀσεβέσι τη-*
ρουμενον αὐτοὶ κινδυνεύειν ἐλεεινῶς ἐκπιεῖν, τὴν ὑπόλοιπον ἔτι τῶν καθ' ἡμᾶς κακῶν
ἰατρείαν — εἴτε τινὰ καῦσιν ὑποληπτέον αὐτὴν εἴτε παντελῶς ἐκτομήν — ἀναγκαίως
παρακινήσαντες. [4] *ἀψευδὲς δὲ τοῦ λόγου τεκμήριον ὁ στυγνὸς καιρὸς οὗτος, εἰς συναί-*
σθησιν ἄγων καὶ συνάγων ἡμᾶς καὶ πείθων, εἰ καὶ μὴ πρότερον, νῦν γοῦν εὐγνώμονας
*γίνεσθαι δικαστὰς ἑαυτῶν κἀντεῦθεν ὀρθῶς περὶ τῶν προκειμένων λογίζεσθαι· ἔστι**

16 *τῆς βασιλίδος* B | 16 Ioh 10, 11 | 16 Ioh 12, 28 | 0 *θεοσηβειας* B | 1 Rom 5, 5 | 3 Ps οϑ 9 | 4 C[m] *γνώμη*

γὰρ ὡς ἐπίπαν φύσις αὕτη τοῦ πράγματος· τὸ μὲν παρὰ τὴν ἀξίαν εὖ πράττειν κακο-
φροσύνης αἰτία τοῖς ἀνοήτοις καθίσταται, 'εὐβουλίας δὲ καὶ φρονήσεως δυσπραγία
διδάσκαλος· καὶ ῥᾷον ἄν τις συνίδοι κακοπραγῶν τὰ τοῖς πολλοῖς δυσθεώρητα ἢ τὰ
πᾶσιν εὐσύνοπτα συνήσει εὐημερῶν. [5] ἀλλ' ἐπεὶ ὡς μὴ ὤφελεν εἰς ταῦτα κατέστημεν,
καὶ χρεία νῦν μάλιστα τῆς ἀρίστης βουλῆς, | τοῦ μεγίστου κινδύνου πανταχόθεν 231[2]
ἐπικειμένου, καὶ διατριβὴν οὐ διδόντος οὐδ' ἀναβολὴν τοῦ καιροῦ, φέρε τὰ παρόντα
δεινὰ καὶ πρὸς τούτοις τὰ τούτων ἐπισκοπήσωμεν αἴτια. ὅτι δὲ τὸ μᾶλλον πιέζον καὶ
μᾶλλον προκαλεῖται τὸν λόγον, ἀρίστη τε τάξις συμβουλῆς ἔμφρονος προειπεῖν μὲν
τὸ πάθος, ἐφεξῆς δὲ γνωρίσαι τὰ τοῦ πάθους ἐργαστικά, καὶ τρίτον τὸν τρόπον τῆς
θεραπείας ἐπενεγκεῖν, εἰκότως ἡμεῖς περὶ τῆς τοῦ καιροῦ χαλεπότητος καὶ τῶν ἐκταρασ-
σόντων τούτων φυβήτρων καὶ θορυβούντων ἡμᾶς διαλεξόμεθα πρότερον, εἶθ' οὕτως
ἤδη τὸν λόγον πρὸς τὰ λοιπὰ τρέψομεν, ἵν' εἰδεῖεν σαφῶς οἱ τὰ πάντα νεανικοὶ καὶ
πρὸς οὐδὲν εἰδότες ἐκπλήττεσθαι τῶν ἄλλοις δεινῶν μὴ σφόδρα προχείρους καὶ ψοφο-
δεεῖς ἡμᾶς ὄντας μηδ' ἐκεῖ φοβουμένους φόβον, οὗ φόβος οὐκ ἔστιν*, ἀλλὰ καὶ λίαν
εὐλόγως ἐπὶ τούτοις θορυβουμένους καὶ τῶν ἄλλως ἐχόντων πολλὴν εἴτε ἄνοιαν εἴτε
ἀπόνοιαν δικαίως καταγινώσκοντας. [6] τίνα τοίνυν ἡμῖν τὰ τὴν ψυχὴν | ἐξιστῶντα 232[1]
καὶ τοσαύτην δειλίαν τοῖς λογισμοῖς ἐπιφέροντα; δεῦτε ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν
τοῦ θεοῦ τὰ θαυμάσια*· τί δ' »ἀκούσατε« λέγω καὶ »διηγήσομαι«; ἴδετε μὲν οὖν, καὶ
συνόψομαι· μᾶλλον δὲ μικροῦ πάντες ἄνθρωποι καὶ ἑωράκαμεν ἤδη καὶ πεπιστεύκαμεν
— οἵ γε σωφρονέστερον ἔχοντες — καὶ ὁρῶμεν εἰς ἔτι καὶ ἀλλήλοις δεικνύομεν μετὰ
φρίκης ἅμα καὶ θαύματος· ἔχει δὲ τὸ πᾶν οὕτως.

[7] Ἰωὴλ μὲν ὁ θεῖος, τὸν ἄλλον παράκλητον προθεσπίζων ἡμῖν ἐπὶ τοὺς τοῦ λόγου
μαθητὰς ἐλευσόμενον, τέρατά τινα δώσειν ἐν οὐρανῷ ἄνω καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω
τὸν θεὸν εἰσάγει* ἐπαγγελλόμενον, καὶ τίνα ταῦτα δεικνὺς (αἷμα καὶ πῦρ φησὶ* καὶ
ἀτμίδα καπνοῦ) περὶ μεταβολῆς τε φωστήρων διαρρήδην προλέγει καὶ ταῖς ἐσχάταις
ἡμέραις ὑπισχνεῖται τὴν ἔκβασιν. ἀλλ' ὅσα μὲν περὶ πνεύματος, ἐντελὲς ἔχει πέρας ἐν
τοῖς τοῦ πνεύματος, εἰ καὶ τὰ τοῦ πνεύματος εἰς ἀπέραντον, τὰ δ' εἰς αἷμα καὶ πῦρ
καὶ τὰ τούτοις ἑπόμενα οὐχ ἧττον ἢ πρὶν ὁ καθ' ἡμᾶς οὗτος ἥλιος καὶ νῦν ἐφορᾷ,
πρῶτον μὲν | αὐτὸς ὁραθεὶς εἴδους ἄνευ καὶ κάλλους, ὁ τερπνότατος πάντων 232[2]
τῶν ὁρωμένων καὶ κάλλιστος, ἡνίκα τὸ μέγα καὶ λαμπρὸν τοῦτο φῶς ἀποβαλεῖν ἐκιν-
δύνευσεν, ἐκλείπων ἐν οὐρανῷ, ἔπειτα δὲ καὶ τὰ παράδοξα ταῦτα παρ' ἡμῖν νῦν ὁρῶν,
παρ' ἡμῖν, ὢ ταλαίπωρε γενεὰ τῶν νῦν ζώντων, εἰς οὓς τὰ δύστηνα τέλη τῶν αἰώνων
κατήντησεν*. ἔστι δὲ τὰ παράδοξα τὰ ἐν ὄψει δὴ ταῦτα· πυρὸς μὲν ἴχνη πολλά, δέους
τε καὶ φρίκης μεστὰ πολλαχοῦ θεωρούμενα καθ' ἅπερ σκηπτῶν ἢ κεραυνῶν ἐμβολαί,
τῷ τοῦ πυρὸς δραστηρίῳ τὸ τῆς πληγῆς συνυπεμφαίνοντα βίαιον, καὶ διττόν τινα φόβον
ἑκατέρωθεν ἐπιβάλλοντα, τοῦτο μέν, ὅτι πῦρ, τοῦτο δ', ὅτι καὶ βέλος τὸ κατασκῆψαν
εἰς τὰ ὁρώμενα. [8] ἀλλὰ πῦρ, ἀλλὰ βέλος — βαβαὶ* τῆς ἀπειλῆς ὡς φρικώδης —
οὕτω τι σφοδρὸν καὶ ῥαγδαῖον, ὡς καὶ πέτρας ῥᾳδίως ἐκκαῦσαι καὶ δαπανῆσαι τὴν
σκληρὰν ταύτην φύσιν καὶ στερράν, καὶ ἀντίτυπον ἀπό τε τοῦ χρώματος ἀπό τε τοῦ

5 Psalm ιγ 5 | 6 Psalm ξε 16 | 7 Ioel 2, 30 | 7 Corinth α 10, 11 | 8 βαβαὶ ex βαβαῖ correctum uidetur a C[1] *Studemund*

σχήματος ὄντα θεῖα παρασημαίνοντα· λευκαὶ γοῦν οἷ|ον ἀκτῖνες εἰς πολὺ παρα- 233[1]
τείνουσι, κατ' οὐδέν τι συμβαίνουσαι τῇ συνηθείᾳ τῆς ὄψεως, εἴτε ῥάβδους εὐθύτητος,*
στρεβλοτήτων κακίας ὀρθωτικάς, εἴτε καὶ δακτύλους θεοῦ, κολαστικοὺς τῶν ἀφρόνων,*
εἴτε τι ἄλλο τοιοῦτον ὀνομαστέον ταύτας καὶ νομιστέον, πάντως δ' οἶμαι δυνάμεις τινὰς
απειλητικάς τε καὶ φοβεράς, κίνησιν θεοῦ σφοδροτάτην ἐμφανῶς σημαινούσας· αἱμάτων
τε βόλοι, κατὰ γῆς οὐκ οἶδ' ὅθεν συνεχεῖς πίπτοντες καὶ τὰ ἐδάφη*[sic] *φοινίσσοντες*
ὁμοῦ καὶ μελαίνοντες, σταλαγμοί τινες φόνου τοῖς ὀρθὰ βλέπουσι καὶ πραγμάτων οἰ-
κτίστων ἀψευδεῖς κήρυκες, πανταχοῦ σχεδὸν ἤδη καὶ πᾶσιν ἐπιφαινόμενοι· πλήρη μὲν
ἱερά τε καὶ τεμένη καὶ ἅγια, πλήρεις δ' ἀγοραὶ καὶ οἰκίαι, πλήρεις δὲ στοαὶ καὶ αὖλαὶ
καὶ περίπατοι καὶ ὀλίγου δεῖν τόπος ἅπας τῶν ἀπ' οὐρανοῦ τεραστίων. [9] *τί δ' ἂν*
περὶ θείων τις εἴποι συμβόλων καὶ τυπωμάτων, ἐν εὐαγέσιν ἐδάφεσι[sic] *πλαξί τε καὶ*
τοίχοις ἀθρόον ἐκφαινομένων, ἵνα κἀντεῦθεν τάχα φανείη τὰ ἅγια συμπα|τού- 233[2]
μενα; τί δὲ περὶ μορφωμάτων ἁγίων μεταβολῆς καὶ τροπῆς, ἐπιστυγναζόντων ἡμῖν ὑπὸ*
συμπαθείας διὰ τὸν κίνδυνον, περὶ γραφῶν τε καινῶν, ἀναδιδομένων ἐκ γῆς, κἂν μὴ
τὸν ἐγγράφοντα ταύτας ἀστράγαλον ἀνθρωπίνοις ὡς πρὶν ὀφθαλμοῖς ἐξῇ καθορᾶν,*
μηδέ τις εὑρίσκηται καὶ νῦν Δανιήλ, σοφισθεὶς τὰ τοιαῦτα παρὰ θεοῦ, ἵν' ἔχοι προχείρως
διαλύειν συνδέσμους καὶ ἀπαγγέλλειν κρατούμενα.*

[10] *Τί μὴ λέγω τὸ μέγα θαῦμα καὶ πρᾶγμα, τὸ τοῦ κόσμου σωτήριον, τὴν τοῦ θα-*
νάτου καθαίρεσιν, τὴν τῆς ζωῆς ἀπαρχήν, τὸ τῆς μεγάλης πάλης καὶ νίκης ὄργανόν τε
καὶ τρόπαιον οὐκ ἔτι δι' ἀστέρων ἐν οὐρανοῖς καινιζόμενον, ἀλλ' ἐκεῖ μὲν εἰς ἔτι τὴν
αὐτὴν σῷζον τάξιν καὶ φύσιν μετὰ τῆς ὁμοίας λαμπρότητος (οὕτω γὰρ ἐγὼ πείθομαι),
ἐνταῦθα δὲ πολὺ τοῦ συνήθους καινοπρεπῶς ἐξιστάμενον καὶ παλμούς τινας ξένους καὶ
κλόνους ἐξαισίους καὶ τρόμους ἀπίστους ἐκ τοῦ τέως ἀτρέπτου καὶ ἀκινήτου κλονού-
μενον καὶ εἰς σημεῖον καὶ τέρας — πολλῶν τρόμων ἄξιον ἄλλων — | τοῖς 234[1]
ἀνθρώποις δεικνύμενον; μικροῦ γοῦν ἔστιν οὐδεὶς ὃς οὐ γέγονεν αὐτόπτης τοῦ θαύματος
καὶ πρὸς τούτῳ τῶν ἄλλων τεράτων καὶ θαυμασίων, ἀλλ' ἄλλον φθάνοντες ἄλλος ἐπὶ
τὴν θέαν συνέρρευσαν, καὶ συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη, μᾶλλον δὲ συρρεῖ καὶ
συντρέχει, πανταχόθεν κατεπειγόμενον· καὶ ὁρῶντες μὲν καταπλήττονται, θαυμάζοντες
δὲ πρὸς τὰ βλεπόμενα φρίττουσιν ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ
οἰκουμένῃ, ὧν οὐδέπω παρόντων ἀψευδῆ τὰ παρόντα ποιοῦνται μηνύματα, σφόδρα
περὶ τούτων φρονοῦντες ὀρθῶς τε καὶ συμφερόντως (κατά γε δόξαν ἐμήν), εἰ καὶ χαρι-
σμάτων τις δύναμις ἐκεῖθεν ἐκδίδοται· καὶ γάρ που καὶ τοῦτο προμηθῶς (ὡς ἔοικεν)
ᾠκονόμησεν ὁ σοφὸς ἡμῶν παιδευτής τε καὶ κυβερνήτης, ἐκ τῶν γνωρίμων ἡμᾶς ὁδηγη-
θῆναι πρὸς τὰ μὴ γνώριμα. [11] *ἐπεὶ γὰρ αὐτῷ τὸ μὲν εὐεργετεῖν κατὰ φύσιν, παρὰ*
φύσιν δὲ τὸ κολάζειν, διὰ τῶν οἰκείων ὥσπερ καὶ φυσικῶν βεβαιοῖ τὸ ἀλλό|τριον, 234[2]
καὶ τῷ θαύματι πιστοῦται τὸ θαῦμα, καὶ τοῖς χρηστοῖς τὰ δεινὰ κηδεμονικῶς ἀντιπαρα-
τίθησιν, ἵν' ἢ τούτοις ἡμᾶς καταιδέσῃ ἢ φοβήσας ἐκείνοις ἐκβιάσηται πρὸς διόρθωσιν,
δείξῃ δὲ καὶ ἀμφότερα ὁ αὐτὸς ἐνεργῶν, κἂν οὐ μετὰ τῆς αὐτῆς διαθέσεως, ἀλλὰ τὸ
μὲν προθυμούμενος, τὸ δὲ βιαζόμενος. διὰ τοῦτο κρᾶσις καὶ μίξις τῶν ἐναντίων παρά-
δοξος, τῷ κολαστικῷ πυρὶ τούτῳ τοῦ τῆς εὐεργεσίας φωτὸς συνανακεκραμένου καὶ συνυ-

8 Psalm *μδ* 7 | 8 Exod 8, 19 | 8 C[1] in marg *γρ' πίπτουσαι* | 9 Dan 8, 13 | 9 Dan 5, 5 | 9 Dan 5, 13

παρχοντος· διὰ τοῦτο καὶ νῦν οἱ θεαταὶ τῶν τοῦ θεοῦ μεγαλείων καὶ μάρτυρες, πορευ-
θέντες* κηρύξατε τοῖς πόρρω καὶ τοῖς ἐγγὺς ἃ βλέπετε καὶ ἀκούετε· τυφλοὶ ἀναβλέπουσι,
χωλοὶ περιπατοῦσι, πτωχοὶ εὐαγγελίζονται, ἀποκαλύψεις θεοῦ περὶ τῶν ἀδήλων δεχό-
μενοι, καὶ πάλιν ἡ χάρις ἐνεργὸς πανταχοῦ, καὶ πάλιν τὸ πνεῦμα διαιρεῖ τὰ χαρίσματα*,
καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος τοῦ κυρίου*, μᾶλλον δὲ ἤδη τὰ πάντα πλήρη δόξης
θεοῦ, ὡς κἀντεῦθεν ἔτι γενέσθαι γνωστὸν πᾶσιν ἔθνεσιν ὅτι ὁ θεὸς ἐν ἡμῖν | ἐστί*· 235[1]
πλὴν ἐν τούτῳ μὴ χαίρετε (φησὶν* ὁ ταῦτα τερατουργῶν) μηδὲ τοῖς ἐντεῦθεν μάλα
θαρρεῖτε, φοβεῖσθε δὲ τὴν ἐκεῖθεν ἀπειλουμένην ὀργήν, σφοδροτέραν ἡμῖν ἐπελευσο-
μένην εἰκότως, εἰ μηδ' ὑπὸ τούτων ἐκείνην ἀποφυγεῖν ἐναχθείητε.

12 Τὰ μὲν δὴ παρὰ τῆς θείας χρηστότητος οὕτω πανταχόθεν ἡμῖν πραγματευομένης
τὴν σωτηρίαν καὶ διὰ τρόπου παντὸς ἐκκαλουμένης εἰς τὴν διόρθωσιν τοσαῦτά τε καὶ
τοιαῦτα, εἰ καὶ τὰ πλείω παρεῖται διὰ τὸ πᾶσι κατάδηλον, τί δ' ἡμεῖς, ἀδελφοί, οἱ
τηλικαύτης ἔτι προνοίας καὶ φειδοῦς ἀξιούμενοι, τί πρὸς ταῦτα φαμέν; τίνα λογισμὸν
ἐπ' αὐτοῖς, τίνα λόγον εἰπεῖν ἀληθινὸν ἔχομεν; πόθεν ἅπαντα ταῦτα καὶ διὰ τί καὶ
πρὸς τί; αὐτοὶ τὸν σκοπὸν ἀνεπαισχύντως ἐρεῖτε καὶ τὴν αἰτίαν τοῦ πράγματος, ἢ καὶ
τούτου προθύμως τῷ λόγῳ παραχωρεῖτε καὶ προτρέπεσθε λέγειν αἰδεσθέντα μηδέν;
ἐρεῖ τοίνυν ἤδη θαρρούντως, ἐπειδὴ καὶ προτρέπεται· τοῦτο γὰρ ὑμῖν ἄντικρυς ἡ σιωπὴ
δοκεῖ βούλεσθαι.

|13 Ἐπλήσθη καὶ πάλιν ἀδικίας ἡ γῆ*· ἡμάρτομεν ἐναντίον κυρίου τοῦ ποιήσαν- 235[2]
τος ἡμᾶς*· ἠνομήσαμεν ὄντως διὰ κενῆς· ἠθετήσαμεν νόμον*· παρέβημεν διαθήκην*· ἐπλα-
νήθημεν ὀπίσω τῶν θελημάτων ἡμῶν· διεφθάρημεν καὶ ἐβδελύχθημεν ἐν ἐπιτηδεύμασιν*·
ἐξεκλίναμεν ἅμα καὶ ἠχρειώθημεν*· γεγόναμεν ὡς τὸ ἀπ' ἀρχῆς* (δεῖ γὰρ συνελεῖν
τὸ δεινόν), ὅταν ἀληθῶς οὐδὲ ᾔδειμεν θεὸν τὴν ἀρχήν. ὡς ἂν δὲ μὴ μάτην σχετλιάζειν
δοκῶ μηδὲ δυσφημεῖν οὐκ ἐν δίκῃ πρὸς τὰ παρόντα, δεῦρό μοι τῷ λόγῳ συνέπεσθε,
καὶ τὰ καθ' ἡμᾶς ὅπως ἔχει, συντόμως ἐπισκεψώμεθα· τάχα γὰρ οὕτω μᾶλλον ὑμῖν
εὐπειθεστέροις χρησόμεθα.

14 Οἱ ἱερεῖς γοῦν αὐτίκα νόμον οὐκ ἔγνωμεν, ἵν' ἀπὸ τῶν οἰκείων μου ἄρξωμαι
καὶ αὐτὸς ὡς ἡ ἀπειλή*· οὐκ ἔγνωμεν οὖν οἱ ἱερεῖς ἡμεῖς νόμον· ἴσως γὰρ οὐδ' ἀνέ-
γνωμεν — καὶ ταῦτα τὸν νόμον πιστευθέντες αὐτοί — οὐδ' ἐμελετήσαμεν θεοῦ ἐντολὰς
οὐδ' ἐμάθομεν κρίσεις καὶ δικαιώματα, ἵν' ἐκεῖθεν μετρί|ως συνιδεῖν εἴχομεν τί 236[1]
δὴ τὸ ἀξίωμα τοῦτο τὸ μέγα καὶ περιμάχητον, καὶ ποταπὸν εἶναι δεῖ τὸν ἱερωσύνης*
ἀντιποιούμενον· ἦν γὰρ ἂν ἡμῖν, ἤν τις περὶ τὸ πρᾶγμα φειδώ, μικρᾶς τινὸς γοῦν
προσγινομένης αἰσθήσεως, νυνὶ δὲ τὰ μὲν ἐν παραβύστῳ που κεῖται διερριμμένα, θαυ-
μάσαιμι δ' ἄν, εἰ μὴ καὶ καταπατεῖται τοῖς πλείοσι καὶ οὐχ ὅπως ἃ λέγουσιν, ἀλλ' ὅτι
καὶ λέγουσιν ἁπλῶς ἀγνοεῖται. 15 ἡμεῖς δὲ τὰς ἄλλας παριδόντες ὁδοὺς καὶ προσόδους
καὶ πόρους παντοδαπῆς πραγματείας καὶ πᾶσαν ἑτέραν πολιτείας ἰδέαν εἰς οὐδὲν λο-
γισάμενοι, πρὸς μίαν ἅπαντες ταύτην φερόμεθα καὶ ὠθούμεθα καὶ ὡς ἐπί τινα σκύλων
διαρπαγὴν ἐπειγόμεθα, ἀντιτρέχοντες ἀλλήλοις, συντρέχοντες, τὴν κακὴν ἅμιλλαν ἁμιλ-
λώμενοι· βατὰ δὲ τοῖς πᾶσι τὰ ἄβατα, καὶ λεωφόρος πλατεῖά τις ἡ πρὸς τὰ ἄδυτα

11 Luc 7, 22 | 11 Cor α 12, 4 | 11 Isa 6, 1 | 11 Ps ιγ 5 | 11 Luc 10, 20 | 13 Ier κη 5 | 13 Ier 3, 25 |
13 Isa 24, 16 | 13 Ez 16, 59 | 13 Ps ιγ 2 | 13 Ps ιγ 4 | 13 Isa 63, 19 | 14 Petr α 4, 17 | 14 ἱερωσύνης C[2], ἱεροσύνης C[1]

φέρουσα. μικρὸς μὲν καὶ μέγας ἐκεῖ ἐστί, καὶ καθαρὸς ἀκαθάρτῳ, καὶ ἁγνῷ συνεισπίπτει
καὶ συνεισέρ|χεται ἄναγνος, οὐδέ τις διάκρισις οἰκείου καὶ ἀλλοφύλου, οὐδὲ μέσον 236[2]
ἁγίου καὶ βεβήλου διαστολή, ἀλλὰ (τὸ θρυλούμενον τοῦτο παρὰ τοῖς πάλαι σοφοῖς) ἐν
ταὐτῷ πάντα χρήματα, καὶ ταὐτὰ μὲν ἄχρι τῆς φρικτῆς τε τραπέζης καὶ τῆς πολυζήλου
καθέδρας. τὰ δ' ἐντεῦθεν ὁ λόγος ὀκνεῖ πολυπραγμονεῖν, αἰδοῖ τε καὶ φόβῳ τῶν
ἀψαύστων καὶ ἀθεάτων ἐκείνοις προσβλέψαι τὴν ἀρχὴν εὐλαβούμενος ἃ πόδες ἄνιπτοι
πατοῦντες οὐ τρέμουσιν· οὐ μέντοι τὸ τοῦ δράματος πᾶν συγκαλύπτειν ἔχει τὸ καταπέτασμα.
ἰσχυροτέρα γὰρ τοῦ λαθεῖν ἡ τῶν πραγμάτων φωνή, κἂν ἡμεῖς φειδοῖ τῆς
αἰσχύνης τῶν οἰκείων κακῶν τήν τε γλῶτταν ὀπίσω καὶ τὰς ὄψεις ἀναβαλώμεθα*.

[16] Τὰ μετὰ τὸ βῆμα δὴ* λέγω καὶ τοὺς ἐφεξῆς βαθμούς τε καὶ θρόνους, μεθ' οὓς
ἐξυβρίζοντες ὡς ἤδη τυραννίδος τινὸς ἐγκρατεῖς βεβαίως γενόμενοι, οὐκ ἔτι καθεκτοὶ
λοιπὸν οὐδὲ φορητοί ἐσμέν· δια τοῦτο γεγόναμεν ὄνειδος* τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς
καὶ χλευασμὸς τοῖς | κύκλῳ ἡμῶν. ἤδη δὲ καὶ μέχρι τῆς σκηνῆς καὶ τῶν 237[1]
θεάτρων προήλθομεν, δημοσίᾳ τε κωμῳδούμενοι καὶ ἰδίᾳ παιζόμενοι· καθ' ἡμῶν ἀδολεσχοῦσιν
οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἡμᾶς ψάλλουσιν οἱ πίνοντες οἶνον*, ὄντες
μέν που καὶ ἄλλως σκαιοί τε καὶ φιλολοίδοροι, ἐπειδὴ καὶ λαλίστατοι διὰ τὸν φλύαρον
ἄκρατον, νυνὶ δὲ καὶ μᾶλλον διὰ τὴν εὐπορίαν τῶν ὑποθέσεων, ἃς ἡμεῖς αὐτοῖς ἀφειδῶς
καθ' ἑαυτῶν χορηγοῦντες οὐκ αἰσχυνόμεθα· διὰ τοῦτο ποιμένες πάλιν πολλοί, τὸν ἀγαπητὸν
ἀμπελῶνα* τοῦ θεοῦ διαφθείροντες καὶ τὰ τοῦ καλοῦ καὶ πρώτου ποιμένος λυμαινόμενοι
ποίμνια — τοῦτο μὲν ἀμαθίᾳ, τοῦτο δὲ μοχθηρίᾳ καὶ βίου καὶ προαιρέσεως
— καὶ τὰς ἱερὰς ἐκείνας καὶ φοβερὰς καταβοήσεις καὶ ἀπειλὰς πρὸς ἑαυτοὺς ἐπισπώμενοι.
ἀλλ' οὕτω μὲν καὶ τοιαῦτα τὰ θεῖα τῶν παρ' ἡμῖν· τὰ δ' ἀνθρώπινα πῶς καὶ τίνα
τρόπον τελεῖται, προσεξετάσωμεν.

[17] Πόλιν μέν τινα πόρνην οἱ προφῆται* θρηνοῦσι, σπήλαιόν τε λῃστῶν* καὶ φονευτῶν
οἰκητήριον* καὶ παραπικραίνοντα οἶκον* | καὶ τὰ τοιαῦτα προσαγορεύοντες, 237[2]
τὴν ἡμετέραν δὲ πόλιν, τὴν κορυφὴν λέγω ταύτην τῆς οἰκουμένης καὶ τῶν πόλεων
δέσποιναν, ἤδη μέν τις εὐστόχως τῶν θεηγόρων ὠνόμασε πόλιν παιζόντων· εὐξαίμην δ'
ἂν ἔγωγε, μὴ καὶ πόλιν θρηνούντων ἐπικληθῆναι. τίνος χάριν καὶ πῶς; ὅτι κατέλιπε
κρίμα καὶ δικαιοσύνην ἐμίσησεν, ὅτι οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ
δόλος* οὐδ' ἐπιορκία καὶ ψεῦδος οὐδ' ὑπερηφανία καὶ ὕβρις καὶ παντοδαπὴ συμφορά·
τὸ καθ' ἕκαστον γὰρ οὐκ ἐνεργούμενον μόνον, ἀλλὰ καὶ λεγόμενον αἴσχιστον, ὅτι πονηρίας
ἀρχέτυπον πάσαις πρόκειται πόλεσι καὶ χώραις ἐπὶ τῆς γῆς, οὐχ ἧττον πασῶν ἐπὶ
κακίᾳ προέχουσα ἢ τῇ περὶ τἆλλα λαμπρότητι, καὶ ὡς ἐξ ἀπόπτου τινὸς καὶ ὑψηλῆς
σκοπιᾶς τοῖς ὑποκειμένοις πᾶσιν ἐν κύκλῳ τῆς νόσου τὴν φθορὰν ἐπιρρέουσα· *πρὸς γὰρ
τὸ ὑπερέχον ὁ ζῆλος τοῖς ταπεινοτέροις ὡς τὰ πολλά, καὶ τοῖς προεστῶσι φιλεῖ πως
συνδιατίθεσθαι τὸ ὑπήκοον· διὰ τοῦτο καθ' ὅλης ἐκκέχυται τῆς γῆς ἡ παρ|ανομία, 238[1]
ὁρμὴν ἐντεῦθεν λαβοῦσα καὶ τόλμαν οὐ καθεκτήν, καὶ κατὰ παντὸς ἤδη γένους καὶ
πάσης ἡλικίας καὶ τύχης τὸ κακὸν ὑπερίσχυσεν· ἔγκειται καὶ νῦν πολλῷ μᾶλλον ἢ καθ'
οὓς ἐλέχθη καιροὺς ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος*,

15 ἀνακαλώμεθα apogr | 16 δὴ C, sed ὴ a C[2] in ras | 16 Psalm οη 4 | 16 Psalm ξη 13 | 16 Isa 5, 1 | 17 Isa 1, 21 | 17 Ier 7, 11 | 17 Isa 1, 21 | 17 Ezech 2, 5 | 17 Psalm νδ 12 | 17 C[m] γνώμη 17 Gen 6, 5

πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν* πειθαρχεῖ πονηρίᾳ. ἔμπαλιν ἢ τὸ γραφικὸν
βούλεται, προαιρεῖται τὸ φαῦλον, τὸ μέν τι καὶ αὐτὸ πρὸς τὸ χεῖρον ἐπιρρεπῶς εὐθὺς
ἔχον — ἅτε ῥᾷστον καὶ κάταντες —, τὸ δὲ καὶ παρὰ τῶν τεκόντων εἰς τοῦτο προσβια-
ζόμενον. νεανίσκοι καὶ παρθένοι σάρκες ἔρημοι νοῦ, μεσταὶ δὲ κενοῦ καὶ ἀλογίστου
φρυάγματος. καὶ ἔκυψεν ἄνθρωπος καὶ ἐταπεινώθη ἀνὴρ* ὑπὸ τὸν βαρὺν τῆς ἰδίας
ἐπιθυμίας κλοιόν. οἱ πρεσβύτεροι πάλιν νέα φρονοῦσιν, οὐχὶ πρεσβύτερα, καὶ (τὸ τῆς
καλῆς παροιμίας) δὶς καθίστανται παῖδες. ἐξῆλθεν ἀνομία ἐκ πρεσβυτέρων (φησίν*), οἳ
ἐδόκουν κυβερνᾶν τὸν λαόν, οὓς ἐχρῆν τόν τε χρόνον ὁμοῦ καὶ τὴν ἀρχὴν αἰδουμένους
ζῆν σωφρονέστερον καὶ τοῖς μετ' αὐτοὺς ἐρχομένοις | ἀπλανῶς ἐξηγεῖσθαι τὴν 238²
πρὸς σωτηρίαν ὁδόν.

[18] Ἆρ' οὖν ἐπιγινώσκετέ μοι τὰ ῥήματα τοῦ πνεύματος ὄντα καὶ οὐχ ἡμέτερα;
ἀλλὰ τα πράγματα πάντως οὐχὶ τοῦ πνεύματος, ἀλλ' ἡμέτερα. ἔτι δ' ἂν τελεώτερον
ἀπὸ τῶν ἑξῆς ἐπιγνοίητε.

[19] Οἱ ἄρχοντες ἡμῶν ἀνομοῦσι μετ' ἐξουσίας, τὸ εὐθὲς διαστρέφουσι, τὸ δίκαιον
καπηλεύουσιν, ἀγαπῶσι δῶρα, διώκουσιν ἀνταπόδομα. οἱ πράκτορες ἡμῶν καλαμῶνται
ἡμᾶς, καὶ τὰ πρὸς τὸ ζῆν οἰκτρὰ λείψανα προσαφελέσθαι βιάζονται. οἱ δυνάσται βα-
ρύνουσιν ἐφ' ἡμᾶς τὸν ζυγόν*, ὡς δούλους κατάγχοντες, οὐχ ὡς ὁμοδούλων κατάρχοντες.
ὁ λαὸς πάλιν οὗτος λαὸς μωρὸς καὶ οὐχὶ σοφός*, λαὸς ἀπειθής τε καὶ σκληροτράχηλος,
οὐκ εἰδὼς ἔτι ἄρχεσθαι οὐδὲ χαλινὸν ἡγεμόνος οὐδ' ἐπιστάτου καταδεχόμενος. ἦν δ' ἂν
τὸ δεινὸν ἴσως μέτριον, εἰ μέχρι τούτου καὶ μόνου προχωροῦν αὐτοῖς ἦν· οἱ δὲ πρὸς
τῷ πᾶσαν ἀτιμάζειν ἡνίαν καὶ μηδαμῶς ἐπιστρέφεσθαι, μήτε κέντρου τινὸς μήτε μά-
στιγος, ἔτι καὶ τὸν ἐπιβάτην αὐτὸν ὑπὸ ῥύμης ἀσχέτου καὶ φορᾶς συναρπάζοντες
| εἰς γῆν καταβάλλουσι καὶ συμπατοῦσι πεσόντα καὶ διαφθείρουσιν ἄθλιον 239¹
αἴσχιστά τε καὶ οἴκτιστα. οἴχεται δὲ τάξις ἐκ μέσου, καὶ τοῦ καθ' ἕκαστον μέτρου καὶ
τῆς ἀξίας ἐπίγνωσις, εὐπειθείας τε νόμοι παντελῶς καταλέλυνται, καὶ δεινή τις ἀταξία
καὶ σύγχυσις κατέχει τὸ πᾶν. οὐδεὶς γοῦν (ὡς ἔπος εἰπεῖν) τοῖς παροῦσιν οἶδεν ἀρκεῖσθαι*,
οὐδὲ στέργει τὴν χώραν, ἣν τέως ἔλαχε, κἂν τῶν λαμπροτάτων τις εἴη καὶ περιβλέπτων,
ἀλλὰ τὴν ἔτι προέχουσαν πάντες ἔτι περισκοποῦμεν, καὶ δεινὸν ἡγούμεθα ἕκαστος, εἴ τις
ἐν ἀνθρώποις ἡμῶν ἐπιφανέστερος λέγοιτο. κἂν ἐπιβῶμεν ἐκείνης, τὴν προσωτέρω πάλιν
ἐπιζητοῦμεν, καὶ οὕτως εἰς ἄπειρον ἡ φορὰ τοῦ κακοῦ. διὰ τοῦτο νόμος αἰδοῦς καὶ
σωφροσύνης ἐξέλιπεν, ἀντεισῆκται δὲ πᾶσά τις ἀκολασία καὶ ὕβρις καὶ τὸ μηδὲν τῶν
αἰσχίστων εἰς αἰσχύνην λογίζεσθαι· *διὰ τοῦτο συμπίπτει καὶ συγκρούει πρὸς ἄνθρωπον
ἄνθρωπος καθ' ἅπερ ἐν σκοτομήνῃ, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ· προσκόπτει
τὸ παιδάριον πρὸς τὸν πρεσβύτην, καὶ ὁ ἄτιμος πρὸς τὸν ἔντιμον, | πρὸς τὸν 239²
σπουδαῖον ὁ φαῦλος, καὶ ὁ ἀμαθὴς πρὸς τὸν λόγιον, ὁ θρασὺς πρὸς τὸν πρᾷον, καὶ
πρὸς τὸν συνετὸν ὁ ἀπαίδευτος, καὶ βάλλομεν ἄλλος ἄλλον λόγοις ἅμα καὶ ἔργοις,
κοινῇ καὶ ἰδίᾳ, ἐμφανῶς καὶ κρυφῇ, καὶ κακῶς πάντες λέγομεν τὸν ἄρχοντα καὶ τὰ
πάτρια. τοσοῦτον ἐξοίστρησεν ἡμᾶς κατ' ἀλλήλων ἡ δοξομανία καὶ τὸ φιλόπρωτον·
οἱονεὶ δέ τις λαῖλαψ ἀγρία καὶ σφοδρὰ καταιγὶς ἡ κακῶς ἐξ ἀνθρώπων ἀπολουμένη[sic]
φιλοπλουτία κυμαίνει τὰ πάντα καὶ στροβεῖ καὶ ταράσσει καὶ πλήρη ναυαγίων ποιεῖ

17 Isa 7, 15 | 17 Isa 2, 9 | 17 Dan 1, 6 | 19 Regn γ 12, 4 | 19 Deut 32, 6 | 19 Luc 3, 14 | 19 Isa 3, 5

τὴν μεγάλην τοῦ βίου καὶ πικρὰν ταύτην θάλασσαν. καὶ οὐδεμία τις τέχνη πρὸς τὸ
δεινὸν ἱκανή, οὐχ ὅρος, οὐ κόρος τῆς πληγῆς καὶ τῆς θραύσεως· πρὸς γὰρ τοῦτο νῦν
μᾶλλον (ὡς εἰπεῖν) ἀνερράγησαν αἱ πᾶσαι τοῖς ἀνθρώποις ἐπιθυμίαι, καὶ ζητοῦμεν
πάντες τὰ παρ' ἑκάστῳ καὶ τὰ πάντων ἕκαστος ἔχειν, καθ' ἅπερ ὅλην τὴν γῆν αὐτὸς
μόνος θέλων οἰκεῖν καὶ μηδένα βουλόμενος ἑαυτοῦ βλέπειν γείτονα. [20] ἀπειροκαλία
δὲ περιττὴ καὶ ἀκαιρία δεινὴ καὶ ματαιότης ὄντως | περὶ τὴν οἴκησιν, φλυαρία 240[1]
τε πλείστη καὶ τρυφὴ καὶ βλακεία* καὶ συμφορὰ παντοία περὶ τὴν δίαιταν καὶ θρύψις
ἀκόλαστος καὶ χλιδῆς ἅπαν εἶδος καὶ σαφὴς ἐμπληξία περὶ τὴν λοιπὴν θεραπείαν. καί
τις ζῆλος ἐμπίπτει καὶ σφοδρὰ κακῶν ἅμιλλα, γυναιξὶ μὲν πρὸς ἄνδρας, ἀνδράσι δὲ
πρὸς γυναῖκας· γυναῖκας — ὢ τί ποτ' ἂν ἀξίως προσείποι τις τὸ λυμαντικὸν τοῦτο
ζῷον τῆς ἀνθρωπίνης ζωῆς καὶ φθοροποιὸν καὶ ἀρχέκακον, ᾧ πολλῶν ἔδει κόσμων,
ἀλλ' οὐχ ἑνός, ἵνα πάντες ὁμοῦ συναθροισθέντες εἰς ἕν, οὕτως ἂν ἐξήρκεσαν μόλις
ταῖς ἀπλήστοις αὐτοῦ καὶ ἀκαθέκτοις ἐπιθυμίαις, καὶ τὸ ἄμαχον τοῦτο καὶ τὴν βορὰν
ἀνυπόστατον θηρίον ὑπέστησαν· νῦν δὲ τὸν ὁρώμενον τοῦτον κόσμον τὸν ἕνα, τὸν
δι' ἐκείνην θνητὸν καὶ πολυπαθῆ καὶ πολύμοχθον, σπαράττουσα δι' ὅλου καὶ δαπανῶσα
καὶ κείρουσα κινδυνεύει παντάπασιν ἀναλῶσαι καὶ διαφθεῖραι μικροῦ δεῖν ἤδη τῷ
πλείονι μέρει κατειργασμένον· πρὸς ἅπερ αὖ πάλιν οἱ ἄνδρες ἐρεθιζόμενοι, δέον βοη-
|θεῖν καὶ ἀνθίστασθαι τῷ κακῷ κατὰ κράτος, φιλονεικοῦσιν εἰς δύναμιν ἐν τοῖς 240[2]
ὁμοίοις νικᾶν, καὶ τοῦτο μόνον ἀνδρίζονται λαμπρῶς καὶ γενναίως, ὅτι γυναικῶν οὐκ ἀνέ-
χονται ταῖς ἀπληστίαις ἡττᾶσθαι· ὅθεν γένος ἑκάτερον ὑπέκκαυμα γίνεται τῆς περὶ ταῦτα
λύσσης θατέρῳ, καὶ τὸ πῦρ τῆς ἀκαίρου πρὸς ἀλλήλους φιλοτιμίας εἰς αἰθέριον φλόγα
συνεξαίρουσι καὶ συναύξουσιν, ὡς καὶ Συβαρίτας ἄρτι καὶ Μήδους καὶ εἴ τις ἄλλος
τῶν πρὶν ἐπ' ἀσωτίᾳ καὶ ὕβρει καὶ τρυφῇ διαβόητος μηδὲν πρὸς ἡμᾶς συγκρινομένους
λογίζεσθαι, πρὸς ἡμᾶς — ὢ νόμοι τε καὶ χεῖρες θεοῦ, τοὺς ἀνομοῦντας παραλαμβάνου-
σαι —, οἷς ὁ ζῆλος τῶν κρίνων καὶ ἡ τῶν πτηνῶν ἐπιτάσσεται* μίμησις ὡς ἀπραγμάτευτον
μὲν καὶ ἄσκευον, ἀνυστέρητον δ' ὅμως διοικουμένων διοίκησιν, τοὺς καθ' ἑκάστην μὲν
τοὺς πτωχοὺς μακαριζομένους* καὶ ὑμνουμένους, τοὺς δὲ πλουσίους δυσκόλως σῳζομέ-
νους* ἀκούοντας, ἑκατέρου δὲ τούτων ἱκανὴν ἀπόδειξιν ἔχοντας ἕτερά τε πολλά, καὶ
πρὸ πάντων ἢ καὶ ἀντὶ πάντων τὸν ἄ|θλιον ἐκεῖνον τῆς φλογὸς πλούσιον καὶ 241[1]
τὸν ἀντίθετον αὐτῷ τῆς ἀνέσεως Λάζαρον*.

[21] Τί ταῦτα πάσχομεν, ὦ δείλαιοι ἄνθρωποι; — βιάζομαι γὰρ καὶ τραγῳδὸς ἤδη
γίνεσθαι — τίνα ταύτην πλάνην πλανώμεθα; ποῦ τηνάλλως φερόμεθα, τὴν μικρὰν καὶ
πολύπονον ζωὴν ἀναλίσκοντες ἀβούλως καὶ ἀνοήτως, καὶ τὸν βραχὺν τοῦτον χρόνον
δαπανῶντες εἰς μάταια; τίς ἡμῖν δαίμων βάσκανος τοσοῦτον ἐφθόνησε; πόθεν οὕτω
νοσοῦμεν χαλεπὰ καὶ ἀνήκεστα; φεῦ τίς ἀπόστολος ἢ προφήτης ἢ νομοθέτης τῇ συμ-
φορᾷ βοηθήσει; ποῦ σοι, Παῦλε μακάριε, τὸ θεῖον ἀπόφθεγμα* Ὁ καιρός, ἀδελφοί,
συνεσταλμένος ἐστίν, ἵνα καὶ οἱ χρώμενοι τούτῳ τῷ κόσμῳ μὴ καταχρῶνται, καὶ οἱ
ἔχοντες ὦσιν ὡς οἱ μὴ ἔχοντες, καὶ οἱ μηδὲν μὲν οὖν ἔχοντες ὡς τὰ πάντα κατέχοντες*
ἢ καὶ διὰ τέλους καθέξοντες· οὕτω γὰρ ἡμεῖς ἀνεστρέψαμεν πρὸς τὸν λόγον τὰ πρά-

20 βλαβεία apographum | 20 Matth 6, 28 | 20 Matth 5, 3 | 20 Matth 19, 23 | 20 Lucas 16, 20—31 |
21 Corinth α 7, 29–31 | 21 Corinth β 6, 10

γματα, περὶ ὧν θεοπνεύστως ἀλλαχοῦ προηγόρευσας Ἐνστήσονται δήποτε καιροὶ χαλεποί,
τοὺς νῦν τούτους ἄντικρυς λέγων, καθ' οὓς | ἔσονται (φησί) τοιοίδε καὶ τοιοίδε* 241[2]
*οἱ ἄνθρωποι, πᾶν εἶδος κακίας ἐφεξῆς καταλέγων καὶ τὸν καθ' ἡμᾶς τοῦτον βίον πα-
ριστῶν ἐναργῶς. ποῦ δὲ πάλιν σοὶ τὰ τῆς καλῆς παραινέσεως, θεατὰ τῶν ἀρρήτων καὶ
μυστικῶν Ἰεζεκιήλ*; ὁ κτώμενος (φησί) μὴ χαιρέτω, καὶ ὁ πωλῶν μὴ θρηνείτω· ὀργὴ γὰρ
συντελείας ἐκκέχυται εἰς ἅπαν τὸ πλῆθος, καὶ ὁ πωλῶν μὲν οὖν χαίρει, θησαυρίζει
γὰρ τὴν τιμὴν ᾗ καὶ ἀντωνεῖται λαμπρότερα, καὶ ὁ κτώμενος αὖθις ὑπερτρυφᾷ πλατυ-
νόμενος. τί δ' αἱ σαί, Δαβὶδ* θεῖε, πολλαί τε καὶ σοφαὶ νουθεσίαι; πλην μάτην πᾶς
ἄνθρωπος ζῶν, ἐπειδὴ καὶ μάτην ταράσσεται· θησαυρίζει γὰρ ἴσως οἷσπερ οὐ βούλεται,
ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ
δόξα αὐτοῦ*, ὑπὲρ ὧν ὁ πᾶς δρόμος καὶ τὸ μὴ θνητὰ τοὺς θνητοὺς ἐπὶ θνητοῖς φρονεῖν
πράγμασι. κἀκεῖνο* δὲ πάλιν ἡλίκον εἰς λυσιτέλειαν; πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε
καρδίᾳ. εἰς αὐτὴν μὲν οὖν τὴν καρδίαν ὑποδεχόμεθα ῥέοντα, καὶ κατὰ τὸν θεῖ|ον* 242[1]
χρησμὸν τῷ θησαυρῷ τῷ ματαίῳ κἀκείνην συγκατορύσσομεν. τίς περισσεία τῷ ἀνθρώπῳ
ἐν παντὶ μόχθῳ αὐτοῦ ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον; συνεισφερέτω γάρ τι τῷ λόγῳ καὶ
ὁ σοφὸς ἐκκλησιαστής*. τίς δὲ ἡ ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς
διαφθοράν;* εἰ μήτ' αὐτός τι κερδαίνω τοῖς ἑτέρων θανάτοις μήτε μὴν ὠφελούμενον
ἄλλον τῷ ἐμῷ θεωρῶ. ἄφρον, ταύτῃ τῇ νυκτὶ* — καὶ σιωπήσω τὸ δύσφημον, πλὴν
ὅτι τοῦτο φρικώδης μὲν ἀπειλή, θεοῦ δὲ ζῶντος φωνή. ἀλλ' ἵνα μὴ λυπῶ διασύρων
τὰ μικροῦ προσκυνούμενα, ταῦτα μὲν ἑτέροις παρήσω χλευάζειν καὶ μυκτηρίζειν, οἳ βίβλους
ὅλας κατηγορίας (καὶ μάλα δικαίως) κατ' αὐτῶν βάλλουσι, κἂν ἐπαΐῃ μηδεὶς μηδὲ πρὸς
τὸν ἔλεγχον σωφρονίζηται, τῆς αἰσχύνης ἐπαισθανόμενος, ἐμοὶ δὲ καὶ πάλιν τὸν λόγον
ἐπανακτέον ἐπὶ τὸν φόβον, καὶ περὶ τοῦ νῦν κατεπείγοντος τὴν συμβουλὴν* ποιητέον.*

22 *Τούτων τοιγαροῦν ἕνεκεν ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς*· »ἦλθεν« εἶπον; οὐκ
ἦλθεν· ἢ γὰρ ἂν εἴπερ ἦλθεν, ἄλλως | νῦν διεκείμεθα, ἀλλ' ἐπὶ θύραις ἤδη* 242[2]
*παρέστηκε, καὶ δηλοῖ τὸ πῦρ ὁ καπνός· ἔτι γὰρ (οἶμαι) ταῦτα καπνός, εἰ καὶ πῦρ πρὸς
τὸ μέλλον ἔτι παραβαλλόμενα, καὶ τῆς ῥομφαίας τὴν κίνησιν ὁ παρὼν ἀκροβολισμός,
κατὰ τῶν ἀψύχων μὲν ἀφιέμενος, τοῖς ψυχὴν δὲ καὶ λόγον λαχοῦσιν ἡμῖν τὴν ὑπὲρ
κεφαλῆς (εἰ συνίεμεν) δεικνὺς ἀπειλήν, ἵνα γνῶμεν ὁμοῦ τήν τε καθ' ἡμῶν ἀγανάκτησιν
οὐκ ἔτι μελλήσουσαν καὶ τὴν εἰς δεῦρο μακροθυμίαν οὐκ ἔτι παραμενοῦσαν. ἐπὶ τούτοις
ἀκούειν δοκῶ μοι τοῦ θεοῦ πάλιν λέγοντος* Καιρὸς ἀνθρώπου παντὸς ἥκει ἐναντίον
ἐμοῦ, ὅτι ἐγενήθησάν μοι εἰς πλησμονήν, καὶ ἵνα τί μοι μακροθυμεῖν ἐπὶ πλέον εἰς
τοὺς ἀγνώμονας καὶ ποιεῖν προσθήκην κακίας τὴν ἀναβολὴν τῆς κολασεως; μᾶλλον δὲ
τῷ μὲν Ἰσραὴλ ἀθετοῦντι διὰ τοῦ προφήτου* μεμφόμενος Τί ἔτι πληγῆτε, φησί, προσ-
τιθέντες ἀνομίαν, οἷα δηλαδὴ τιμωρίας εἴδους παντος τελεσθέντος μὲν ἐπ' ἐκείνοις,
ἀπρακτησαντος δέ· πρὸς ἡμᾶς δ' ἂν ἑτέρως πως ἁρμόσοι λεγόμενον Τί ἔτι προσθῆτε
παρανομοῦντες ἐπὶ ταῖς | ἀνομίαις ὑμῶν, οὕτως εἰς ἄκρον ὑμῖν τῆς κακίας ἤδη* 243[1]
κορυφωθείσης καὶ μηδεμίαν εἰς μέγεθος χωρούσης ἔτι προσθήκην; τὸ μὲν γὰρ θρυλού-

21 Tim *β* 3, 1 | 21 Ezech 7, 12 | 21 Psalm *λη* 7 8 | 21 Ps *μη* 18 | 21 Psalm *ξα* 11 | 21 Matth 6, 21 | 21 Eccl 1. 3 | 21 Psalm *κθ* 10 | 21 Luc 12, 20 | 21 *συμβουλὴν* C[2], *συμβολὴν* C[1] | 22 Psalm *μγ* 18 | 22 Genes 6, 13 | 22 Isaias 1, 5

μενον* μέτρον τῶν Ἀμορραίων ταῖς ἐκείνων δὴ μόναις ἁμαρτίαις ἀναπεπλήρωτο, ἅστινας* εἰκὸς ἁμαρτάνειν ἀλλοφύλους ἀνθρώπους, νόμον οὐκ ἔχοντας ὁδηγὸν πρὸς τὸ δέον, τὸ καθ' ἡμᾶς δὲ τοσοῦτον φιλοτιμότερον καὶ πολυτελέστερον, ὡς μηδενὶ σχεδὸν τῶν ἐθνῶν ὑπολιπέσθαι τι πλέον εἰς πονηρίας ἀπόδειξιν, ἀλλὰ τὰ πάντων ἡμᾶς συναγαγεῖν τε καὶ κτησασθαι καὶ πλουτεῖν ὑπὲρ ἅπαντας τὸν κακὸν τοῦτον πλοῦτον καὶ τοῖς κεκτημένοις ὀλέθριον, οὗ καρποὶ καὶ γεώργιον ὅσα τε συμπίπτει τῷ βίῳ κατὰ τὸ παρὸν δυσχερῆ καὶ τὰ μετὰ τοῦτον ἐκεῖθεν ἀπεκδεχόμενα, ὧν οἷον ἀρραβῶνες ἤδη τινὲς καὶ προοίμια τὰ νῦν θορυβοῦντα.

23 Ἐγὼ μέν, ἄνθρωπος ὢν καὶ εἰδὼς φύσιν ἔχειν ὑπεύθυνον κρίσει τε καὶ τίσει τῶν πραττομένων, ἀπεύχομαι μὲν τὸ ὑπονοούμενον, ὑποπτεύω δὲ τὸ φαινόμενον, καὶ γίνομαι δίκαιος κριτὴς ἐμαυτοῦ καὶ πρὸς τὸν | φόβον συστέλλομαι· σὺ δέ, τῶν 243[2]
θαυμασίων κατήγορε καὶ ὑπερόπτα τῶν μεγαλείων, πόθεν οὕτως ἔχεις ἀφόβως περὶ τὰ φοβερά, καὶ ἀμαθῶς ἢ θρασέως περὶ τὰ φανερὰ καὶ φρικτά; πόθεν ἄγαν γηΐνως περὶ τῶν οὐρανίων φρονεῖς, καὶ περὶ τῶν θείων οὐδ' ἀνθρωπίνως; τίς ἡ τηλικαύτη σοι τόλμα; τίς ὁ λόγος τῆς ἀπονοίας; εἰ μὲν γὰρ πᾶσι καθ' ἑξῆς ἀπιστεῖς καὶ μηδενὸς ἐπιστρέφῃ τῶν διὰ σὲ τερατουργουμένων (ἐπειδὴ τὰ σημεῖα τοῖς ἀπίστοις ὑμῖν, οὐχ ἡμῖν τοῖς πιστεύουσιν), ἀλλὰ καὶ τὰ τῶν ἰαμάτων χαρίσματα καὶ τὰ τῆς ὀργῆς σύμβολα κατὰ ταὐτὸν διαβάλλεις καὶ διαπαίζεις ὡς πλάσματα, δέδοικα μή τι τῶν πυρφόρων τούτων βελῶν, οἷς οἱ λίθοι πεπλήγασι, καὶ τὴν καρδίαν βάλῃ τὴν σὴν οἷα πέτραν ἑτέραν καὶ πολύ γε τῶν ἄλλων σκληροτέραν καὶ τραχυτέραν, ἣ τοιούτων συμβάντων περὶ ἐκείνας παθῶν, ἀπαθὴς ἔτι μένει καὶ τοῦ τήκοντος οὕτω καὶ τὰς πέτρας* πυρὸς ἀνεπαίσθητος. εἰ δὲ πᾶσιν ἅμα πιστεύων καὶ πᾶσιν ἁπλῶς ὡς ἀγαθοῖς σημείοις θαρρεῖς, τοῦτο μὲν
| καὶ αὐτὸς ἂν ὡς ἥδιστον* δεξαίμην (εὖ ἴσθι, λογισμῷ βεβαιούμενον) καὶ ὡς 244[1]
ἕρμαιον ἄν τι τῶν καλλιστων ἁρπάσαιμι, νῦν δὲ βούλομαι μὲν οὕτω τἀληθὲς ἔχειν μᾶλλον, οἴομαι δ' ἄλλως περὶ τούτων ἢ βούλομαι. εἰ δ' ὅτι τοῖς ἐξ ὕψους καὶ θείοις ἔστιν ἃ καὶ ἀνθρώπινά τισιν ἐπικακουργεῖται, τοῦτό σοι πρόφασις γίνεται τοῦ περὶ πάντα σκανδάλου, καὶ διὰ τοῦτο πάντων ἐπ' ἴσης ὡς ἐξευρημένων καταγινώσκεις, λανθάνεις, ὦ βέλτιστε, τὸν σῖτον κακῶς τοῖς ζιζανίοις συνανασπῶν, καὶ ἀθετῶν τοὺς προφήτας διὰ τὴν πρὸς τοὺς ψευδοπροφήτας ὑπόνοιαν, καὶ συναπολλὺς δίχα κρίσεως τῷ ἀσεβεῖ καὶ τὸν δίκαιον· ἐχρῆν δὲ οὐχ οὕτως· ἀλλὰ μάλιστα μέν, εἰ γεγυμνασμένον εὖ μάλα πρὸς τὰ τοιαῦτα τὸ τῶν λογισμῶν κριτήριον εἶχες, ἢ πνευμάτων ἠξίωσο* παρὰ θεοῦ διακρίσεως, ὥς τις ἄλλος τῶν ἄγαν ὑψηλῶν τε καὶ καθαρῶν διαιρεῖν ὡς προσῆκε, τὸ νόθον ἐκ τοῦ γνησίου καὶ τὸ φαῦλον ἀπὸ τοῦ κρείττονος, καὶ τὸ μὲν ὥσπερ ἄχυρον μακρὰν ἀπωθεῖσθαι, τὸ δὲ οἷα σῖτον εὐγενῆ τε καὶ τρόφιμον ταῖς τῆς ψυχῆς ἀπο-
|θήκαις εὐκαίρως ἐναποτίθεσθαι, καὶ μηδαμῶς ἀγνοεῖν ὅτι μηχαναί τινες ταῦτα 244[2]
τοῦ πονηροῦ καὶ τεχνάσματα, τοῖς καλλίστοις ἀεὶ παραμιγνύντος τὰ χείρω καὶ τὴν ἑκατέρων διάγνωσιν κακούργως συμφύροντος, ἵν' ἢ τῷ παραφυλάττεσθαι ταῦτα καὶ τὴν ἐκεῖθεν ὠφέλειαν καθ' ἅπαξ προώμεθα, ἢ τῷ περιέπειν ἐκεῖνα καὶ τὴν ἐντεῦθεν βλάβην παραδεξώμεθα, καὶ λάθωμεν ἡμᾶς αὐτοὺς ἑνί γε τῳ τρόπῳ ταῖς τοῦ μισανθρώπου

22 Genes 15, 16 | 22 ἅστινας C[2], ἅστινος C[1] | 23 πέτρας C[2], πέτας C[1] Nahum 1, 6 | 23 ἥδιστα apogr | 23 post hanc vocem una minuta littera antiquitus erasa est in C *Studemund*

πάγαις ἁλόντες*, ἢ καὶ τὸ καλὸν παραιτούμενοι ἢ καὶ τὸ κακὸν προσαιρούμενοι. εἰ δὲ
κρεῖττον ἢ κατὰ σὲ τὰ τοιαῦτα φιλοσοφεῖν, σὺ δὲ πείθου καὶ πίστευε τοῖς σοῦ σοφω-
τέροις, καὶ γίνου μαθητὴς ἀσφαλέστερος ἢ καθηγητὴς προπετέστερος, μήτε τοῖς ἀχρήστοις
κακῶς συναποβάλλων τὰ χρήσιμα μήτε μήν τινος τύχης αὐτομάτῳ φορᾷ τὴν αἰτίαν
προσάπτων τῶν γινομένων. [24]εἴθε μὲν εἴη ταῦτα πάντα κενὰ καὶ πρὸς οὐδὲν πλέον
φέροντα! εἴθε φύσεως ἔργα καὶ τῶν περὶ τὸν ἀέρα παθῶν καὶ συμπτωμάτων ἀποτε-
λέσματα καθ' ἅπερ ἄλλοι | βολβοί τινες ἢ καὶ μύκητες, οὕτω πως ἀθρόοι καὶ 245[1]
σχέδιοι πολλαχοῦ συνιστάμενοι, οὓς βροντὴν καὶ βροχὴν ἔχειν λέγουσι γένεσιν (ἀγαπῴην
γὰρ ἂν ὑπὲρ τοὺς ἄλλους αὐτός, ἅτε πλέον ὀφείλων, καὶ διὰ τοῦτο καὶ πλέον τὸν
λογιστὴν ἐγγίζοντα δεδοικώς)! εἴθε δὲ πολλῷ μᾶλλον καὶ χρηστῶν τινῶν εἴη πραγμάτων
σημαντικὰ κατὰ τὴν ἐνίων δόξαν καὶ κρίσιν, ὡς ἔγωγε βουλοίμην ἂν εἶναι ταῦτα, ἢ
ἐκεῖνο τὸ αἷμα τὸ φυλακτήριον, ᾧ πάλαι* σφραγίζει τὰς οἰκίας ὁ Ἰσραήλ, ἵνα τὸν ὀλο-
θρευτὴν διαφύγωσιν, ἢ τὸ μετὰ ταῦτα διδόμενον σημεῖον ἐπὶ τὰ μέτωπα* τῶν οὐκ
ἀπιστούντων ὡς σύ, ἀλλὰ πιστευόντων οἷς ἑώρων καὶ ἤκουον, καὶ καταστεναζόντων πι-
κρῶς ἐπὶ τοῖς ἀπολουμένοις αὐτίκα διὰ τὴν τοιαύτην σκληρότητα, εἴπερ ἀγαπᾶν τινὰ
δέον ἐν ἀπολλυμένοις τοσούτοις μετ' ὀλίγων σῳζόμενον, ἢ — τὸ τελευταῖον τῇ τάξει,
τῇ δὲ δυνάμει πρῶτον καὶ μεῖζον — τὸ σταυρικὸν λέγω σύμβολον, ᾧ σημειοῦνταί ποτε
κατὰ Παλαιστίνην οἱ βλέποντες τὸν ὑπὲρ κεφαλῆς αὐτοῖς ἐν ἀέρι τυπούμενον ὑπὸ
| φωτὸς ἀρρήτου σταυρόν, ἵν' (ὡς ἔοικεν) ἐξ ὕψους αὖθις δειχθῇ (καθ' ἅπερ ἤδη 245[2]
καὶ πρότερον) τὸ κατὰ πάντων κράτος αὐτοῦ. [25]τούτων τοιγαροῦν ἓν ἤ τι τούτων ἐγγὺς
ἐθέλοιμ' ἂν εἶναι καὶ τὰ νῦν ἐνεργούμενα, ἀλλά με καὶ Δαβὶδ ὁ θεσπέσιος ἐκεῖθεν
πτοεῖ, πυρός τινα καὶ θείου βροχὴν τοῖς ἁμαρτωλοῖς ἀπειλῶν*, κἀντεῦθεν αὖ πάλιν
ἡ μεγάλη σοφία*, ἀστραπῶν βολίδας εὐστόχους ἐπὶ τοὺς παράφρονας πέμπουσα, πρὸς
σκοπὸν ἁλλομένας ἐξ οὐρανοῦ καὶ νεφῶν· τὸ δὲ τρίτον καὶ μέγιστον τὸ τοῦ πράγματος
ἀνακόλουθον· τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συμφώνησις Χριστῷ πρὸς
Βελίαρ*; τί δὲ κοινὸν ἀκαθάρτῳ τε βίῳ καὶ πνεύματος ἁγίου χαρίσμασι; μή τι συλλέ-
γουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν ἢ ἀπὸ τριβόλων σῦκα; οὐ δύναται δένδρον σαπρὸν
καρποὺς ἀγαθοὺς ποιεῖν*, οὐδὲ μολυσμὸς ἁμαρτίας ἑλκῦσαι χαρισμάτων ἐνέργειαν·
πολὺ μέντ' ἂν αὐτὰ πρότερον ἢ ἀπελάσοι παρόντα ἢ ἀποτρέψοι παραγινόμενα· ἔστι γὰρ
τῷ ὄντι κακὸν ἡ ἁμαρτία οἰώνισμα, ὡς ἡ θεία με διδάσκαι γραφή*, καὶ | γίνεται 246[1]
(καθ' ἅπερ ἰατρῶν φασὶ παῖδες) ἐπιόντος κινδύνου καὶ σημεῖον ἅμα καὶ αἴτιον. [26]σκόπει
δ' ἔτι κἀκεῖνο. ἐμοὶ μὲν πρὸς ταῦτα ταραττομένῳ κέρδος οὐ τὸ φαυλότατον, κἂν μηδεὶς
προσῇ κίνδυνος, ἐμαυτοῦ τε μᾶλλον αἰσθανομένῳ καὶ τῷ βελτίστῳ τῆς κατανύξεως φαρ-
μάκῳ καθαιρομένῳ, σοὶ δὲ κἂν ἀκινδύνως θαρρῇς οὐχ ἡ τυχοῦσα ζημία τηλικούτου
καλοῦ τῆς συναισθήσεως ἁμαρτάνοντι, κἂν προσγένηται κίνδυνος, πάντων οἴκτιστος
ὄλεθρος. [27]τοιγαροῦν εἰ μὲν πείθομεν, τῷ παντὶ τοῦτο ἄμεινον, εἰ δ' οὖν, ἀλλ' ἡμῖν
μέν τι πλέον ἐπὶ τούτοις λέγειν οὐκ ἀναγκαῖον· κἂν γὰρ αὐτοὶ σιωπήσωμεν, οἱ λίθοι
κεκράξονται — τοῦτο δὴ τὸ ὑμνούμενον* —, μετὰ τῶν τοῦ πάθους συμβόλων ἔτι δεικ-

23 vide quae Lagarde anmerkungen zu den Proverbien VII 95 ad Sophoclis Electram 125 adnotavit, Basilium 300, 41 648, 21 Theodoret ad Philipp 2 pagina 453 media | 24 Exod 12, 22 | 24 Apocal 7, 3 | 25 Psalm ι 6 | 25 Sapient 5, 22 | 25 Corinth β 6, 15 | 25 Matth 7, 16 18 | 25 Regn α 15, 23 | 27 Luc 19, 40

νύμενοι· τῶν δ' οὕτως ἐχόντων ἀπαθῶς τε καὶ ἀπειθῶς ἡ ἡμέρα πάντως ἐλέγξει τοὺς
λογισμοὺς ἀνοήτους, ὅτι ἐν πυρὶ παραγίνεται, καὶ πῦρ προπέμπουσα μήνυμα, γελᾶται
παρὰ τοῖς ἄφροσιν· ἡμέρα γὰρ κυρίου ἀποκαλύπτεται ἐπὶ πάντα τοιοῦτον ὑβριστήν τε
καὶ ὑπερήφανον, καὶ ταπεινώσει συ|κοφάντην πραγμάτων ἀδιαβλήτων, καὶ τὸν 246[2]
τοῖς οὕτω προδήλοις ἀναιδῶς ἀντιλέγοντα κάμψει πρὸς συγκατάθεσιν· καὶ οἱ μέν, κἂν
μὴ νῦν, ἀλλὰ τηνικαῦτα, πάντως συνήσουσιν· οἱ πιστοὶ δὲ ὑμεῖς, οἱ τῇ βίβλῳ τῶν
ζώντων ἐγγεγραμμένοι* καὶ τῆς μερίδος κληθῆναι τῶν σῳζομένων ἠξιωμένοι*, διὰ τὴν
ἐκ τοῦ φόβου παιδαγωγίαν μή τι χεῖρον φρονήσητε διὰ τὴν ἔτι μακροθυμίαν. μηδ'
ἀποφυγὴν τιμωρίας τὴν ἀναβολὴν ὑπολάβωμεν· δικαιότερον γὰρ ἐκ τοῦ κοινοῦ ταῦτα
λέγεσθαι, κοινῆς ἐπηρτημένης πληγῆς ἐπὶ κοινοῖς πλημμελήμασι, μηδ' ὡς ἤδη τὸν κίν-
δυνον ἀποδράντες θαρρήσωμεν, ἵνα μὴ ἐντεῦθεν ἀπρόοπτον τὸ δεινὸν ὑποστῶμεν καὶ
διὰ τοῦτο μάλιστα καὶ βαρύτερον, ἐπειδὴ θάρσος* ἄκαιρον εἰς θράσος μεθίσταται, τὸ
δὲ περιφρόνησιν τοῦ συνοίσοντος ἐμποιεῖ, ἐκ δὲ τούτου τὰ μέγιστα τῶν κακῶν καὶ
ἀνήκεστα. [28] μήτ' οὖν ὀκνηρότερον βουληθῶμεν διατεθῆναι περὶ τὴν πραγματείαν τῆς
σωτηρίας ἐκ τοῦ μήπω παρεῖναι τῶν ἀπειλουμένων τὸ τέλος, μήτε μὴν ἐρε|θίσωμεν 247[1]
τὸν θεῖον θυμὸν καθ' ἑαυτῶν ἀλογίστως, ὥσπερ ἔτι καθεύδοντα δι' ἄκραν φιλανθρω-
πίαν ἀφυπνίζοντές τε καὶ κατεπείγοντες κατὰ τοὺς ἀβούλους τούτους συμβούλους, ἐπι-
βούλους δὲ μᾶλλον ἑαυτῶν τε προδήλως καὶ τῶν προσεχόντων αὐτοῖς ἐκ τοῦ λέγειν
Τὸ τάχος ἐγγισάτω τὰ θρυλούμενα ταῦτα κακά, ἵνα ἴδωμεν, καὶ ἐλθέτω ἡ βουλὴ τοῦ
ὑψίστου, ἵνα γνῶμεν*· οὐ γὰρ ἴσασιν ἴσως ὃν καὶ ἄβυσσοι τρέμουσιν, ὡς ἀνυπόστατον
ἔχει τὴν ἐπὶ τοὺς ἁμαρτωλοὺς ἀπειλήν, καὶ οὐκ ἔστιν ἀπόδρασιν εὑρεῖν τηνικαῦτα, κἂν
εἰ πάνυ γνωσιμαχοίη τις, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν*. [29] τούτους οὖν ὅπερ εἴρηται
φρονεῖν ἀφέντες κακῶς, εἰ μὴ ἄμεινον βούλοιντο, αὐτοί μοι τὰ κρείττω σὺν εὐβουλίᾳ
προέλεσθε, καὶ τὸ καθ' ὑμᾶς ὅση δύναμις, εὖ θέσθαι διαγωνίσασθε· καὶ δὴ πειθαρ-
χοῦντες εἰς καιρὸν τῷ κελεύοντι* Ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, πονηρὰν
κοινωνίαν μετὰ τῆς λύμης ἐκκλίνοντες, καὶ τοὺς τούτων λόγους ὡς βύθρους ἢ κρημνοὺς
ἀποφύγετε, ἐπειδὴ καθ' ἅπερ ἀκούετε*, | οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς· 247[2]
εἰρήνη γὰρ (φησί*) λέγουσι, καὶ οὐκ ἔστιν εἰρήνη· ὅτι πῦρ ἤδη καίεται θυμοῦ καὶ ὀργῆς,
καὶ οὐκ ἔσται ὁ σβέσων*, μᾶλλον δὲ καὶ λίαν ἐγγύς ἐστιν, εἰ βουλόμεθα δέξασθαι*.
τούτου δ' ἔχοντος οὕτω, μανία τις σαφὴς τὸ μὴ βούλεσθαι· πῶς δ' ἂν γένοιτο τοῦτο,
καὶ τίς ὁ τρόπος ἡμῖν ὁ τοσοῦτον κατόρθωμα δυνατὸς κατορθῶσαι, σκοπεῖτε προσέχοντες
τῷ λόγῳ τὸν νοῦν.

[30] Λούσασθε, καθαροὶ (φησί) γένεσθε. ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου*· τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα*. συνῶμεν ὡς νουνεχεῖς τῆς ἀξιοπιστίας τοῦ λέγοντος· δεξώμεθα παιδείαν καὶ σοφίαν καὶ σύνεσιν*· ἀποστῶμεν ὀψέ ποτε τῶν ἔργων τῆς πονηρίας· προτιμήσωμεν ἔργα δικαιοσύνης οἷς θεὸς ἐξιλάσκεται· μάθωμεν ἑκόντες, ἵνα μὴ ἄκοντες, ἀκούειν στενοχωρούμενοι, μᾶλλον δὲ μετριάσωμεν (εἰ δυνατόν) ταῖς ὀρέξεσιν, ἐπεὶ καὶ τὸ μέτριον καὶ θεῷ τάχα μέτριον. μέχρι τίνος ἀνέ-

27 Philipp 4, 3 | 27 Coloss 1, 12 | 27 C[m] γνώμη | 28 Isaias 5, 19 | 28 Isaias 2, 19 | 29 Isaias 52, 11
29 Isaias 3, 12 | 29 Ezechiel 13, 10 | 29 Ieremias 4, 4 | 29 Matth 11, 14 | 30 Isaias 1, 16 | 30 Isaias 1, 20
30 Proverb 23, 23 Θ

μους ἑαυτοῖς θησαυρίσομεν; μέχρι τίνος συλλέξομεν χερσὶν ἀκαρπίαν, τῷ μυθικῷ
κοσκίνῳ | καὶ πολυτρήτῳ εἰς τὸν μὴ στέγοντα τοῦτον πίθον ὑδροφοροῦντες, καὶ τῷ* 248[1]
*τῆς γαστρὸς ἀπίστῳ ταμείῳ τὰς ἡδονὰς φιλοπόνως πανταχόθεν παρακομίζοντες; μέχρι
ποῦ τὰ ἐνύπνια τῆς τε περὶ τὸ σῶμα φιλοκαλίας καὶ τῆς ἐπὶ πλούτῳ φιλοτιμίας καὶ τῶν
ἄλλων εἰδώλων καὶ φασμάτων καὶ πλάνων, ἃ καὶ νῦν, ἂν ἐκνήψωμεν, οὐδὲν ἔχοντα
πλέον φαντασίας φανεῖται, κἂν οὐκ ἐκνήψωμεν* δέ, μετ' ὀλίγον πάντως (ὅπερ ἔστι)
φανεῖται ἀνύπαρκτα, τὴν ἑαυτῶν ἀπάτην ὁμοῦ καὶ τὴν ἄνοιαν ἡμῶν στηλιτεύοντα,
ὃ μαθεῖν ἀκινδύνως πρὸ τοῦ παθεῖν συμφορώτερον· σὺν κακῷ γὰρ τὸ πάθος βοηθείας
ἰσχυροτέρῳ· καὶ τοῦτο τοιγαροῦν ἕως ἄρα τι μέλλει λυσιτελεῖν*, καὶ πρὸς ἔτι πᾶν
ἕτερον καλὸν ποιεῖν μάθωμεν. ἐνδυσώμεθα σπλάγχνα οἰκτιρμῶν*· κρίνωμεν ὀρφανῷ
καὶ δικαιώσωμεν χήραν*· ἐξελώμεθα πένητα καὶ πτωχόν· ἐπακούσωμεν φωνῆς στενα-
ζόντων, καὶ τοὺς ὑπ' ἀδίκου χειρὸς τυραννουμένους ἁρπάσωμεν· μεταδῶμεν χρηστότητος,
ἧς αὐτοὶ πλέον χρῄζομεν· τοῦ ἀναγκαίου | τὸν χρήσιμον προεισενέγκωμεν ἔλεον·* 248[2]
διαρρήξωμεν πᾶσαν στραγγαλιάν, πᾶν συνάλλαγμα βίαιον· ἀφῶμεν τοῖς μικρῶν ὀφει-
λέταις ὡς ὀφειλέται τοῦ πλείονος*· κτησώμεθα καρδίαν καινὴν καὶ πνεῦμα καθαρὸν
καὶ νεόκτιστον τοῖς ἡμῶν ἐγκάτοις ἐγκαινιζόμενον*· καὶ τῶν ἐν χερσὶν ἀποστάντες —
ἵνα συνέλω τὸ πᾶν — τὴν ἐναντίαν βαδίσωμεν, κἀντεῦθεν ἤδη λαβόντες ἀγαθὴν
ἡγεμόνα τὴν χρηστοτέραν ἐλπίδα, προσδράμωμεν θεῷ καὶ προσπέσωμεν, καὶ κλαύσωμεν
ἐναντίον κυρίου τοῦ καὶ πλάσαντος ἡμᾶς καὶ παιδεύσαντος· συγκάμψωμεν αὐτῷ τοὺς
ἀκαμπεῖς τούτους νώτους καὶ πρὸς τὸ βαστάσαι φορτίον πνευματικὸν ἀπειθεῖς, καὶ τοὺς
ἀδαμάστους αὐχένας καὶ σκληροὺς ὑποκλίνωμεν· μή τις ὕβριν ἡγείσθω καὶ τῆς ἑαυτοῦ
δόξης ὕφεσιν, θεῷ ταπεινούμενος, ᾧ πᾶν γονυ κάμπτει, ἐπουρανίων καὶ ἐπιγείων καὶ
καταχθονίων*, μηδὲ τοῦ κοινοῦ παραβόλως κατειρωνευέσθω κινδύνου, τὸ παρὸν ἀεὶ καὶ
τὸ τέως ζητῶν καπηλεύειν καὶ παρακερδαίνειν ἰδίᾳ καὶ τῶν καθ' ἡδονὴν οὐδὲν ἧττον
| ἀμερίμνως ἐχόμενος. ἐπὶ πολὺ γὰρ εἰς δεῦρο ταῖς ἡδυπαθείαις κατεχρησάμεθα,* 249[1]
*τὰ δὲ νῦν ἱκανούσθω, καὶ τρυφῆς οὐκ ἔτι καιρός· ἐπὶ ξυροῦ γὰρ ὁ κίνδυνος, καὶ τὸν
περὶ ψυχῆς ἤδη δρόμον ἄνθρωποι τρέχομεν.*

31 *Διὰ τοῦτο πάντες καὶ πᾶσαι, ἄνδρες καὶ γυναῖκες ὁμοῦ, πρεσβῦται καὶ νέοι,
ὑψηλοὶ καὶ ταπεινοί, πλούσιοι καὶ πένητες (καὶ γὰρ κοινὸς ὁ ἀγών), κοινὴν ἐνδειξώμεθα
καὶ τὴν ὑπὲρ τούτου σπουδήν. ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ
τοῦ παστοῦ αὐτῆς*, καὶ τὸ παίζειν ἀφέντες (οὐ γὰρ παικτὰ τὰ παρόντα) τῆς ἀνάγκης
γενέσθωσαν. ἀναλάβωμεν θρῆνον ἀντὶ τυμπάνων, ἀντ' αὐλῶν κοπετόν. μίαν πάντες
ἀφῶμεν φωνὴν ἐλεεινὴν πρὸς θεόν, μίαν ἀναπέμψωμεν δέησιν, μὴ τῷ θυμῷ ἐλεγχθῆναι
μηδὲ τῇ ὀργῇ παιδευθῆναι παρακαλοῦντες μηδὲ τὰ Σοδόμων παθεῖν μηδὲ γενέσθαι ὡς
Γόμορρα, ὧν μέγα μὲν τὸ ἀνόμημα (σπατάλη γὰρ ἦν ἐν πλησμονῇ — φησίν* — ἄρτων,
ἵνα τὴν ὑπερβολὴν ἡμεῖς φρίξωμεν), μέγα δὲ καὶ τὸ πρόστιμον, πυρὸς οὐρανίου κατακλυσμός.
ἀποβλέψωμεν | εἰς γενεὰς ἀρχαίας*, ζητήσωμεν τίσιν ἐπινοίαις ἢ τρόποις ἔστησαν* 249[2]
ἄνθρωποι θεοῦ ἀγανάκτησιν. λογισώμεθα τὸν μέγαν Δαβίδ, τὸν Μανασσῆ μετ' ἐκεῖνον,

30 Proverb 9, 12 Lagarde anmerkungen 32 | 30 *ἐκνήψωμεν* C[2], *νήψωμεν* C[1] *Studemund* | 30 apographum ut edidi | 30 Coloss 3, 12 | 30 Isaias 1, 17 | 30 Isaias 58, 6 | 30 Matth 18, 30 | 39 Psalm *ν* 12 | 30 Philipp 2, 10 | 31 Ioel 2, 16 | 31 Ezech 16, 49 | 31 Ecclesiasticus 2, 10

*τοὺς εἰς ἔτι καὶ νῦν περιφανεῖς μὲν τὴν πτῶσιν, περιφανεστέρους δὲ τὴν διόρθωσιν·
παρώξυναν κἀκεῖνοι θεόν, ἀλλ' ἐξιλάσαντο πάλιν, ὡς ἄνθρωποι μὲν ὀλισθήσαντες,
ὡς ἐχέφρονες δὲ διαφυγόντες τὸν ὄλεθρον, καὶ ταχὺ μὲν πεσόντες, ταχὺ δ' ἀναστάντες
ἀπὸ τοῦ πτώματος, ἐξομολογήσει τε θερμοτέρᾳ καὶ τῶν κακῶν ἀποχῇ τὴν πρὸ τοῦ πρὸς
θεὸν παρρησίαν ἀνακτησάμενοι. τοὺς Νινευΐτας πρὸς τούτοις καὶ τὰ κατ' ἐκείνους σκο-
πήσωμεν, καὶ μὴ τοσοῦτον μόνον αὐτοῖς παραβληθῆναι θελήσωμεν, ὅσον τῆς ὀργῆς τοῦ
θεοῦ καθ' ἑαυτῶν ἐκκαῦσαι τὸ πῦρ, μηδὲ τὰ πρῶτα* ζηλώσαντες τῆς κατ' αὐτοὺς ἱστο-
ρίας καὶ μέχρι τοῦ σκυθρωποῦ προβάντες μηνύματος, τὰ μετὰ ταῦτα παρῶμεν, ἀλλ'
ἐκεῖνα μᾶλλον, ἐκεῖνα*, καὶ χερσὶν ἀμφοτέραις καὶ ψυχῇ καὶ καρδίᾳ καὶ πάσαις προ-
θυμίαις ἁρπάσωμεν· μεγάλην καὶ αὐτοὶ πονηρίαν μετανοί|ᾳ μείζονι κρύψωμεν· 250[1]
γενώμεθα μᾶλλον ἐκεῖθεν ἢ ἐντεῦθεν ἀοίδιμοι. δῶμεν τῷδε τῷ βίῳ ἀριστείας μεγάλης
καὶ ἀπίστου διήγημα, μέχρι συντελείας αἰώνων θαυμαζόμενον καὶ ὑμνούμενον, τὴν ἐν
πᾶσιν ἀνίκητον καὶ πάντων ἰσχυροτέραν ἀπόφασιν τοῦ θεοῦ τῶν δυνάμεων ἐπιστροφῇ
νικήσαντες μόνῃ· ὅτι δὲ καὶ νικήσομεν καὶ διὰ τέλους ἐσόμεθα τοῖς μεθ' ἡμᾶς ἐσο-
μένοις ὑπόδειγμα χρηστὸν καὶ σωτήριον ἀντὶ χαλεποῦ καὶ στυγνοῦ, μὴ κατ' ἐκείνους
διστάσωμεν· οἱ μὲν γὰρ πρὸς ἕτερον τοιοῦτον οὐδὲν ἀφορᾶν ἴσως ἔχοντες εἰκότως οὐκ
ᾔδεισαν, εἰ μετανοήσει καὶ ἀποστρέψει, ὅμως δὲ κἂν οὐκ ᾔδεισαν, ἑαυτῶν οὐκ ἀπέ-
γνωσαν, ἀλλ' ὅλοι τῆς κρείττονος γενόμενοι γνώμης, βεβαίως κατώρθωσαν ὃ βεβαίως
οὐκ ἤλπισαν.* [31] *ἡμῖν δὲ παντοίων παρόντων τοιούτων ὑποδειγμάτων, κἂν μηδὲν ὑπῆν
ἄλλο, τὸ κατ' ἐκείνους ἤρκεσεν ἂν εἰς τὸ θαρρεῖν τὰ χρηστότερα, πανταχοῦ τε καὶ πᾶσιν
ἀνὰ στόμα φερόμενον. τούτους οὖν πολλῷ πλέον κατὰ τοῦτο ζηλώσωμεν· | εἰ δὲ* 250[2]
*σωφρονοῦμεν, καὶ ὑπερβάλωμεν· αἰσχρὸν γάρ, αἰσχρόν, καὶ ἀτεχνῶς ἄτοπον, εἰ καὶ
Φαρισαίων — δέον ἡμᾶς, ἀναγκαῖον δὲ μᾶλλον, πολὺ κατ' ἀρετὴν περιεῖναι τῆς θεοῦ
βασιλείας ἐφιεμένους τῶν ὑπὸ νόμον φημὶ καὶ τῆς διαθήκης ἐντός; εἶτα καὶ βαρβάρων
ἀνδρῶν, ἔξω νόμου κειμένων — ἐν τοῖς βελτίστοις ἀπολειφθείημεν ἢ μὴ πλείστῳ τῷ
μέσῳ τὸ κατ' ἐκείνους μέτρον παρέλθοιμεν.* [32] *ἄγε τοίνυν, μὴ μέλλωμεν, μηδὲ τῶν
σπουδαίων ἐς αὖθις ὀνειροπολῶμεν τὴν αἵρεσιν, μηδ' ἐν οὕτω παντάπασι στενῷ καιρῷ
καὶ κινδύνῳ τὰς τῆς ἀδείας ζητῶμεν ἀναβολὰς καὶ μελλήσεις, μήποτε κακὸν ἐπειγόμενον
ῥαθυμοῦσαν φθάσοι παρασκευήν, καὶ πραγμάτων ὀξύτης βουλευμάτων καὶ σκέψεων
προλάβοι διατριβήν, ἀλλὰ τὸ πρακτέον ἤδη μαθόντες ἐντεῦθεν παρὰ τοῦ λόγου, ἐπὶ
τὸ ἔργον αὐτίκα μετὰ τὸν λόγον χωρήσωμεν, καὶ εἰς ἄνδρας ἄλλους στραφῶμεν, ὅπερ
ἀκούομεν*, καὶ τὴν καλὴν καὶ σωτήριον ἀλλοιωθῶμεν ἀλλοίωσιν.*

[33] *Ἂν οὕτω πρὸς κύριον ἐπιστρέψωμεν καὶ μετὰ τοιαύτης αὐτὸν μεταβολῆς | ἐκ-* 251[1]
*ζητήσωμεν, ταχὺ καὶ αὐτὸς ἐπιστραφήσεται πρὸς ἡμᾶς, καὶ τὸν μὲν θυμὸν ἀφ' ἡμῶν,
ἀπὸ δὲ τῶν ἡμετέρων κακῶν ἀποστρέψει τὸ πρόσωπον, μᾶλλον δὲ πρὸς ἡμᾶς ἐπιστρέψει
τοῦτο, καὶ σωθησόμεθα. τί τοῦ φαρμάκου τοῦδε λυσιτελέστερον ἢ τί προχειρότερον;
προθυμία μόνον παρέστω, καὶ τὸ πᾶν κατωρθώσαμεν.*

[34] *Ὁ δὲ θεὸς ὁ μακρόθυμος, ὁ θεὸς τοῦ ἐλεεῖν καὶ σῴζειν, ὁ φιλανθρωπίας πατήρ,
ὁ θελητὴς ἐλέους καὶ οἰκτιρμῶν, ὁ παιδεύων μὲν εἰς καιρόν, ἀλλ' οὐ χωρὶς οἰκτιρμῶν,
οὐδὲ θανάτῳ παραδιδούς*, ἀλλὰ πάλιν ἰώμενος, ὁ καὶ φοβῶν ἵνα σώσῃ, καὶ σῴζων*

30 *πρῶτα* C[2], *πρώτα* C[1] | 30 *ἐκεῖνα* an *ἐκεῖναι* C incertum | 32 Regn *α* 10, 6 | 34 Psalm *ρις* 18

*διὰ τῶν φόβων, ὁ παρακαλῶν ὡς μὴ πλήξῃ, καὶ πλήττων εἰ μὴ μαλάξει, τοῖς δεξιοῖς
τε καὶ χείροσι καὶ τοῖς ἐναντίοις ἁπλῶς οἰκονομῶν τὸ αὐτὸ καὶ πρὸς ἓν τὸ συμφέρον
μηχανώμενος ἅπαντα, αὐτὸς παραγάγοι καὶ τὴν νῦν ἀπειλὴν ἄχρι φόβου, καὶ μόνον
τὸ δεινὸν ἐνδειξάμενος, καὶ πάλιν ἡμᾶς τῇ ἑαυτοῦ χάριτι παρακαλέσοι πλουσίως — γενο-
μένους ἐντεῦθεν σωφρονεστέρους — ἡ ἀληθινὴ καὶ βεβαία παράκλησις τῶν εἰς αὐτὸν
ἠλπικότων. ὅτι αὐτῷ πρέπει πᾶσα | δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ εἰς τοὺς* 251[2]
αἰῶνας τῶν αἰώνων. ἀμήν.

186. *Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων χαριστήριος λόγος ἐπὶ τῇ
καθαιρέσει τῆς τυραννίδος. ἐλέχθη δὲ μετὰ πέμπτην τῶν Χριστοῦ γεννῶν ἡμέραν ἐν*[o].

[1] *Ἔλαμψεν ἡ δόξα τοῦ γεννηθέντος, ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος*,
γνωστὴ πᾶσι γέγονεν ἡ δύναμις τοῦ τεχθέντος. Χριστὸς ἀληθῶς ἐξ οὐρανοῦ πρὸς ἡμᾶς·
Χριστὸς ἐν ἀνθρώποις ἐπὶ γῆς ἐμφανῶς. αὐτὸς ὄντως, ὕψιστε Χριστὲ βασιλεῦ, εἰς
σωτηρίαν ἥκεις λαοῦ σου· τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας· βασιλεῖς γὰρ καὶ πόλιν
καὶ λαὸν περιούσιον, τοῦτο δὴ τὸ ἅγιον ἔθνος σου, τὸ βασίλειον ἱεράτευμα*, τὴν ἐξαί-
ρετόν σου κληρονομίαν, ἐκ μεγάλων ἄρτι κινδύνων περιεποιήσω καὶ ἔσωσας, ἰσχὺν δε-
δωκὼς τοῖς βασιλεῦσιν ἡμῶν καὶ ἀνυψώσας κέρας χριστῶν σου*· ἔδει γὰρ τοιοῦτον
μυστήριον ἀπὸ τοιούτων ἄρξασθαι προοιμίων, καὶ τοῦ τῆς εἰρήνης τεχθέντος ἐν γῇ
βασιλέως οἱονεί τι δῶρον γενέθλιον εὐθὺς τὴν εἰρήνην ἐπιβραβευθῆναι τοῖς πράγμασι.*

[2] *μεθ' ἡμῶν ὁ θεός*. παρρησίᾳ | βοήσομαι κἀγὼ μετὰ Ἡσαΐου Γνῶτε, ἔθνη,* 252[1]
καὶ ἡττᾶσθε, αἰσχύνθητε πάντες, οἱ μισοῦντες ἡμᾶς, οἵ τε πρὶν πολεμοῦντες καὶ οἱ νῦν
κακῶς ἐκπολεμωθέντες, οἱ τὴν φύσιν τε βάρβαροι καὶ οἱ βάρβαροι τὴν προαίρεσιν οἱ
καὶ πλέον ἡμᾶς ἢ ἐκεῖνοι λυπήσαντες, οἱ καινοί τε καὶ ἄτοποι τῶν φίλων ἐχθροί, οἱ
τῶν οἰκείων ἀλλότριοι, οἱ ὁμογενεῖς — καὶ ἀλλόφυλοι, οἱ οὐχ ἡμέτεροι — κἂν ἡμέτεροι, οἱ
σύμμαχοι — καὶ πολέμιοι, οἱ φύλακες — καὶ ἐπίβουλοι, τὰ μὲν νομιζόμενοι καὶ ὀφεί-
λοντες εἶναι, τὰ δὲ γεγονότες ὑπ' ἀγνωμοσύνης τε καὶ σκαιότητος.*

[3] *Μεθ' ἡμῶν ὁ θεός*· λεγέσθω γὰρ πάλιν ὑφ' ἡδονῆς τὸ καλόν· θεὸς δικαιοσύνης
καὶ δίκαιος, καὶ ἐκδικήσεων κύριος*, ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος* καὶ ταχεῖαν
αὐτοῖς ἀποδιδοὺς ἀνταπόδοσιν, ὁ τόξα συντρίβων ἁμαρτωλῶν καὶ βραχίονας, καὶ συνθλῶν
ὅπλα βίαια καὶ θυρεοὺς κατακαίων ἐν πυρί*, οἷς ἐκεῖνοι θαρρήσαντες, ἐπειδὴ ἅπαξ
οἴστρῳ φιλαρχίας ἐβλήθησαν, παρ' ἑαυτῶν ἐβασίλευσαν αὐτοὶ καὶ οὐ δι' ἐκείνου*, καὶ
| τὴν τιμὴν παρανόμως ἑαυτοῖς λαβεῖν ἔσπευσαν, τὸν δὲ ταπεινοῦντα καὶ ἀνυ-* 252[2]
ψοῦντα, τὸν καθίζοντα βασιλεῖς ἐπὶ θρόνων καὶ ἀνυπονόητον κοσμοῦντα τῷ διαδήματι
οὐδαμῶς ἐξεζήτησαν, ἀλλ' ἁρπαγμὸν ἡγησάμενοι* τὸ ἄρχειν καὶ δυναστεύειν, καὶ τοῦ
τρέχοντος ταῦτα καὶ διώκοντος εἶναι ἢ τοῦ ἐλεοῦντος θεοῦ* καὶ διδόντος οἷς θέλει πρὸς
τὸ κοινῇ συμφέρον* ἐλπίσαντες, εἰς ἀποστασίαν μὲν πρότερον, μετ' οὐ πολὺ δὲ — τὸ
χεῖρον — εἰς ἐπανάστασιν ἤδη φανερὰν ἐξερράγησαν, ὑφ' ἧς τοσούτων ἐπλήσθη τὰ
κοινὰ συμφορῶν, ὡς ἐν ὀλίγῳ μὲν χρόνῳ τὰ πάντων ὑπομεῖναι βαρύτερα, συχνοῦ δὲ
καὶ πάνυ πρὸς ἐπανόρθωσιν δεῖσθαι· τοῦτο γὰρ τὸ δεινότατον ὧν ἔχει κακία, καὶ*

o Decembr 29 anni 1047 *Lagarde* | 1 Tit 2, 11 | 1 Exod 19, 6 | 1 Regn α 2, 10 | 2 3 Matth 1, 23 | 2 Isa 8, 9 3 Ps 9γ 1 | 3 Iacob 4, 6 Petr α 5, 5 | 3 Ps με 10 | 3 Phil 2, 6 | 3 Prov 8, 15 | 3 Regn α 2, 7 | 3 Rom 9, 16 | 3 Cor α 12, 7

τούτῳ κρατεῖ τῶν βελτιόνων τὰ χείρω, ὅτι τῶν μὲν σχολῇ καὶ σὺν πόνῳ καὶ κατὰ βραχὺ
τὸ ὠφέλιμον, τῶν δὲ τοὐναντίον δι' ὀλίγου καὶ ῥᾷστον καὶ ἀθρόον τὸ βλαβερόν, καὶ
πολλάκις ὃ μόλις ἀρεταὶ πολλαὶ καὶ μεγάλαι μετὰ πλείστων καμάτων ἐν μακροῖς κατώρ-
θωσαν χρόνοις, μία προσβολὴ πονηρίας ἐν ἀκα|ρεῖ κατέλυσε καὶ διέφθειρεν· ὃ δ' 253[1]
ἀπώλεσεν αὕτη πάλιν αὖ ἐν βραχεῖ, πάνυ μόλις ἐκεῖναι διὰ μικροῦ ἀνεσώσαντο. [4]ἀλλὰ
δεῖ μικρὸν ἄνωθεν ἀναλαβεῖν τὸ συμβάν, ἵν' ἐκεῖθεν μᾶλλον ἐπιγνωσθῇ τῆς νῦν εὐερ-
γεσίας τὸ μέγεθος, καὶ τῇ παραθέσει τῶν λυπηρῶν ἐπὶ πλέον ἡδύτερα φανῇ τὰ χρηστά.

[5]Εἶχε μὲν ἡμῖν πρὸ μικροῦ καλῶς καὶ σωτηρίως τὰ πράγματα· τὸ πολιτικόν τε
γὰρ κάλλιστα τὸν ἑαυτοῦ κόσμον ἔσῳζε, καὶ τὸ ἐν στρατείαις ἐξεταζόμενον θαυμαστὴν
τὴν εὐπείθειαν παρεῖχε τοῖς ἡγεμόσιν, ὡς ἐντεῦθεν συμβαίνειν κατορθοῦσθαι μὲν πλεί-
στους βαρβαρικοὺς πολέμους ἡμῖν, τὸ δ' ὁμόφυλον ἅπαν ἄγειν εἰρήνην, καὶ μετὰ πολλῆς
τῆς ἀδείας τὸ ἑαυτοῦ πράττειν ἕκαστον, ὅπερ ἴδιον ἴσμεν πολιτείας εὐνομουμένης καὶ
τὸν ἄριστον τρόπον ὑπὸ τῶν ἀρχόντων ἰθυνομένης. [6]ἀλλ' ἐπείπερ οὐκ ἔστιν ἀνθρω-
πίνην εὐημερίαν μετριάζειν εἰς τέλος, οὐδὲ μέχρι παντὸς ἀπραγμονεῖν τὴν σχολήν, ἄλλως
τε, κἂν τύχῃ μὴ λόγου χαλινῷ κρατουμένη, τίς ἀρχὴ τοῦ κακοῦ; καὶ πόθεν τῇ γαλήνῃ
τοῦ βίου | ἡ δεινή τε καὶ βίαιος ἐπέρραξε θύελλα, ἣ ὀλίγου ἐδέησεν ἀνατρέψαι 253[2]
πᾶσαν ἐξαίφνης ὥσπερ σκάφος τὴν πολιτείαν;

[7]Συνειστήκει τις πόλεμος ὑπερόριος βασιλεῖ πρὸς τοὺς ὑπὲρ τὸν Εὐφράτην βαρ-
βάρους, ἤδη μὲν φανερῶς τὰς πρὸς αὐτὸν συνθήκας ἠθετηκότας, ἤδη δὲ καὶ χωρίων
τινῶν ῥωμαϊκῶν ἀφαιρέσει τὴν ἀρχὴν αὐτῷ ζημιοῦντας, καὶ πολλάκις μὲν εἰς συμβάσεις
παρακαλουμένους ἐπιεικεῖς, οὐδὲν δὲ ποιεῖν τῶν μετρίων ὅμως ἀνεχομένους. ἐπ' ἐκείνους
οὖν τῶν πρὸς ἕω τεταγμένων ταγμάτων, τοῖς ἐν δυσμαῖς ἐπετράπη κατὰ χώραν μέ-
νουσι τέως ἡσυχίαν ἄγειν ἀπὸ τῶν ὅπλων· οὐκ ἀναγκαίαν γὰρ εἶναι τὴν αὐτῶν συμμα-
χίαν τοῖς ἐν πολεμίᾳ συστρατιώταις, ὡς ἐκείνων ἀρκούντων ἑαυτοῖς πρὸς τὴν νίκην
μετὰ τῆς τοῦ κρείττονος νεύσεως, — οὐχ ἥκιστα δὲ καὶ φυλακῆς ἕνεκα τῶν τῇδε πραγμάτων,
ὡς ἂν ἐφεδρεύοιεν, ἐνταῦθα καθιδρυμένοι, πρὸς τὰ παρ' ἐλπίδα κινήματα τῶν ἐπὶ τάδε
βαρβάρων· τὸ δ' ἀληθέστατον πάντων, βασιλικῇ κατεχρήσαντο φειδοῖ καὶ φιλανθρωπίᾳ,
| ἣ τοῖς πᾶσι τὰ πάντα γινομένη* διὰ χρηστότητα, καὶ τούτοις ἐφῆκε βουλομένοις 254[1]
οἴκοι διάγειν· καὶ ταῦτ' εἴπερ ἤθελε κινεῖν τε καὶ τρύχειν, οὐκ ἂν οὐδ' ἐνθάδε δια-
μαρτοῦσα προφάσεως, τοῦ παρὰ τὸν Ἴστρον βαρβαρικοῦ οὐ μικρὰ κακοῦντος ἐνίοτε τὴν
γείτονα Θρᾴκην λῃστρικαῖς ἐκδρομαῖς καὶ παραβόλοις ἐφόδοις, ἵν' ἐάσω τὰ μείζω καὶ
βιαιότερα τῶν δυσμικωτέρων ἐθνῶν, οἷς πολλὰ καὶ πολλάκις ἡ Ῥωμαίων παρενοχλεῖται.

[8]ἀλλ' οὐχ οὗτος ὁ τρόπος τοῦ χρηστοῦ βασιλέως, ἀλλ' ὁμαλῶς καὶ ἀλύπως — εἴ
τις ἄλλος τῶν πώποτε — τὴν ἀρχὴν ἐθέλει μεταχειρίζεσθαι, εἰδὼς τὸ μὲν βίαιον οὐκ
ἔμμονον οὐδὲ βέβαιον, τὸ δὲ πειθοῖ μᾶλλον ἄγειν ἀνυσιμώτερόν πως καὶ ἀσφαλέστερον,
καὶ τὸ μὲν σφοδρὸν καὶ ἀνένδοτον τυραννικὸν καὶ δεσποτικόν, τὸ δ' ἐπιεικὲς καὶ τὸ
μέτριον βασιλικόν τε καὶ πατρικόν, καθ' ἃ καὶ τὸν κόσμον ὑπὸ θεοῦ διοικεῖσθαι οὐδένα
πρὸς βίαν οὔτ' ἄγοντος οὔτ' ἄγειν ἐντελλομένου, ἀλλὰ πειθοῖ τε καὶ λόγῳ τὴν ἀνάγ-
κην παράγοντος, ὃν καὶ τἄλλα ζηλοῦν (ὡς ἐφικτόν) προθυμούμενος, | τοῦτο 254[2]
μάλιστα πάντων ἐκμιμεῖσθαι σπουδάζει, τὸ προσηνές τε καὶ ἤπιον καὶ χρηστὸν πρὸς

7 Corinth α 9, 22

τοὺς ὑπηκόους. [9]τοιοῦτος μὲν οὖν ὁ βασιλεὺς ὁ ἡμέτερος. οἱ δ' ὡς ἅπαξ ἐλάβοντο σχολῆς καὶ ἀνέσεως, αὐτίκα τὸ πάλαι παρ' αὐτοῖς ὠδινόμενον εἰς φῶς ἐνεγκόντες, καὶ κοινῇ συστάντες καθ' ἑαυτοὺς καὶ προελθόντες εἰς ὕπαιθρον, διαρρήδην ἀνεῖπον ἑαυτοὺς πονηρούς, ἀνθ' ὑπηκόων μὲν ἀποστάται, ἀντὶ δὲ ἀρχομένων ἀδέσποτοι καὶ ἀντὶ βασιλευομένων ὁμολογήσαντες ἀβασίλευτοι εἶναι. [10]εἰς οὐδὲν δ' ὅμως ἔληξεν ἡ τόλμα τῶν ἀνηκέστων· στρατιωτικῆς γὰρ θρασύτητος ἐπιείκεια τάχιστα βασιλικὴ περιγίνεται, καὶ φορὰν ἀλόγιστον πλήθους ἑνὸς ἀνδρὸς ἔμφρονος ἐπέχει* προμήθεια· δεξιαὶ γὰρ εὐθὺς ἐκ βασιλέως αὐτοῖς, καὶ λόγοι προσηνεῖς τε καὶ μέτριοι, πρὸς οὓς ἀντέσχεν οὐδεὶς οὐδὲ τῶν θρασυτάτων, ἀλλὰ μόνον ὡς ᾔσθοντο πραείας φωνῆς, παρ' αὐτίκα τὸν ἥμερον ἐπέγνωσαν ἄρχοντα, καὶ νικηθέντες αἰδοῖ, τὰς δεξιάς τε παρείθησαν καὶ τὴν ὁρμὴν ἐπεσχέθησαν. ἀλλ' οἱ μὲν οὐκ ἐν μά|χῃ, ἀλλ' ἐν εἰρήνῃ λ[ε]ιποτα- 255[1]
κτήσαντες, ἐπειδὴ τὸ ἀνακλητικὸν εὐθὺς ἤκουσαν, ταχὺ μετεβάλοντο καὶ εἰς τάξιν αὖθις καὶ κόσμον ἐξ ἀκοσμίας κατέστησαν, τοσοῦτον ἀτακτήσαντες μόνον ὅσον ἀράμενοι τὰ ὅπλα — οὐκ ἔτι κατὰ πολεμίων ὡς ἔθος, ἀλλὰ κατὰ στρατηγοῦ τε καὶ βασιλέως — εὐθὺς καταθέσθαι καὶ πάλιν γνωρίσαι τὸν ἑαυτῶν ἡγεμόνα καὶ τὸν ἀρνηθέντα δεσπότην εὐφημῆσαι καὶ προσκυνῆσαι.

[11]Οὕτω μὲν οὖν τοῖς κατὰ δύσιν στρατεύμασιν ἡ πρώτη πρὸς ἀποστασίαν ὁρμὴ πρὶν φανῆναι τοῖς πλείοσι, σχεδὸν ἀπεκρύβη, καὶ πρὶν ἢ συστῆναι, διελύθη (ὡς ἔδοξε)· τὸ δ' (ὡς ἔοικεν) ἦν οὐ τελεία κατάλυσις, ἀλλ' ἐποχὴ μικρὰ τοῦ κακοῦ, καὶ τὸ δόξαν τῆς τότε συμφορᾶς εἶναι πέρας ἐλάνθανε μειζόνων δεινῶν ἀρχή τις ὂν καὶ προοίμιον. πάλιν γὰρ ἡμῖν οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον, κακοὶ περιφανῶς οἱ κακοί, κατ' οὐδὲν γεγονότες ἐκ τῆς πρώτης πείρας βελτίους, οὐδ' — εἰ μή τι γε ἄλλο — τὴν περὶ αὐτοὺς τοῦ κρατοῦντος ἐντραπέντες μακροθυμίαν, ὃς τὴν πρὶν ἀταξίαν οὐ|χ ὅπως ἀπο- 255[2]
τόμως μετῆλθεν οὐδ' ἀνηκέστως ἐκόλασε, τοῖς περὶ τούτων κειμένοις νόμοις χρησάμενος, ἀλλ' ἑτέρῳ πειθόμενος θειοτέρῳ νόμῳ καὶ πρᾳοτέρῳ πολὺ τοὐναντίον εὐποιΐαις ἠμείψατο τὴν εἰς αὐτὸν παροινίαν, φιλοτίμοις τε δεξιώσεσι καὶ διανομαῖς δωρεῶν καὶ βαθμῶν προκοπαῖς τοὺς ὑβριστὰς θεραπεύσας, καὶ πάντα τρόπον αὐτοῖς ἐκπιθασεῦσαι σπουδάσας τὸ τῆς ψυχῆς ἀγριαῖνον ἢ καὶ θεραπεῦσαι τὸ ἀνιώμενον. [12]ἀλλ' ἀσυλλόγιστον ὄντως κατὰ τοὺς εἰπόντας ἡ πονηρία, καὶ οὐκ ἔστιν ᾧ τις ἂν τοὺς κακοὺς βελτίους ποιήσειεν· εἴθε δὲ μὴ καὶ χείρους ἔστιν ὅτε καὶ οὓς δι' ὧν εὖ ποιῶν μεταβαλεῖν τις ἐπιχειρεῖ, ἐπειδήπερ ὡς τὰ πολλὰ τὸ φιλάνθρωπον δειλὸν δοκεῖ τῇ κακίᾳ καὶ τὸ συμπαθὲς ἀσθενές, καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ τις καὶ πλέον αὐτὴν ταῖς θεραπείαις μετέρχεται· ὥσπερ δὴ τοὐναντίον τὸ σκληρὸν καὶ ἀντίτυπον τοῖς πονηροῖς νομίζεται γενναιότερον καὶ διὰ τοῦτο τάχα καὶ φοβερώτερον. [13]ἐκείνοις γοῦν τού|των οὐδὲν ὡς ἔπος 256[1]
ἐμέλησεν ὅτι μὴ κἀντεῦθεν καὶ πλέον πρὸς ἀναίδειαν ἠρεθίσθησαν, τοῦ ἐπιεικοῦς ὡς ἀνάνδρου καὶ ἀγεννοῦς καταναισχυντήσαντες, καὶ ταύτῃ τοῖς προτέροις κακοῖς καὶ δεύτερα προσθεῖναι φιλονεικήσαντες — ἅπαξ γὰρ (φασί) κύων μαθοῦσα σκυτοτραγεῖν, δυσαπότρεπτόν τι χρῆμα καὶ δυσεκβίαστον —, ἐπὶ τοσοῦτον δὲ μόνον ὑπεκρίθησαν τὸν μετάμελον, ἐφ' ὅσον ἠπόρουν ἀναισχύντου προστάτου ἢ ἀνοήτου, βασιλέως σχῆμα καὶ ὄνομα εἰς ἑαυτὸν ἀναδέξασθαι ῥιψοκινδύνως θαρροῦντος καὶ τὸν μέγαν ἆθλον ἐκεῖνον ὑπελθεῖν

10 ἐπείχει apogr

οὐκ ὀκνοῦντος. [14]βραχὺς ὁ μεταξὺ χρόνος, καὶ παρῆν αὐτόματος ὁ ζητούμενος, ἀνὴρ
τἆλλα μὲν οὐ πάντη μεμπτός, εἴ τι χρὴ πιστεύειν τοῖς λέγουσιν, εὐηθείας δὲ καὶ κου-
φότητος ἥκων εἰς τὸ ἀκρότατον. τῶν εὐπατριδῶν τις ἦν καὶ τῶν πάνυ, ὅς γε καὶ αὐτῷ
βασιλεῖ προσεχῶς ἐκοινώνει συγγενείας καὶ αἵματος. ἀλλ' ἔοικεν ἔρως ἐμμανὴς φιλαρχίας
πάντων ἅμα καταφρονεῖν. παρ' αὐτοῦ μέντοι τούτου καὶ τοῖς λαμπροτάτοις ἐγκαταλεγεὶς
| τῶν ἐν τέλει, καὶ πολλὰς καὶ μεγάλας στρατηγικὰς ἀρχὰς πιστευθείς, ὑπὲρ τοὺς 256[3]
κατ' αὐτόν τε πάντας μικροῦ κατὰ τὸ συγγενὲς φιληθείς, οὐκ ἠγάπησε μένειν ἀπραγμόνως
καθ' ἑαυτόν, οὐδὲ στέργειν τὴν τάξιν ἣν ἐτάχθη παρὰ τοῦ μείζονος, ἀλλ' ἄμεινον κρίνας
πάντων μᾶλλον κρατεῖν ἢ τινῶν, καὶ μὴ μέρους ἄρχειν, ἀλλὰ τοῦ ὅλου, πρᾶγμα κατὰ
νοῦν βάλλεται δεινῶς χαλεπὸν ἢ καὶ ὅλως ἀδύνατον. ὑπὲρ τὴν ἑαυτοῦ κορυφὴν ἀρθῆναι
διανοεῖται, καὶ τοῦ τῆς βασιλείας ὕψους πιστεύει τῇ χειρὶ δράξασθαι καὶ αὐτοκράτωρ
νέος ἡμῖν ὁ γενναῖος ἑτοίμως ἀναφανῆναι, τὸν παλαιὸν παρωσάμενος. καὶ γὰρ τοιοῦτον
ἡ ἄνοια· μεγάλα μὲν πολλάκις φαντάζεται, ἐπιχειρεῖν δ' οὐκ ὀκνεῖ καὶ τοῖς ἀμηχάνοις
ἐνίοτε, ἔχει δ' ὅμως τι χρήσιμον ἐν ἑαυτῇ, τὸ εὐφώρατον. [15]οὔπω γοῦν οὗτος ἔφθασε
τὴν ὅλην σκέψιν συνθείς, καὶ τὴν βασιλέως οὐκ ἔλαθεν ὀξύτητα καὶ ἀγχίνοιαν· προ-
καταλαμβάνεται δή· καὶ ὁ ἀδικῶν τηλικαῦτα τὴν τοῖς ἀδικοῦσιν ἑτοίμην ἀπολογίαν
προ|βάλλεται· ἀπαρνεῖται τὴν ἀδικίαν. ἐξόμνυται τὴν μελέτην. συγκαλύπτει τὸ 257[1]
ἔγκλημα. τῷ ψεύδει σκεπάζεται, καὶ τοῦτον τὸν τρόπον ὑπεκδῦναι πειρᾶται καθαρῶς
τὴν ὑπόνοιαν. ἵνα δ' ᾖ πιθανώτερον αὐτῷ τὸ τῆς ὑποκρίσεως *(ποιεῖ γὰρ σοφοὺς καὶ
τοὺς εὐήθεις ὁ φόβος), ἀποτάσσεται κόσμῳ, παραιτεῖται τὸν βίον, τὴν ἐπὶ γῆς στρατείαν
ἀποσκευάζεται, καὶ ὑπελθὼν εὐλαβείας σχῆμα καὶ πλάσμα, καὶ σκευὴν περιθέμενος
αὐτίκα μοναδικήν, δι' ἐκείνης τὸν κίνδυνον εὐφυῶς παρακρούεται, καὶ τὸν Δαβὶδ* μιμεῖται
πρὸς τοὐναντίον, οὐκ ἐκ σωφρονοῦντος ὁ βέλτιστος ὑποκριθεὶς τὸν μαινόμενον, ἀλλ' ἐξ
ἀνοήτου καὶ ἄφρονος τὸν ὀρθῶς φρονοῦντα πλασάμενος· καὶ οὕτως ἐκ μέσων ἤδη
δικτύων ἀποφεύγει τὸ θήραμα τῆς βασιλικῆς γαληνότητος, ἅμα μὲν ὁμαλῶς προσποιου-
μένης πιστεύειν τοῖς τὰς καθ' ἑαυτῶν ὡς ἐκεῖνος αἰτίας ἐξομνυμένοις, μόνον εἴπερ
προσείη τις ἐλπὶς διορθώσεως, ἅμα δὲ τῶν εἰς τοῦτο μεταβαλλόντων τὸν βίον φειδομένης
ὑπ' εὐσεβείας | καὶ ὡς ἱεροῦ τινὸς ἀσύλου ἀπεχομένης τοῦ σχήματος· δι' ὅπερ 257[2]
κἀκεῖνος τότε σωθείς, ἐπ' ἴσης ἀγνώμων καὶ πρὸς τὸν φεισάμενον γίνεται καὶ πρὸς τὸ
τῆς σωτηρίας αὐτῷ καὶ τῆς φειδοῦς αἴτιον.

[16]Ὡς γὰρ ᾔσθετο τάχιστα ὅτι νεωτέρων ἐρᾷ τὰ κατὰ δύσιν στρατεύματα, καὶ το-
σοῦτον ὑπούλως ἔχει καὶ κακοήθως, ἅμα δὲ καὶ συνθήματος ἐκεῖθεν αὐτῷ κατὰ τὸ λε-
ληθὸς ἐνδοθέντος, μηδὲν μελλήσας μηδ' ἀναδύς* (καὶ γὰρ ἦν ἐλεύθερος διάγων καὶ
ἄνετος, ὡς ἤδη τὰς πάσας ὑποψίας ἀποφυγών), πᾶσαν αἴσθησιν κλέψας ὡς οὐκ ἄν
τις ᾠήθη, Ἱεροβοὰμ ἄλλος γίνεται θᾶττον ἀντὶ Δαβίδ, ἀποστάτης μὲν καὶ δραπέτης
ἀγαθοῦ δεσπότου καὶ βασιλέως, πονηροῦ δὲ συστήματος αὐτοχειροτόνητος ἄρχων. ὢ
δυσέρωτος ἔρωτος. ὢ κακίστης ἐπιθυμίας.

[17]Τί δὲ δὴ καὶ δράσειν, ὦ οὗτος, πρὸς τῆς ἀληθείας διανοῇ; εἴ τις ἔτι σοι δύναμις
συμβουλὴν ἀναμεῖναι; βασιλείας ὄντως ἐρᾷς; καὶ ἀπαξιῶν τἆλλα πάντα — τά τε κατὰ

15 C[m] γνώμη | 15 Regn α 21, 13 | 16 ἀναδὺς C[1], per compendium scripturae C[2] ἀναδυσεὶς vel ἀναδεὶς? Studemund

σὲ καὶ τὰ ὑπὲρ σέ — πολλῶν ὄντων, τὴν ἁλουργίδα μόνον περι|σκοπεῖς, καὶ 258[1]
πρὸς τὸ διάδημα κέχηνας, καὶ ἄρχων ἀρχόντων ἡμῖν, ὦ γενναῖε, καὶ κύριος κυρίων
προθυμῇ καταστῆναι; ὡς νεανικὸς ὄντως σὺ καὶ θαυμαστὸς τὴν τόλμαν καὶ τὴν ὁρμήν,
εἴπερ ἔμελλε πάντως προχωρεῖν σοι τὸ βούλημα· νῦν δὲ σύνες ἡλίκος ὁ τοῦ πράγματος
φόβος.

[18] μέγαν, ἄνθρωπε, κύβον ἀναρρῖψαι ζητεῖς. περὶ ψυχῆς αὐτῆς ὁ ἀγών σοι. δεινὸς
ὁ κίνδυνος. φοβερὸν τὸ ἐγχείρημα. κατὰ ξιφῶν κυβιστᾷς. ὑπὲρ βαράθρου σκιρτᾷς.
μεταξὺ ζωῆς καὶ θανάτου διὰ στενοῦ πάνυ τρέχεις. ἐπίσχες, ὦ τάλαν· ποῖ ποτὲ φέρῃ;
ἐπίσχες, εἴπερ τι καὶ βραχὺ σωφρονεῖς. φύγε τὸν ἐπίκρημνον ὄλισθον. φύγε τὸν τοῦ
πτώματος ὄλεθρον. φεῖσαι τῶν ἀπίστων ἐλπίδων. λόγισαι τὸ μέλλον ὡς οὐκ ἐχέγγυον.
ἀμφοτέρωθέν σοι δεινὸν τῆς ἐπιβολῆς τὸ παράβολον· ἂν μὲν κατορθώσῃς, αἰσχρόν, εἰ
καὶ δοκεῖ πως ἡδύ· τυραννίδα γὰρ κατορθοῖς, τὸ πᾶσιν ἀνθρώποις — τοῖς τε νῦν καὶ
τοῖς πάλαι — μισητὸν παρὰ πάντα πρᾶγμα καὶ ὄνομα· ἂν δὲ διαμάρτῃς, ὀλέθριον·
εἰς αὐτὸν γὰρ κατάξει σε τὸν | ᾅδου πυθμένα*· πᾶς δ' ἂν εὖ φρονῶν μᾶλλον 258[2]
ἕλοιτο ταπεινὰ βαδίζειν μετ' ἀσφαλείας ἢ μετέωρα βαίνειν σφαλερῶς τε καὶ θανασίμως·
καὶ τὸ τοῖς πολλοῖς συντετάχθαι παρὰ μηδενὸς μισούμενον αἱρετώτερον ἢ πάντων ἅμα
κρατεῖν τοῖς πᾶσιν ἀπεχθανόμενον. [19] οὐ φησιν ἐκεῖνος ὁ μάταιος οὐδ' ἐπαΐει τούτων
οὐδέν, φλεγμαίνων ἤδη τῷ πάθει καὶ ταῖς ἐλπίσι μεθύων· ἀλλ' »ἐρρίφθω κύβος« εἰπὼν
καὶ τοὺς ὀφθαλμοὺς ἐπιμύσας, κατὰ τοὺς εἰς ἀχανὲς ἐπαφεῖναι μέλλοντας βάθος ὅλον
ἑαυτὸν ἐπιρρίπτει τῇ φορᾷ τῆς ἐπιθυμίας, καὶ τὸν μοναχὸν ἐκδὺς παρὰ χρῆμα (καὶ γὰρ
ἦν ἀνάξιος) τὸν κοσμικὸν ὑποδύεται — ὁ κύων (ὡς λόγος*) πρὸς τὸν ἴδιον ἔμετον.
οὕτω δὲ χαμαιλέων ὁ Λέων ἀναφανεὶς καὶ τὰς ἑαυτοῦ πολλὰς χρόας ὑπελθὼν καὶ
ἀμείψας, τὴν μόνην ἀδύνατον αὐτῷ καὶ ἀμίμητον ἐσχάτην τηρεῖ, καὶ λευκὸς μὲν ἐκ
μέλανος, ὑστερούσης τέως τῆς πορφυρίδος, ἀπὸ στυγνοῦ δὲ λαμπρὸς ὡς οὐκ ἄν τις ἤλπισε,
γίνεται, ἀντὶ μοναδικῆς ὁ γεννάδας, | ἵνα καὶ αὐτὸς λευκότερον εἴπω, βασιλικὴν 259[1]
στολὴν περιθέμενος καὶ γενόμενος ἔξαλλος τὴν ἀναβολὴν παραδόξως. [20] τοῦτο τὸ τέρας
πρῶτον (οἶμαι) καὶ μόνον ἐπὶ γῆς εἶδεν ἥλιος, ὃ καὶ ταῖς ἑξῆς γενεαῖς χρησιμεύει τάχα
πρὸς αἴνιγμα· ὁ τρυχινοφόρος χλαμυδοφόρος· ὁ μοναστὴς ξιφηφόρος· ὁ ἀσκητὴς στρα-
τηγός· ὁ τῆς ὑποταγῆς ἐξουσιαστής, ὁ καὶ ἑαυτὸν ἀρνησάμενος* ἐγκρατὴς τῶν ὅλων (ὡς
ᾤετο)· ὁ τὰ Καίσαρος ῥίψας Καῖσαρ οὗτος αὐτός — μᾶλλον δὲ παράνομος τύραννος,
ἐξ ἀσεβείας λαμπρᾶς τῆς τυραννίδος δραξάμενος καὶ κακὴν ἀρχὴν ὑποθεὶς οὐκ ἀγαθῷ
πράγματι.

[21] Ἐπεὶ δὲ οὕτω προβάλλεται, καὶ τὰ ἑξῆς ἀκόλουθα διατίθεται (οὐ γὰρ λόγοις,
ἀλλ' ἔργοις ἀνομήσας πρῶτος αὐτός, καὶ τὸν Χριστοῦ ζυγὸν ἀπορρίψας τὸν ἐλαφρὸν
καὶ χρηστόν*, τὰς πρὸς αὐτόν τε συνθήκας ἀνέδην ἐξορχησάμενος), ὁδηγὸς δευτέρων
κακῶν — ἐπιορκίας καὶ ψεύδους — τοῖς ἐπαγαγομένοις καθίσταται, δεξιὰς ἤδη πίστεις
βασιλεῖ παρασχόντας ἐπὶ δεύτερον ἄλλον στρατιωτικὸν ὅρκον ἄγων καὶ ἀπ' ἐναντίας τοῖς
| ἔμπροσθεν ὀμνύναι παρασκευάζων· οὐκ εὐτακτήσειν γὰρ ὡς ἐκεῖ, ἀλλ' ἀτακτήσειν 259[2]
μᾶλλον ὁ ὅρκος, καὶ τὸ τῆς εὐπειθείας καλὸν ὥσπερ πρότερον· ἢ μὴν οὐκ ἔτι προδώσειν,
οὕτω νῦν ἐκ παλινῳδίας, ἢ μὴν προδόντας ἐφ' ἅπαξ, οὐκ ἔτι ἀνακαλέσασθαι· ὡς ἐνταῦθα

18 Prov 14, 12 16, 25 | 19 Prov 26, 11 Petr β 2, 22 | 20 Matth 16, 24 | 21 Matth 11, 30

συμβῆναι τὸ θρυλούμενον ἄπορον, καὶ τοὺς σφίσιν αὐτοῖς τἀναντία ὀμωμοκότας ἐν ἀφύκτῳ δή τινι πάγῃ τοῦ πάντως παρανομῆσαι συσχεθέντας λαθεῖν· ἀνάγκη γὰρ πᾶσα, ἢ ἐπιορκήσαντας εὐορκήσειν ἢ εὐορκήσαντας τοὺς ἄνδρας ἐπιορκήσειν, καὶ ἀληθεῦσαι μὲν ψευσαμένους, ψεύσασθαι δὲ ἀληθεύσαντας, οἷα δὴ τὰ σοφίσματα τοῦ σοφιστοῦ τῆς κακίας. [22] *τοιούτοις οὖν ἅμμασιν ἀμφιστρόφοις καὶ ἀντιπλόκοις τοὺς συναποστάτας συνδήσας, καὶ νομίσας ἐκ τούτων ἀκριβῶς ἑαυτῷ κατοχυρῶσαι τὴν τυραννίδα, λαμπρός τε λαμπρῶς ἀναγορευθεὶς αὐτοκράτωρ, οὕτως ἄρας ἐκεῖθεν ἀκραιφνεῖ στρατῷ καὶ βαρεῖ, καθ' ἡμῶν εὐθὺς ἤλαυνε, θυμῷ τε σφαδάζων καὶ πολ|λῷ θράσει ῥέων, καὶ δεινὰ* 260¹
μὲν ποιῶν, ἀπειλῶν δὲ δεινότερα.

[23] *Ὁ μὲν δὴ βασιλεὺς Βαβυλωνίων ἐκεῖνος, Ἱεροσολύμοις ποτὲ τοῖς ἀοιδίμοις ἐπιστρατεύων ὡς θήσων Ἰουδαίοις τὴν πόλιν ἀνάστατον, πολλὰ μὲν πρὸς ἔκπληξιν ἐποίει τοῦ ἔθνους, ἄγων μὲν αἰχμαλώτους βασιλεῖς κραταιούς, ἔθνη δὲ δι' ὧν ἤλαυνεν, εἰς ἅπαν καταστρεφόμενος, οἰκουμένας τε πόλεις προσβολῇ μόνῃ σείων καὶ χώρας εὐδαίμονας πυρὶ κατακαίων, πολλοῖς δὲ καὶ λόγοις ὑπερηφάνοις ἀπέσκωπτεν εἰς τὸν τοῦ ἔθνους τε βασιλέα καὶ εἰς τὸν ἐκείνου θεόν, τὸν μὲν ὡς μάτην ἐλπίζοντα πρὸς θεὸν ἐκφοβῶν, τὸν δὲ ὡς ἀδύνατον ἐξελέσθαι τὴν πόλιν τῶν ἑαυτοῦ χειρῶν βλασφημῶν. τοσοῦτον ὁ βάρβαρος ἐμεμήνει ταῖς ἀπονοίαις, ὅς γε καὶ τὴν οἰκουμένην μὲν πᾶσαν ὡς νοσσιὰν ἐφρυάττετο τῇ χειρὶ καταλήψεσθαι**, *ἐφαντάζετο δὲ καὶ τὴν ὑπὲρ τῶν ἄστρων**
καθέδραν, ὡς τῆς γῆς αὐτὸν οὐκ ἔτι χωρούσης διὰ τὸ τῆς εὐτυχίας μέγεθος, καὶ καθεκτὸς οὐκ ἦν ὅλως τῇ μεγαλαυχίᾳ | καὶ τῷ φρονήματι. [24] *τί οὖν πρὸς ταῦτα ὁ βλασ-* 260²
φημούμενος; ἀφεὶς ὅλην πρῶτον κενῶσαι τὸν ἀλαζόνα τὴν ὕβριν ὥσπερ ὄφιν ἰόν, οὕτω θραύει τὴν πονηρίαν καὶ διαλύει τὸν φόβον, τὸν μὲν αὐταῖς ἀπειλαῖς καὶ στρατοπέδοις οἷς ἐπεποίθει συντρίψας καὶ ἀφανίσας, τὴν οἰκείαν δὲ πόλιν ἀπαθῆ κακῶν περισώσας. καὶ ταῦτα διὰ πόσου καὶ πῶς; ἑνὸς ἀγγέλου πληγῇ καὶ νυκτὸς μιᾶς χρόνῳ· ἐν τοσούτῳ γὰρ καὶ τὴν θάλασσαν ἐξήρανε πρότερον εἰς εὐσεβοῦς λαοῦ σωτηρίαν καὶ τῶν ἀσεβούντων ἀπώλειαν.

[25] *Τοιαῦτα μὲν ὁ Ἀσσύριος· ὁ Μακεδὼν δὲ ὁποῖα; καὶ τίνα τὰ κατὰ πάροδον αὐτοῦ στρατηγήματα; πόλεις μὲν διηρπάζοντο, κῶμαι δὲ κατεστρέφοντο, ἀγροὶ καὶ οἰκίαι κατὰ κράτος ἐξεπορθοῦντο, οἱ δεσπόται τοῖς δούλοις ἑαυτῶν συναπήγοντο καὶ τὰ προσόντα πρῶτον ἀφῃρημένοι, γυμνοὶ καὶ λιμώττοντες ἀκολουθεῖν ἠναγκάζοντο, γύναια καὶ παιδάρια καὶ πᾶν ὅσον ἄχρηστον εἰς ἔργα πολέμου, τῇ τῶν ἀναγκαίων ἐνδείᾳ δαπανᾶσθαι κατελιμπάνοντο. οὔπω λέγω παρθένων | ἀνεπάφων αἰδῶ καὶ γυναικῶν* 261¹
σεμνῶν σωφροσύνην ἀνέδην κατῃσχυμμένην, οὐδ' ἱερὰ τεμένη καὶ ἅγια βεβήλοις κεχραμμένα ποσὶ καὶ χερσὶν ἐναγέσι καὶ ἀνίπτοις καθυβρισμένα· σιωπῆς γάρ, οὐ μνήμης, ἀξιῶ τὰ μὴ εὔφημα. οὔπω λέγω τοὺς οἴκτιστα ταῖς βασάνοις ἐκδιδομένους, τοὺς δεσμουμένους, τοὺς στρεβλουμένους, τοὺς ξαινομένους ταῖς μάστιξι· καὶ τὸ ἔγκλημα τί; οἱ μέν, ὅτι μὴ τῷ τυράννῳ μακρόθεν ὡς θεῷ προσεκύνησαν μηδὲ φωναῖς ἐξαισίοις βασιλέα προσεῖπον, οἱ δὲ τοὺς ἰδίους θησαυροὺς ἀπαιτούμενοι — ἤτοι τοὺς ὄντας ἢ τοὺς εἶναι νομιζομένους —, οἱ δὲ κατ' ἄλλην καὶ ἄλλην παραπλησίαν αἰτίαν ἐκαρτέρουν τὰ χαλεπώτατα.

23 Isaias 36—37 | 23 Isaias 10, 14 | 23 Isaias 14, 14

[26] Ἀλλὰ ταῦτα μὲν ὡς πολλά τε καὶ πολλῶν δεόμενα λόγων παρελθεῖν ἀναγκαῖον,
ἐκεῖνο δ' ἂν ὀρθῶς εἴποιμι τὸ πᾶν συνελών, ὡς ὑπὲρ τὴν πρὶν ᾀδομένην λείαν Μυσῶν
ἢ Θρᾳκῶν ἄρτι πέπονθε, μηδενὸς οἰκτροῦ πάθους ταῖς αὐτῆς ἐλλείψαντος συμφοραῖς·
λυμαντικὸν γὰρ οὐδὲν ὡς τυραννὶς κρατῆσαι φιλονεικοῦσα· ὡσεὶ πῦρ | ὃ δια- 261[2]
φλέξει δρυμούς, ὡσεὶ φλὸξ ἣ κατακαύσει ὄρη*, οὕτω πᾶν ἀφειδῶς τὸ προστυχὸν ἀφανί-
ζουσα. [27] ταῦτα μὲν ὁδοῦ πάρεργα τῷ λῃστῇ καὶ τυράννῳ, ἢ μᾶλλον ἔργα παρόδου,
τὰ ἐν ποσὶ μὲν δῃοῦντι, τὰ δὲ κύκλῳ πάντα σαλεύοντι, δίκην δράκοντος ἕρποντος ὑπὸ
σύσκιον ὕλην. ἐπεὶ δὲ οὕτω φερόμενος ἤδη προσεγγίζειν ἠγγέλλετο, σφοδρά τις λαῖλαψ
ἄφνω τὴν πόλιν πρὸς τὴν φήμην ἐτάραττε, τὰ ἐντός τε πάντα κλονοῦσα καὶ κονιορτὸν
πολὺν ἔξωθεν ἀθρόον ἐγείρουσα. καὶ πανταχόθεν ἦν δρόμος ἐπὶ τὰς πύλας πολύς, τῶν
ἐν τοῖς πέριξ ἀγροῖς καὶ συνοικίαις καὶ κώμαις τῶν τειχῶν ἐντὸς συνελαυνομένων,
ἀνασκευαζομένων τε πάντα κατὰ σπουδὴν ὅσα φέρειν ἢ ἄγειν ὁ καιρὸς ἐνεδίδου καὶ ἡ
τύτε περίστασις, μετὰ δὲ φρίκης ἅμα καὶ δέους καὶ πικρῶν ὀδυρμῶν ἐπὶ τὰ ἔνδον
συνωθουμένων καὶ φθάσαι σπευδόντων τῶν πολεμίων τὴν ἔφοδον ὡς εἰ Γαλάτας ἢ
Σκύθας ἢ Κελτοὺς προσεδόκων· τοσοῦτον ἦν φοβερὸς καὶ πρὸ τῆς παρουσίας ὁ τύραννος.
| [28] Ἀλλ' ἐκεῖνος μὲν οὕτω καὶ μετὰ τοιαύτης ἡμῖν ἐπιστρατεύει τῆς καται- 262[1]
γίδος· τί δὲ ὁ καθ' ἡμᾶς Ἐζεκίας, ὁ εἰρηνικὸς βασιλεύς, ὁ πρᾷος καὶ ἥμερος καὶ μισῶν
σφαγάς τε καὶ φόνους; τί πρὸς ταῦτα ποιεῖ; τί βουλεύεται, μήθ' οἷός τε ὢν τέως ἀν-
τεπεξιέναι τοῖς πολεμίοις ἀπορίᾳ στρατεύματος, κἀκείνους ἤδη παρόντας ἐπὶ θύραις
ἀκούων; πῶς οὖν πρὸς τὸν κίνδυνον ἵσταται καὶ τί μηχανᾶται; εὗρε πόρον ἐκεῖνος ὁ
σοφὸς ἐν ἀπόροις· εὗρε πάντως, καὶ οὐκ ἠπόρησε. τῇ τοῦ καιροῦ γὰρ ὀξύτητι τὴν τῆς
ἑαυτοῦ φρενὸς ἀντιστήσας, δύο σκέπτεται πράγματα, βασιλικῆς φρονήσεως ἄξια· τὸ μὲν
ἓν σοφὸν μέν, οὐκ εὐτυχὲς δέ. μετὰ τῶν μισούντων τὴν εἰρήνην εἰρηνικὸς ἔτι μένει,
καὶ νουθετεῖν ἐγχειρεῖ διὰ γραμμάτων τὸν ἀνουθέτητον, πλείω μὲν ὑπισχνούμενος (καὶ
τίνος γὰρ ἂν ὑπὲρ εἰρήνης ἐφείσατο;), πρὸ δὲ πάντων τῶν ἄλλων ἀμνηστίαν πάντων
τοῖς πᾶσι, μόνον εἰ σωφρονήσαντες ἑαυτοὺς ἐπιγνοῖεν· ἐφ' οἷς διδοὺς τὰ πιστὰ καὶ
δεξιὰν προτείνων οὐκ ἔπεισεν· ἀλλ' ὑπεροπτικὰς ὁ γεννάδας δεδωκὼς ἀποκρίσεις, 262[2]
ἔτι μᾶλλον κατέτεινε τὴν πρὸς τὰ τῇδε πορείαν, καὶ ὁ ἄγων* ἦγε τὸν ἀποστάτην, καὶ
τῷ βασιλεῖ πάμπαν ἄπρακτον διαπίπτει τοῦτο τὸ βούλευμα. [29] τὸ ἕτερον μέντοι καὶ
λίαν ἐνεργὸν καὶ ἀνύσιμον καὶ ἀληθῶς σωτήριον γίνεται· ἀφεὶς τἄλλα πάντα, πρὸς
θεὸν καταφεύγει, καὶ τὸν κραταιὸν ἐκείνου βραχίονα καὶ τὴν χεῖρα τὴν ὑψηλὴν* ἐπὶ
συμμαχίαν παρακαλεῖ καὶ βοηθεῖν ἱκετεύει τῇ ψήφῳ τῇ ἑαυτοῦ, καὶ ὃν ἐκεῖνος εἰς ἄρ-
χοντα τοῦ ἰδίου λαοῦ οἷς αὐτὸς οἶδεν ἐξελέξατο κρίμασι, τοῦτον νῦν τοῦ κινδύνου μετα
τοῦ λαοῦ παντὸς ῥύσασθαι.

[30] ταῦτά τε ἔλεγε, καὶ αὐτός τε πολλὰ πρὸς ἱλασμὸν ἐποίει τοῦ θείου, καὶ τὸν
ἱερέα τῆς πόλεως εἰς τοῦτο παρώρμα. ὁ δέ, καὶ ἄλλως τὰ τοιαῦτα φιλοπονώτατος ὤν,
τότε μᾶλλον ἐπήγειρε τὸ θερμὸν καὶ τὸ πρόθυμον, ὑπὸ τοῦ καιροῦ καὶ τοῦ πράγματος
ἀναγκαίως παραθηγόμενος. καὶ δὴ τὸ πᾶν πλήρωμα τῆς ἐκκλησίας ἀθροίσας, παραλαβὼν
δὲ καὶ ὅσον ἐκ τῆς ὑπερορίας ἦν ἐνδημοῦν | ἐν ἐπισκόποις ἢ μοναστιαῖς ἢ καὶ 263[1]
ἄλλως ἐν κλήρῳ κατειλεγμένοις, καὶ τὴν ἱερὰν ἐνδὺς διπλοΐδα, Μωσῆς ἄλλος γίνεται

26 Psalm πβ 15 | 28 scilicet Iohannes Batatzas Leonem: Regn δ 9, 20 | 29 Isa 9, 17

χειρῶν ἁγίων ἐκτάσει τὸν ἄλλον καταπολεμῶν Ἀμαλήκ*; πλὴν ὅσον οὐκ ἐπ' ὄρους
ἑστὼς οὐδ' ἑτέρων χερσὶ τὰς ἑαυτοῦ στηριζόμενος, ἀλλ' ἀπὸ θαλάσσης ἐς θάλασσαν ἐκ
ποδὸς βαδίζων ὁ πατριάρχης καὶ πάλιν ἐν ὁμοίῳ καὶ σχήματι καὶ βαδίσματι ἐπανα-
κάμπτων ὅθεν ὡρμήθη, μικροῦ δεῖν ἁπάσης τῆς πόλεως ἑπομένης καὶ προαγούσης καὶ
φωναῖς οἰκτραῖς καὶ μεγάλαις τὸν ἐξ ὕψους ἔλεον ἐπικαλουμένης, ἵνα περιζώσῃ τὰ τείχη
τὴν ἀπρόσμαχον δύναμιν καὶ πανταχόθεν ἐκκλείσῃ τῷ πολεμίῳ τὴν εἴσοδον. 31 συν-
δρομὴ δὲ τοῦ πλήθους πρὸς τὸν ἐκεῖ περιώνυμον τῆς παρθένου ναόν, λιταῖς τε παν-
νύχοις καὶ πανημερίοις εὐχαῖς τὴν πολιοῦχον καὶ φύλακα δυσωπούντων ὑπὲρ τῆς πόλεως
καὶ τὴν φυλακὴν τὴν ἰδίαν μὴ προδοῦναι παρακαλούντων, ἀλλ' ὡς βασιλίδα συνήθως
προστατῆσαι καὶ πάλιν τῆς βασιλίδος καὶ τὴν κατ' αὐτῆς ἀ|ποτρέψαι τοῦ ληστοῦ 263[2]
ἔφοδον. 32 κἀν τοῖς ἄλλοις δὲ πᾶσιν ἱεροῖς οὐδὲν ἧττον ἐτελεῖτο τὰ παραπλήσια, καὶ
μάλιστα πάντων τὸ τῆς ἀπορρήτου Σοφίας ἁγιώτατον τέμενος ἀσιγήτους εἶχε τὰς ὑμνῳ-
δίας, διηνεκεῖς τὰς εὐχάς, ἐκτενεῖς τὰς δεήσεις — ὑπὲρ τοῦ στῆναι τὴν θραῦσιν*, ὑπὲρ
τοῦ κοπάσαι τὸν κλύδωνα, ὑπὲρ τῆς εἰρήνης τοῦ κόσμου καὶ τῆς τοῦ κοινοῦ καταστάσεως·
οὐ γὰρ εἴα τότε καθεύδειν οὐδένα σχεδόν τι τῶν ἁπάντων ὁ φόβος. ἅμα δὲ καὶ παρά-
κλησιν εἰς τοῦτο μεγίστην τὰς εὐσεβεστάτας Αὐγούστας εἶχον οἱ κοπιῶντες· αἷς πολλῶν
ὑπαρχόντων καὶ μεγάλων κατορθωμάτων, τοῦτο τὸ τῶν ἄλλων ἐξαίρετον τὸ περὶ τοὺς
θείους οἴκους φιλότιμον — ὅσον τε πρὸς εὐπρέπειαν καὶ ὅσον εἰς ὑμνῳδίαν —, ὑφ' οὗ
τηνικαῦτα πλέον ἐπιταθέντος τὸ πλῆθος ἐρεθιζόμενον ὅλην ἤδη τὴν πόλιν οἶκον προ-
σευχῆς ἀπεδείκνυ, τῶν μὲν ἄλλων πασῶν ἀμελουμένων ἐργασιῶν, ἑνὸς δ' ἔργου τούτου
παρὰ πᾶσιν ὁμοίως σπουδαζομένου, οὐκ ἐν | τόποις μόνον ἁγίοις, ἀλλὰ πανταχοῦ 264[1]
κἀν τοῖς ἄλλοις ὅπῃ καὶ τύχοι τις, πρὸς θεὸν χεῖρας αἴρειν* καὶ κοιναῖς ἐκεῖθεν φωναῖς
τὴν κοινὴν σωτηρίαν φιλοπόνως αἰτεῖν. 33 πρὸς τούτοις δεσμῶται τῶν δεσμῶν ἀπε-
λύοντο, καὶ τοῖς ὑπευθύνοις φιλάνθρωπα τὰ παρὰ βασιλέως ἀπήντα, τῶν ἐνδεῶν τε
φροντὶς ἐπιμελεστέρα τις ἦν, καὶ συνελόντα εἰπεῖν, οὐδὲν ἐλλείπειν ἐδόκει τῶν ἐξ ὧν
θεὸς θεραπεύεται.

34 Τὰ μὲν δὴ τῆς θείας ἐπικουρίας οὕτω προμηθῶς καὶ σοφῶς ὁ βασιλεὺς διῳκο-
νομεῖτο· οὐδὲ τὴν ἀνθρωπίνην μέντοι παντάπασιν ἀπέγνω βοήθειαν, ἀλλ' ἐκ τῶν πα-
ρόντων ὡς ἄριστα τὰ πρὸς φυλακήν τε τῆς πόλεως καὶ τῶν πολεμίων ἀποτροπὴν διε-
τίθει καὶ παρεσκεύαζε, μηχανάς τε τοῖς τείχεσι πυκνὰς ἐφιστῶν καὶ πολλὴν ὕλην πάν-
τοθεν ἐκεῖ συμφορῶν, ὁπόση τις ἔμελλε χρησιμεῦσαι τοῖς ἑκηβόλοις, τούς τε βάλλειν
εὐστόχως ἄνωθεν μέλλοντας πολλαχόθεν πλείστους ἀθροίζων, καὶ πληρῶν τὰ πάντα
φυλάκων, ἀστικῶν τε καὶ ξενικῶν, οἷς εἰς ἐπιστάτας καὶ ἄρχοντας | τοὺς ἐν 264[2]
τέλει πάλιν καταμερίσας, ἄλλῳ μὲν ἄλλην χώραν ἀφώρισεν, αὐτὸς δὲ τοῖς πᾶσι παρεῖχε
τῶν καιρῶν καὶ τῶν πράξεων τὰ παρακελεύσματά τε καὶ τὰ συνθήματα, καὶ τοῦτον
τὸν τρόπον διὰ χειρὸς ὅλην εἶχεν ἐν ἀσφαλείᾳ τὴν πόλιν. 35 οἱ μὲν οὖν ἦσαν ἐν
τούτοις, καὶ ταῖς τῶν τειχῶν φυλακαῖς ἐπαγρυπνοῦντες διεκαρτέρουν, τὰς ἐλπίδας με-
τέωροι καὶ τὰς ψυχὰς πρὸς τὸ μέλλον. οὐκ ἔτι μέντ[ο]ι μελλήσειν ὁ ἐρχόμενος ἔμελλεν·
οὕτω γὰρ αὐτοῖς ἔχουσι μετ' οὐ πολὺ κἀκεῖνος ἐξανεφάνη, ἄρτι νέον ἀνίσχοντι μιᾶς
σαββάτων ἡλίῳ καὶ αὐτὸς ἐκ δυσμῶν ἀντανατείλας λαμπρός, σχολῇ δὴ καὶ βάδην ἐπ'

30 Exod 17, 8—16 | 32 Num 16, 48 | 32 Tim α 2, 8

*ὀχήματος παρῄει βασιλικοῦ, βασιλικοῖς καὶ αὐτὸς ἐναγαλλόμενος παρασήμοις, καὶ προ-
σῆγεν οὕτως ἠρέμα τοῖς περὶ τὰ βασίλεια τείχεσι μετὰ σοβαροῦ τοῦ βαδίσματος, ἕως
λόφον ἀποσκοπήσας ἔγγιστά που παρὰ τὴν τάφρον, ἐπ' αὐτοῦ προσβὰς ἔστη, τοῖς ἐπὶ
τῆς πόλεως πᾶσι καταφανὴς καὶ περίοπτος. μέγα δέ τι νέφος εὐθὺς ἱππικῶν ταγμάτων
καὶ πεζικῶν | τὰ πρὸ τῶν τειχῶν ἅμα πάντα κατεῖχε καὶ συνεκάλυπτεν, ἄνδρες* 265[1]
*ἐκεῖνοι ἀπηνεῖς μὲν τὰς ὄψεις, ἀπηγριωμένοι δὲ τὰς ψυχάς, φόνιον βλέποντες, φόνιον
πνέοντες, φοβερὸν μὲν τοῖς ὅπλοις ἀστράπτοντες, ἐπιδουποῦντες δὲ φοβερώτερον.* [36]*ἤδη
δ' οὖν προσπελάσαντες τῇ τάφρῳ κἀκεῖνοι καὶ ἑαυτοὺς τοῖς τείχεσιν ἀντιπαρεκτείναντες,
εἰς τάξιν κατέστησαν. καὶ — τὸ ᾀδόμενον τοῦτο — σκιαμαχοῦντες ἑστήκεισαν, πρὸς
οὐδὲν τὸ ἀντίπαλον γενναίως παρατattόμενοι καὶ ἀκινδύνως ἡμῖν τὴν εὐτολμίαν ἐπι-
δεικνύμενοι. πρὸς ταῦτα παρ' εὐθὺ μὲν φόβος ἐνέπεσε τοῖς ὑπὲρ τῶν τειχῶν οὐ μικρός,
ἅμα μὲν τὴν ἀήθειαν καταπλαγεῖσι τῆς ὄψεως, ἅμα δέ, μὴ τὸ τεῖχος οἱ πολέμιοι κα-
τασκέπτωνται καὶ σκοπῶσιν οὗ προσβαλοῦσι· τί γὰρ ἂν ἄλλο βούλεσθαι τὴν ἡσυχίαν
ταύτην αὐτοῖς; ὡς δὲ παρ' ἐλπίδας ἀπήντα τούτοις τὸ πρᾶγμα, καὶ φωνὴν παράδοξον
ἤκουσαν ἐγκελευομένην αὐτοῖς ἀναπετάσαι τὰς πύλας καὶ τὸν ἑαυτῶν βασιλέα μετ' εἰρήνης
ἥκοντα | δέξασθαι, καὶ τοῦτο πολλάκις, καὶ οὐδὲν ἔτι πλέον: τότε πάντες ἀνα-* 265[2]
*θαρρήσαντες καὶ τῶν τέως ἐκείνων φοβερῶν καταγνόντες ὡς ἐμπλήκτων καὶ ἀνοήτων,
ἤδη δὲ καὶ κελεύσματος αὐτοῖς ἐνδοθέντος, τὴν μὲν τοῦ προστάγματος φλυαρίαν εὐστόχοις
ἀμείβονται λοιδορίαις καὶ σκώμμασι, τὰς δὲ χεῖρας ἄφνω πλησθέντες ὁρμῆς τε καὶ
προθυμίας, συνεχῶς ἐκίνουν τὰ πετροβόλα καὶ τοὺς ταῦτα κελεύοντας ἐπεχείρουν ἄνωθεν
βάλλειν.* [37]*ἀλλ' οἱ μὲν οὐδὲν ἔπασχον, ἔξω βέλους ἑστῶτες, ὁ δὲ τὰς πληγὰς φυλατ-
τομένους προσέταττεν αὐτὸ τοῦτο πάλιν ἐπικελεύειν. ἐμβρόντητε καὶ παράφορε — οὐ
γὰρ ὀκνήσω τέως τὴν παρρησίαν, ἔτι σε τειχῶν ἔξω βλέπων, αὐτὸς ἐντὸς ὤν —, τί σοι
βούλεται τοῦτο τὸ βαθὺ σόφισμα; πῶς μωρὸς οὕτως ὢν ἐπὶ τὴν πανουργίαν χωρεῖς;
πῶς σαυτῷ διαμάχῃ πρὶν ἡμῖν συμπλακῆναι; τίς ἡ τῶν ἔργων σοι πρὸς τοὺς λόγους
ἀνομοιότης; πῶς* ἡ μὲν φωνὴ φωνὴ Ἰακώβ, αἱ δὲ χεῖρες χεῖρες Ἠσαῦ; ἵνα τί προπετῶς
τῆς θαυμαστῆς εἰρήνης κατειρωνεύῃ, καὶ | τὴν μὲν ἐξ ὧν λέγεις, ὑποκρίνῃ τιμᾶν,* 266[1]
*προσηρτημένον δέ σοι τὸ ξίφος θεωρῶν οὐκ αἰσχύνῃ; τίς δέ σε κατέστησεν ἄρχοντα καὶ
στρατηγὸν ἐφ' ἡμᾶς;* τίς εἰς βασιλέα σε ἔχρισε, τοῦ παρὰ θεοῦ προβληθέντος (ὡς ὁρᾷς)
ἔτι ζῶντος καὶ κατ' ἀντικρὺ καθημένου σοι; ἔστω ἰδέ, καὶ τετόλμηκας ἀναιδὲς οὕτω
τόλμημα· τί μὴ καὶ τὴν τόλμαν ὁμολογεῖς, ἀλλὰ γελᾷς τε καὶ παίζεις ἐν οὐ παικτοῖς
πρὸς ἡμᾶς; πάνυ γὰρ παιδιά σοι τὰ βλεπόμενα ταῦτα.* [38]*τῶν οὖν δύο τὸ ἕτερον
ἑλοῦ καὶ ἀπόκριναι· ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων; εἰρηνικὰ φρονῶν ἥκεις ἢ πολεμή-
σων; εἰ μὲν (ὡς φής) εἰρήνης ἐρᾷς, ἀποθέμενος ἠρέμα τὰ ὅπλα εἰρηνικὸν μετάλαβε
σχῆμα καὶ τοὺς εἰρηνεύοντας μίμησαι· τί γὰρ δεῖ σοι πρὸς φίλους τηλικαύτης παρασκευῆς;
καὶ γὰρ τοῖς ἐρῶσιν οὐ φονικῶν ὀργάνων οὐδ' ἀηδῶν, ἀλλὰ μουσικῶν καὶ ἡδέων περὶ
τὰ ἐρώμενα χρεία· ὅπερ ἤδη τῶν πάλαι τις* πρὸς ἄλλον Μακεδόνα εἰπὼν ηὐδοκίμη-
σεν. εἰ δὲ μάχην πάρει συνάψων, ἑταῖρε, ἐφ' ᾧ πάρει, μὴ τοιούτοις φιλήμασιν ἡμᾶς
δεξιοῦ, ἀλλ' ὃ ποιεῖς, ποίησον τάχιον*· | καὶ αὐτὸς γὰρ πρὸς σὲ δεσποτικὸν* 266[2]
τολμήσω τι φθέγξασθαι ὡς πρὸς ἄλλον τολμητὴν καὶ προδότην, τὴν Ἰούδα καὶ πρᾶξιν

37 Gen 27, 22 | 37 Exod 2, 14 | 38 Quis? | 38 Iohann 13, 27

*καὶ ὑπόκρισιν ἐκμιμούμενον. ἔα τὴν ἀπάτην, ὦ βέλτιστε, ἢ τὴν χλεύην τῶν λόγων, καὶ
τὴν χεῖρα κίνει πρὸς ἔργα. ἀκόλουϑα φϑέγγου τῷ σκοπῷ καὶ τῷ πράγματι· λάλησον
καὶ σὺ πρὸς ἡμᾶς συριστί*, πολεμικοὺς φϑεγγόμενος λόγους, ἐπειδὴ κἀν τοῖς ἔργοις
ἥκεις πολέμιος, καὶ μὴ λάλει πρὸς ἡμᾶς ἰουδαϊστί, ὥς τις ἄλλος Ραψάκης ἀναιδὴς καὶ
αὐϑάδης φιλικοῖς ἡμᾶς ῥήμασι καταστρατηγῶν ἢ γελῶν. ἵνα τί καὶ τὸν χρόνον εἰς κενὸν
δαπανᾷς, δέον ἤδη προσβάλλειν ἐπὶ τειχομαχίᾳ τοῖς τείχεσιν, ἐπεὶ μηδένα συστάδην
τὸν ἀντιστησόμενον ἔχεις ἐκ παρατάξεως;* [39] *πλὴν ἐκεῖνό μοι πρότερον σκέψαι καὶ
διαλόγισαι ὡς οὐ Περσὶς ἣν πατεῖς, οὐδ' Ἰνδική τις· οὐ γὰρ οὐδὲ Παρϑική· οὐδὲ πρός
τινα πόλιν ὁ ἀγών σοι βαρβαρικὴν ἢ πρὸς ἔϑνος ἀλλόφυλον, ἀλλὰ πρὸς ὁμοφύλους,
ἀνόσιε, πρὸς συγγενεῖς παρατάττῃ· ἐπ' αὐτὴν ἐκείνην ἥκεις τὴν πόλιν τὴν κορυφαιοτάτην
τῶν πόλεων, τὴν* ἡγεμόνα | γῆς καὶ ϑαλάττης, τὴν ἐκ περάτων εἰς πέρατα τὴν* 267[1]
*δυναστείαν ἐκτείνουσαν, ἧς ἡ δόξα καλύπτει τὴν ὑφ' ἥλιον ἅπασαν, ἣν πεφρίκασιν ἔϑνη
καὶ λαοὶ προσκυνοῦσι καὶ βασιλεῖς ἐϑνῶν λιτανεύουσιν· εἴπω τὸ μεῖζον; ἣν ὁ κύριος
ἐξελέξατο καὶ ἣν ᾑρετίσατο εἰς ἑαυτοῦ κατοικίαν, ἧς προστάτης αὐτὸς καὶ ὑπερασπιστὴς
καὶ ὑπέρμαχος. οὐχ ὁρᾷς ἐκεῖνο τὸ μέγιστον καὶ κάλλιστον ἔργον; τὸ κατ' ὀφϑαλμούς
σοι λάμπον ἐγγύϑεν; τὸ παρὰ πᾶσιν ἀνϑρώποις διαβόητον ϑέαμα; τοῦτο τῆς ἐκείνου
μητρὸς τέμενός ἐστιν ἅγιον· ταύτην, πάντολμε, φρίξον, ἱσταμένην παρὰ τοῖς τείχεσιν·
αὕτη ταύτην τὴν πόλιν ἀεί τε σῴζειν πιστεύεται καὶ νῦν παρεσκεύασται.*

[40] *ἀλλ' οὐδὲν (ὡς ἔοικε) ταῦτα πρὸς ὀφϑαλμούς τε τυφλώττοντας καὶ κωφεύουσαν
ἀκοήν. οὐκ οὖν οὐδ' ἀπώνατό τι τούτων τῶν λόγων ἢ λογισμῶν ὁ τὰς φρένας ἐκεῖνος
διεφϑορώς, ἀλλ' εἰς δείλην ὀψίαν ἐπὶ παρατάξεως μένουσαν τὴν στρατιὰν κατασχών,
ὡς οὐδὲν αὐτῷ προὐχώρει τῶν κατ' ἐλπίδα, οὕτω πάλιν ἄγων συντεταγμένην, ἀναζεύ-
γνυσιν εἰς τὸν χάρακα, | ὃν αὐτοῦ που πλησίον πρὸ τῶν τειχῶν ἐτύγχανε ϑέμενος.* 267[2]

[41] *οὕτω μὲν οὖν ἐκείνου τοῦ κλύδωνος τὸ κῦμα τὸ πρῶτον ἀσινεῖς διεφύγομεν ϑεοῦ
κυβερνήσει, καὶ τοιούτοις ὁ βέλτιστος ἐπιβατηρίοις ἡμᾶς δεξιωσάμενος ᾤχετο. δευτέρα
δὴ μετ' ὀλίγον προσβολὴ τοῦ τυράννου, τὴν μὲν σύνταξιν ἔχουσα τῇ πρώτῃ παραπλησίαν,
οὐ παραπλησίαν δὲ τὴν ἀπόβασιν· οὐκ ἐν λόγοις γὰρ ἔτι τὸ καϑ' ἡμῶν αὐτοῖς φρύαγμα,
ἀλλ' ἀφέντες τὸ λέγειν, ἐχώρουν ἐπὶ τὸ πράττειν, καὶ τὴν σκηνὴν ἀποϑέμενοι, ἑαυτοὺς
ὡς εἶχον ἀπογυμνοῦσι, καὶ ἄνδρες αἱμάτων* ἀληϑῶς ἡμῖν δείκνυνται· ὡς μὴ μάτην
καλοῖντο παρ' ἡμῶν ἐναγεῖς, πρὸς ὁμοφύλους ὅπλα κινήσαντες, ἀλλὰ καὶ τοῖς ἔργοις
τὴν κλῆσιν ἐπαληϑεύουσαν ἔχοιεν.*

[42] *Πολλὰ μὲν οὖν ἔγωγε πολλάκις ἐϑαύμασα τῆς ϑείας κηδεμονίας, ἧς οὐκ ἐπ'
ὀλίγοις οὐδ' ὀλιγάκις ἀπήλαυσεν αὕτη ἡ πόλις ἡ μεγάλη τε καὶ εὐρύχωρος καὶ ὁ ταύτης
ἡγούμενος κατὰ ϑεοῦ βουλήν τε καὶ ψῆφον, ἐκ μεγάλων ῥυσϑέντες παραδόξως κινδύνων
καὶ ὑπὲρ πᾶσαν ἀνϑρωπίνην ἐλπίδα διασωϑέντες· | οὔπω δὲ τοσοῦτον κατεπλάγην* 268[1]
*οὐδὲν ὡς τὴν τότε ϑαυματουργίαν, ἣν εἰκότως ἂν ὤκνησα καὶ ϑήσειν εἰς μέσον, εὐλα-
βηϑεὶς τὸ ἀπίϑανον, εἰ μὴ τὰς ὑμῶν πάντων ὄψεις συμφϑεγγομένας εἶχον τῷ λόγῳ.
τοῦτο γὰρ τὸ σεμνότατον τῆς νῦν ὑποϑέσεως, ὅτι πρὸς αὐτοὺς τοὺς αὐτόπτας τῶν πρα-
γμάτων καὶ ἡ διήγησις, ἵν' ὥσπερ τότε παρόντες γινομένοις ἐπεστυγνάζετε, οὕτω νῦν*

38 Isaias 36, 11 | 39 *τὸν* apogr | 41 Psalm *νδ'* 24

*λεγομένων ἀκούοντες, ἡδίους ἑαυτῶν γένοισθε· *τῶν γὰρ λυπηρῶν ὡς ἐπίπαν ἀνιαρὰ
μὲν ἡ πεῖρα, ἡδίστη δὲ ἡ μνήμη καὶ ἡ ἀφήγησις. τὸ δ' οὖν γεγονὸς ἦν τοιόνδε.*

[43] *Μισθοφόροι δή τινες βάρβαροι, θράσει χρώμενοι καὶ τόλμῃ παρὰ τὰς μάχας
καὶ μηδὲν πρὸς ἀσφάλειαν μήτ' εἰδότες μήτε μαθόντες, κατά τινα μίαν προπηδῶσι
πυλίδα· ἢ προπηδῶσιν ἢ προσυντάττονται — οὐδὲν γὰρ διοίσει —· οἷς ἐκ τοῦ τυχόντος
συναναμέμικτο καὶ τοῦ πολιτικοῦ τι βραχύ, ἀγύμναστον μὲν πολεμικῶν ὅλως ἔργων,
ἄλλως δὲ τολμηρὸν καὶ προπετὲς καὶ παράβολον, ἐπεὶ* φιλοκίνδυνον ἡ ἄγνοια τοῦ κιν-
δύνου, καὶ γλυκὺς (ὅπερ λέγουσιν) ὁ | πόλεμος τοῖς ἀπείροις.* [44] *τούτοις ἐκεῖνοι* 268[3]
*λίαν ἀσμένως ὡς ἑτοίμῃ θήρᾳ τινὶ θῆρες ἕτοιμοι πρὸς θήραν ἐπιδραμόντες, πανταχόθεν
τε περιέστησαν καὶ ἄλλοθεν ἄλλος νύσσοντες δόρασί τε καὶ ξίφεσιν αὐτοῦ τοὺς ἀθλίους
οἰκτρότατα κατεκέντησαν, ὀλίγων παντάπασιν ἀναφυγεῖν δυνηθέντων μόλις ἐπὶ τὰς
πύλας. ἔστι δ' οὓς ἔτι πνέοντας βραχὺ καὶ θανάσιμον ὑπὸ τραυμάτων καιρίων ἡ βασι-
λικὴ παρὰ δόξαν ἀνεσώσατο πρόνοια, τοὺς ἀναρπασομένους ὀξέως βιασαμένη μᾶλλον
ἢ πείσασα πρὸς ταύτην τὴν ὑπουργίαν· οὕτω πάντες ἀχανεῖς ἐπεπήγεισαν τῷ δέει τῶν
δρωμένων· καὶ γὰρ τοσαύτην κατάπληξιν καὶ φρίκην ἐνῆκε τοῖς πολιτικοῖς τὸ γενόμενον,
ὡς τὰ τείχη μὲν παρ' αὐτίκα τῶν φυλάκων ἐρημωθῆναι, ἄλλων ἐπ' ἄλλοις πρὸς τὰ ἔνδον
καταπηδώντων, ἔστι δ' ὧν καὶ καταπιπτόντων σπουδῇ τε καὶ φόβῳ καὶ πλήθει τῶν
συνωθούντων, ἐκλιπεῖν δ' ἀνέτους τὰς πύλας τοὺς ἐπ' αὐταῖς τεταγμένους καὶ τοῖς πο-
λεμίοις ἀκώλυτον παραχωρῆσαι τὴν εἴσοδον, ὅλως τε δόξαι διεφθάρθαι | τὰ* 269[1]
*πράγματα, εἰσπεσόντων ἤδη τῶν ἐναντίων καὶ τοῦ τυράννου βεβαίως τὰ βασίλεια κα-
τασχόντος.* [45] *ἐπὶ τούτοις θροῦς τε μάλα πολὺς ἀνὰ τὴν πόλιν ἐχώρει, καὶ δρόμος
ἦν ἄτακτος τοῦ πλήθους κατ' ἀγοράν, πάντων ἅμα πεφοβημένων καὶ εἰς ἑαυτὸν ἑκάστου
τὸν κίνδυνον ἀποσκήψειν αὐτίκα λογιζομένων, ὡς οὐδὲν τῶν ἐχθρῶν ὑπὸ θυμοῦ καὶ
λύσσης διακρινούντων, οὐ πολέμιον, οὐ φίλιον, οὐκ αἴτιον, οὐκ ἀναίτιον. τοὺς ἐν τέλει
δὲ μάλιστα τὸ δεινὸν ἐθορύβει ὡς ἄντικρυς ἕρπον ἐπ' αὐτούς τε καὶ τὰς οὐσίας· καὶ
δὴ τούς τε βίους κατὰ πολὺ τὸ τάχος οἱ πλείους ἐσκευαγώγουν, ἔνθα λήσειν ἕκαστος
ᾤετο τὴν τοῦ τυράννου μανίαν, καὶ περὶ ἑαυτῶν (ὡς εἰκός) οὐκ ἀγαθὰς πρὸς τὸ μέλλον
εἶχον ἐλπίδας· κοπετοί τε καὶ θρῆνοι πανταχόθεν ἠκούοντο, καὶ δεινή τις ὅλον κατεῖχε
τὸ πολιτικὸν ἀθυμία· ἀτεχνῶς γὰρ ἡ πόλις ἑαλωκυίᾳ προσείκαστο καὶ τὰ τῆς ἁλώσεως
πάθη χωρὶς ἁλώσεως ἔπασχεν.*

[46] *Ἀλλ' οὐκ ἦν πάντως ἄνωθεν δεδομένον* τοῦτο τοῖς πολεμίοις, οὐδὲ τὴν πόλιν
τοῦ θεοῦ, τὴν ἀπόρθητον καὶ ἀνάλωτον, τὴν ἀπ' ἀρ|χῆς ἐπ' ἐκείνῳ τε συστᾶσαν* 269[2]
καὶ ὑπ' ἐκείνου, τὴν ἐπὶ τῶν αὐτοῦ χειρῶν ἐζωγραφημένην, καθ' ἧς οὐδεὶς ἴσχυσεν
οὐδέποτε πονηρός — οὐχ ὁμόφυλος, οὐκ ἀλλότριος —, πολλῶν πολλάκις ἐπιθεμένων,
ταύτην οὕτως ἀθρόον εἰς χεῖρας παρανόμων ἐχθρῶν, ἐχθίστων ἀποστατῶν εἰς προνομὴν
καὶ διάρπαγμα τελέως παραδοθῆναι. οὐκ οὖν τοιγαροῦν οὐδὲ παραδέδοται.*

[47] *Βαβαὶ τίς ὁ λόγος; ὡς ὑπερφυὴς καὶ παράδοξος; πῶς οὖν ἐφύγομεν ἐκ μέσων
ἀρκύων*[sic]*; εἰπέ, τῶν ἀγαθῶν ἄγγελε· πῶς ἐρρύσθημεν ὄντως ἀπὸ στόματος λέοντος*;
πῶς ἑτέρως καὶ πόθεν ἢ θεόθεν πάντως καὶ θείως; τὰ γὰρ παρ' ἀνθρώποις ἀδύνατα
θεῷ δυνατά*, ὃς τἀναντία τότε τοῖς Μακεδόσιν ἢ τοῖς Αἰγυπτίοις πάλαι τερατουργεῖ·*

42 C[m] *γνώμη* | 43 C[m] *γνώμη* | 46 Iacob 1, 17 | 46 Isaias 49, 16 | 47 Psalm *κα* 22 | 47 Luc 18, 27

τοῖς μὲν γὰρ τοὺς ἄξονας τῶν ἁρμάτων συνδήσας*, μετὰ βίας ἦγεν ἐπὶ τὸν ὄλεθρον,
τοῖς δὲ τὰς ὄψεις ἀπήμβλυνε καὶ τοὺς πόδας ἐπέδησεν, ἐπὶ χώρας κατέχων καὶ τοῦ
πρόσω κατείργων, ἵνα βλέποντες μὴ βλέψωσι* καὶ πόδας ἔχοντες μὴ περιπατήσωσι,
τὸ τῶν ἀναισθήτων εἰδώλων | ἀτεχνῶς ἴδιον, μηδ' εὐθὺς ἑπόμενοι τῇ τύχῃ καὶ 270[1]
τῷ καιρῷ, διὰ τῶν πυλῶν παρεισπέσωσιν, οὐδενὸς (ὅπερ ἔφαμεν) κωλύματος ὄντος.
[48]ταῦτα τίνος ἑτέρου πλὴν ἢ μόνου θεοῦ, τὴν πονηρίαν μισήσαντος καὶ τοῖς ὑπερηφά-
νοις εὐκαίρως ἀντιταχθέντος*, οὗ καὶ λέγοντος* ἀκούειν τότε δοκῶ μοι πρὸς μὲν ἡμᾶς τοὺς
ἐν θλίψει Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου,
ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν*, καὶ ὁ λαός μου δοξάσει με, σωθεὶς ὑπ' ἐμοῦ·
πρὸς ἐκεῖνον δὲ διὰ τοῦ προφήτου* Τάδε λέγει κύριος τῶν δυνάμεων ἐπὶ τὸν ἄρχοντα
τὸν ἀποστάτην Οὐ μὴ εἰσέλθῃ εἰς τὴν πόλιν ταύτην, εἰ καὶ χάρακα ἤδη ἐπ' αὐτὴν
ἐκύκλωσε καὶ τόσα καὶ τόσα κατ' αὐτῆς ἐνεανιεύσατο, ἵν' ἔχοι τι καὶ πλέον εἰς κακίαν
ὁ δεύτερος ἐκείνου τοῦ προτέρου τυράννου. ἀλλὰ ποῖ δεῖ τραπέσθαι μετὰ τοσούτου
στρατεύματος, ἴσως ἂν ὁ μάταιος διεσκέπτετο. ἀλλ' ἐμβαλῶ φιμὸν (φησίν*) εἰς τὴν
ῥῖνά σου καὶ χαλινὸν εἰς τὰ χείλη σου, καὶ ἀποστρέψω σε τῇ ὁδῷ ᾗ ἦλθες | ἐν 270[2]
αὐτῇ. [49]ταῦτα μὲν ὁ θεύς. καὶ ὥσπερ εἶπεν, ἐποίησε· τὰ δὲ μετὰ βραχὺ καὶ ποιήσει·
ὁ γὰρ λόγος αὐτοῦ ἀλήθειά ἐστι*, καὶ τίς αὐτοῦ τὴν βουλὴν τὴν ἁγίαν διασκεδάσει,
ἢ τίς τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν ἀποστρέψει;* οἱ δέ, τοῖς λαφύροις ἐπιδραμόντες
ἀσμένως, ὡς ὁ εὑρίσκων τῷ ὄντι σκῦλα πολλά*, καὶ τῇ τούτων ἡδέως ἐνασχοληθέντες
διανομῇ, εἶτα σοβαρώτερον ἤδη τοῖς τείχεσι παριππεύσαντες, καὶ πολλὰ μὲν εἰπόντες
ὑβριστικά τε καὶ βλάσφημα, πλείω δὲ ἀπειλήσαντες, οὕτω δήποτε μόλις, ἡμέρας ἤδη
κλινούσης, ἐπὶ τὰς σκηνὰς ἀπηλλάγησαν, παιανισμῷ* τε μάλα λαμπρῷ καὶ πολλαῖς
εὐφημίαις περὶ τὸν τύραννον χρώμενοι ὡς ἐπὶ μεγάλῳ δή τινι κατορθώματι — φεῦ τῆς
τῶν Ῥωμαίων αἰσχύνης, εἰ Ἀγαρηνοῖς τε καὶ Σκύθαις, εὐαριθμήτοις ψιλοῖς (κἀκείνων
ἐνίοις), τοσαῦτα στρατεύματα ῥωμαϊκὰ συμπεσόντα καὶ παρὰ τὸν ἀγῶνα πλεονεκτήσαντα
οὕτω μέγα φρονοῦσι καὶ τοιαῦτα πανηγυρίζουσι. πότε δ' ἂν ἐμετρίασαν οὗτοι, Γαλατῶν
| ἢ Ἰβήρων πανσυδὶ πρὸς αὐτοὺς ἀντιταχθέντων κρατήσαντες; καὶ οὐδ' ἐκεῖνο σκο- 271[1]
ποῦσιν ὡς τοῖς οἰκτροῖς βαρβάροις ἐκείνοις ἔστιν ὃ καὶ ὁμόφυλον κακῶς συνδιέφθειραν,
οὗ μηδὲν ἐναγέστερον μηδ' αἰσχύνης καὶ λύπης ἄξιον μᾶλλον τοῖς οὐχ ὡς ἐκεῖνοι παρα-
φρονοῦσιν. [50]ἀλλ' ἐκεῖνοι μὲν ταῦτα· βασιλεὺς δὲ καὶ τότε παρὰ τὴν ἀκμὴν τοῦ
κινδύνου ἄτρεπτόν τε τὸ φρόνημα καὶ τοὺς λογισμοὺς συνεστῶτας καὶ τὴν ψυχὴν ἀήττητον
ἔσῳζε, καίτοιγε πολλὰ μὲν ἔχων ἐντὸς τὰ καὶ σιδήρου φύσιν μαλάξαι καὶ χαυνῶσαι
δυνάμενα· οἱ περὶ αὐτόν τε γὰρ πάντες ἀφέντες αὐτὸν ὡς Χριστὸν οἱ μαθηταὶ πρό-
τερον ἐν τῷ τοῦ πάθους καιρῷ, μικροῦ δεῖν ἅπαντες ἔφυγον*, ἄλλος ἄλλῃ τραπέντες
δεδακρυμένοι καὶ ταραχῆς καὶ θορύβου τὰς ψυχὰς μεστὰς ἔχοντες. καί τις λέγεται τότε
τῶν οὐκ ἀσήμων, ὠθισμῷ τε καὶ βίᾳ διὰ τῶν ἐκεῖ θυρῶν φεύγων, εἰς πολλὰ διαθρύψαι
τοὺς λιθίνους σταθμούς· τοσοῦτος ἦν ὁ φόβος ὁ κατεπείγων. [51]αἵ γε μὴν βασιλίδες
κἂν ἀδαμαντίνην καρδίαν διεκλόνησαν καὶ συνέσεισαν, δεινά τε ποιοῦσαι καὶ | κατὰ 271[2]
γῆς ἑαυτὰς ἐλεεινότατα ῥίπτουσαι, τοῦ δεσποτικοῦ τε καὶ θείου χαρακτῆρος προκυλιν-

47 Exod 14, 25 | 47 Isa 6, 9 | 48 Prov 3, 34 | 48 Isa 37, 35 | 48 Psalm 9 14 | 48 Isa 37, 33 | 48 Isa 37, 29 |
49 Ioh 17, 17 | 49 Isa 14, 27 | 49 Ps ριη 162 | 49 παιωνισμῶι C[2], παιανισμῶι C[1] | 50 Matth 26, 56

δούμεναι καὶ τύπτουσαι στέρνα καὶ κωκυτοὺς ἀνιεῖσαι καὶ ὀλοφυρμοῖς συνεχόμεναι καὶ διὰ πάντων τὴν ἄνωθεν αἰτοῦσαι βοήθειαν. ἐπέτεινε δὲ πλέον αὐταῖς τὴν ἀγωνίαν ἅμα καὶ ἀθυμίαν ὁ λῃστὴς κατὰ πρόσωπον ἐγγὺς ἐφεστὼς καὶ κελεύων ὑπὲρ τῶν ἐπάλξεων βάλλειν αὐτὸν τὸν βασιλέα διὰ θυρίδος· τοσοῦτον ᾐδεῖτο τὸν κυρίου χριστὸν ὁ ἀσεβὴς καὶ μισόχριστος· μικροῦ γοῦν ἐφίκετο τῶν βελῶν ἓν αὐτοῦ, πλειόνων ἐκεῖθεν ἐπαφεθέντων, καὶ κἂν [sic] ἀπονητὶ τῷ τυράννῳ διαπεπραγμάτευτο τὸ στρατήγημα, εἰ μὴ τῶν θεραπόντων τινὶ προϋπαντῆσαν φερόμενον, ἐκεῖ τὴν βίαν ἀφῆκεν, οὐκ ἐν καιρίῳ παγέν· καὶ τοῦτο γὰρ ἄντικρυς ἡ χάρις ἀπεῖρξε.

52 Τοιαῦτα τοίνυν ἐκεῖνος τὰ περὶ ἑαυτὸν ὁρῶν πάθη, καὶ τὴν ἔξωθεν ὕβριν οὐ
φορητὴν ἔτι βλέπων, ἀλλὰ καὶ λόγους ἄγαν αὐθάδεις ἀκούων εἰς αὐτὸν ἀπορριπτο-
μένους, καὶ τὴν τῶν οἰκείων | ἀναίρεσιν τήν τε τῶν λαφύρων διαίρεσιν ἐν 272[1]
ὀφθαλμοῖς γινόμενα θεωρῶν, ἐξεπίτηδες πάντα τοῦ τυράννου μηχανωμένου, ἵνα μᾶλλον
ἐντεῦθεν ὑποκνίσῃ καὶ δάκῃ τὸν βασιλέα, οὐδὲν ὅλως ἔπαθεν ἀγεννὲς πρὸς οὐδέν, ἀλλ'
εἰπὼν ἐκεῖνο τὸ τοῦ Δαβὶδ* Ἄφετε τὸν Σεμεεὶ καταρᾶσθαι τὸν Δαβίδ, ὅτι κύριος αὐτῷ
ἐνετείλατο, τὴν ἐμὴν παιδεύων ἀπροσεξίαν, ἔτι δὲ κἀκεῖνο προσθεὶς Ἐγὼ μὲν ἐνταῦθα
καθίσω παρὰ τὸν δοθέντα μοι τόπον ὑπὸ θεοῦ, καὶ εἰ ἐρεῖ Οὐ τεθέληκά σε, ἰδοὺ ὁ
δοῦλος αὐτοῦ· ποιείτω ἐπ' ἐμοὶ τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ*. 53 ταῦτ' εἰπών τε καὶ
λογισάμενος, ἔργου εἴχετο, καὶ τούς τε φυγάδας ἀνεκάλει πάλιν ἐπὶ τὰ τείχη, τὰς γεφύρας
τε λύειν καὶ τῶν πυλῶν τὰς ὑπόπτους ἀναφράττειν ἐκέλευε, τήν τε ἄλλην παρασκευὴν
(ὅση τις ἐδόκει χρησίμη πρὸς πολιορκίας ἀντίβασιν) σὺν ἀμηχάνῳ τάχει τινὶ παρεσκεύαζε·
καὶ θᾶττον ἢ λόγος τὰ τῆς ἀσφαλείας αὖθις ἀπετελέσθη, καὶ πάλιν ἡ πόλις ἐπικατε-
χύθη τοῖς τείχεσιν. 54 ἀλλ' ὢ τίς ἐξείποι τῆς νυκτὸς ἐκείνης τὸν φόβον; τίς τῶν
φυλασσόντων τὸ δέος; τίς | τῶν οἴκοι μενόντων ἔτι καὶ ἔμενε τὸν τρόμον καὶ 272[2]
τὴν δειλίαν; τοῖς μὲν γὰρ ἠλπίζετο νυκτὸς προδοσία, τοῖς δὲ κλιμάκων ἐπίθεσις ἀφανὴς
καὶ λαθραία, τοῖς δ' οὐδενὸς δεήσειν τοιούτου τῷ τυράννῳ πρὸς τὴν ἐκπόρθησιν· ἐπι-
στήσειν γὰρ αὐτὸν φανερῶς τὰς ἑλεπόλεις ἐκτὸς ὡς δεδιότα μηδένα, καὶ ταῖς μὲν ὑπο-
ρύξειν, ταῖς δὲ σφοδρῶς τύψειν καὶ ἀναρρήξειν τὰ τείχη, καὶ χειμάρρου δίκην ῥαγδαίως
ἐπιχυθέντα κατακλύσειν αὐτίκα πᾶσαν τὴν πόλιν. πρὸς οὖν ταῦτα δεινή τις κατεῖχεν
ἀπορία τὰ πλήθη, καὶ καθεύδειν οὐκ ἤθελεν οὐδεὶς οὐδ' ἠδύνατο, ἀλλ' ἑστῶσι μὲν
ὄμμασιν, ἑστώσαις δὲ ἀκοαῖς οἱ μὲν πρὸς τὰ κελευόμενα, οἱ δὲ πρὸς τὰ ἐλπιζόμενα
ὑπὸ φανοῖς καὶ λαμπάσι τὴν σκυθρωπὴν παρέπεμπον νύκτα, καὶ τὸ μὲν δημοτικὸν καὶ
κοινὸν (ἀλογώτερον ζῆν ὡς τὰ πολλὰ πεφυκός) μετριώτερον εἶχέ πως καὶ τότε πρὸς τὴν
περίστασιν, αὐτοὶ δὲ οἱ προὔχοντες μήτε τροφὴν οἱ πλείους προσέμενοι μήθ' ὕπνου
σπάσαντες, ἄθλιοι τῇ καὶ τῇ περιθέοντες καὶ τοὺς ἄλλους ἐπισκοποῦν|τες μή που 273[1]
λάθοι τις τούτων ἀπονυστάξας, ἐν τοσούτῳ καμάτῳ τὴν ἡμέραν ἀνέμενον· οὓς εἰκότως
ἄν τις θαυμάσειε τῆς τε καρτερίας καὶ εὐταξίας καὶ τῆς εἰς τοὺς κρατοῦντας εὐνοίας·
καὶ γὰρ ἠγωνίων ἐπ' ἐκείνοις τὸ πλέον, καὶ περὶ ἐκείνους οὐχ ἧττον αὐτοῖς ἢ περὶ
ἑαυτοὺς ἦν ὁ κίνδυνος. 55 ἐμὲ δ' ἑνὸς ἀρετὴ καταπλήττει μάλιστα πάντων. ἀστραπή
τις ἄνθρωπος ὤφθη κατ' ἐκείνην τὴν νύκτα, ἄρρητόν τι χρῆμα καὶ ἄπιστον, ἀπ' ἄκρων
τειχῶν ἕως ἄκρων διάττων, πολλάκις μὲν τῆς νυκτός, πολλάκις δὲ τῆς ἡμέρας, καὶ

52 Regn β 16, 11 | 52 Regn β 15, 26

πανταχοῦ μὲν πᾶσι παρών, οὐδαμόθεν δ' αὖθις ἀπών, διὰ τὸ πτηνὸν τῆς ὀξύτητος — τοσοῦτον τότε μέλον ἐκείνῳ ὕπνου καὶ τροφῆς καὶ ἀνέσεως —, καὶ τοῦτο μέχρις ἑβδόμης· ἐπὶ τοσοῦτον γὰρ ἔξωθεν ἐκράτουν οἱ φόβοι. συνήντα δ' ὅμως οὐδὲν τῶν ἐν ἐλπίσι τοῖς φοβουμένοις.

56 *Ἀλλὰ περὶ τὴν ἑξῆς μὲν ὁ τύραννος τὸν στρατὸν διανέπαυε, πάνυ κεκμηκότα (ὡς ἔοικεν) ἢ πλήθει τε καὶ ῥώμῃ τῶν ἀντιπάλων, οὓς ἐκ παρατάξεως ἡττησαν, ἢ καὶ τῷ μακρῷ τῆς διώξεως· ταῖς δὲ μετ' ἐκείνην ἡμέραις | ἀντιπαρεξάγων τὴν δύνα-* 273²
μιν καὶ καθιστὰς εἰς κόσμον καὶ τάξιν, πρὸ δυσμῶν οὕτω πάλιν ἀπῆγε συντεταγμένην, μηδέν τι δρῶν πλέον ἢ κομπάζων ὑπέρογκα καὶ ἀπειλῶν καὶ ὑβρίζων, καὶ (ὃ τῶν σοφῶν τις ἐμμελῶς ἐχαριεντίσατο) ἀλεκτρυόνος ἀγεννοῦς δίκην πρὸ τελείας τῆς νίκης ἀποπηδῶν τε καὶ ᾄδων.

57 *Ἐν τούτοις ἑκάτεροι τὴν ἑβδομάδα διήνεγκαν, οἱ μὲν ἐπηρτημένον τὸν κίνδυνον διὰ παντὸς ὑφορώμενοι καὶ ἀεὶ προσδοκῶντες αἰφνιδίως αὐτοῖς ἐπιπεσεῖσθαι τοὺς ἐναντίους, οἱ δὲ τὴν ὑπόνοιαν ἀνάπτοντες τούτοις καὶ τὸν φόβον αὔξοντες πλέον οἷς ἐποίουν καὶ ἔλεγον.*

58 *Εἶτα τί; μέγας ὁ κύριος ἡμῶν, καὶ μεγάλη ἀληθῶς ἡ ἰσχὺς αὐτοῦ. νὺξ πάλιν μία, καὶ ὄρθρος ἐπ' ἐκείνῃ βαθύς. καὶ ἡμᾶς παρῆλθεν ὁ ὀλοθρεύων*. ὢ πραγμάτων ἀρρήτων· ὢ θαυμάτων καινῶν· φεύγει ὁ ἀσεβὴς μηδενὸς διώκοντος*· ἐκλείπων ἐξέλιπεν ὡσεὶ καπνὸς ὁ ἐχθρός*· ἐξῆλθε καὶ ἀπῆλθεν ἀφ' ἡμῶν ὥσπερ ὁ καταλύων σκηνὴν πήξας, μεθ' ἧς ὑπὸ ζόφῳ συσκευασάμενος ᾤχετο. | γενηθήτω ἡ ὁδὸς αὐτοῦ (λέγε,* 274¹
θεῖε Δαβίδ) σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος κυρίου καταδιώκων αὐτόν· ταῦτα γὰρ αὐτῷ τὰ προσήκοντα παρ' ἡμῶν προπεμπτήρια. ἀλλ' ὁ μὲν ὃ προήκουσε, τοῦτο ἤδη καὶ πέπονθεν, ἀποστραφεὶς πάλιν ἄπρακτος μετ' αἰσχύνης ἣν ἦλθε· τοὺς δέ γε κατὰ τὴν πόλιν πρῶτα μὲν ἀπιστία τις κατεῖχε πρὸς τὸ παράδοξον, καὶ λογοποιεῖσθαι τὴν φήμην παραψυχῆς χάριν ᾤοντο· ὡς δὲ πολλῶν ὅτι μάλιστα ῥυέντων ἐπὶ τὸν χάρακα σφοδρότητι καὶ ῥύμῃ τῆς ἀκράτου περιχαρείας καὶ τὴν ἐρημίαν ἐκείνου θεασαμένων, ἄλλος ἤδη παρ' ἄλλου τἀληθὲς κατεμάνθανε, καὶ λαμπρὰν ἐλάμβανε πίστιν τὸ τέως ἀμφιβαλλόμενον, τοσοῦτοι παρὰ πάντων ἐπήρθησαν ἀλαλαγμοί τε καὶ κρότοι ὡς οὐδὲν ἔχειν ὅμοιον τῆς χαρᾶς ἐκείνης τὸ μέγεθος, ἀλλὰ πᾶσαν μὲν ἑορτήν, πᾶσαν δὲ ἡμέραν χαρμόσυνον παρελθεῖν τῇ φαιδρότητι τὴν ἡμέραν ἐκείνην, καὶ ὡς οὐπώποτε ἄλλοτε τὸν σωτῆρα καὶ ῥύστην ἐκ παντὸς τότε στόματος καὶ πάσης φωνῆς ἀνυμνηθῆναι καὶ δοξασθῆναι. καίγε χά|ρις πολλὴ τῷ παρασχόντι τὴν σωτηρίαν, ὅτι παρὰ πᾶσαν ἐλπίδα* 274²
τὴν ἑαυτοῦ θείαν δύναμιν ἐν ἡμῖν ἐθαυμάστωσεν. 59 *οὕτω μὲν ἡ πόλις ἀνέπνευσεν ἐκ τοῦ μεγίστου κινδύνου, ἀποσεισαμένη θεοῦ φιλανθρωπίᾳ τὸν θῆρα, ταῖς ἀναπνοαῖς αὐτῆς τέως ἐπικαθήμενον, καὶ οὕτω μόλις τὸ πλῆθος εἰς ἑαυτὸ ἐπανῆλθε, καὶ τὴν προτέραν ἀπέλαβε γαλήνην τὰ πράγματα.*

60 *βασιλεὺς δέ, καὶ τούτων παραδόξως οὕτω συμβάντων, καίτοι φανερᾶς καὶ τελείας τῆς ἐξ οὐρανοῦ τυχὼν βοηθείας, καὶ θαρρῶν αὐτῇ πλέον ἐκ τῆς ἤδη πληροφορίας, οὐδὲ τῆς αὐτῷ προσηκούσης προμηθείας ἀφίστατο· ὃ γὰρ τοῖς ἄλλοις ἐδόκει τῶν κακῶν εἶναι τέλος, οὐ τέλος ἐκεῖνος, ἀλλ' ἀναβολὴν ὑπελάμβανε*, καὶ τὴν τῶν ἀποστατῶν ὑποχώρησιν*

58 Exod 12, 23 | 58 Isa 17, 2? Mich 2, 11? | 58 Ps λς 20 | 58 Ps λδ 6 | 60 *ὑπερλάμβανε* apogr

οὐ φυγὴν ἢ κατάλυσιν, ἀλλὰ στρατηγίαν ἡγεῖτο πανουργοτέραν, εἰς παρασκευήν τινα
μείζονα τὰ τῆς μάχης ὑπερθεμένην. [61] διὰ τοῦτο κἀντεῦθεν ὅτι τάχος ἐστρατολόγει.
καὶ τὰς ἀπούσας δυνάμεις ἀπὸ τῆς ἑῴας ἀνεκαλεῖτο, βαρβαρικά τε στρατεύματα ἐκ
δυσμῶν καὶ βορρᾶ διὰ γραμμάτων ἐκίνει, | καὶ πανταχόθεν συνίστη τὴν τῆς τυ- 275[1]
ραννίδος καθαίρεσιν, ἅμα μὲν καὶ πᾶν τὸ ὑπήκοον εἰς τὸ παντελὲς προθυμούμενος
ἀπολῦσαι τοῦ φόβου, ἅμα δὲ καὶ τὰ δύστηνα τῆς οἰκτρᾶς Θρᾴκης λείψανα περισῶσαι
ζητῶν, ἀγομένης πάλιν καὶ φερομένης ὑπὸ τοῦ ἑαυτῆς ληστρικοῦ, ὡς μὴ ξένον ᾖ ταύτῃ
τὸ κακὸν μηδ' ἑτέρωθεν, ἀλλ' οἴκοθέν τε καὶ ἴδιον, καὶ τὸν ἐχίδνης τρόπον τὰ σπλάγχνα
παρὰ τῶν ἑαυτῆς ἐκγόνων σπαράσσηται. [62] πλὴν ὁ τύραννος μὲν μετὰ τοιούτων
ἀριστευμάτων ἄνω τε καὶ κάτω πλανώμενος, ὡς τοὺς νομάδας λέγουσι Σκύθας, ξενικάς
τινας ἤδη συμμαχίας περιεσκέπτετο, καὶ μηχανὰς τειχομάχους τεκτονεύειν διενοεῖτο, καὶ
μετ' ὀλίγον αὖθις ἠκούετο πρὸς τὰ τῇδε μέλλων ἐλαύνειν, καθ' ἅπερ πυρετὸς ὑποστρέφων
ἢ πνεῦμα πονηρὸν καὶ ἀκάθαρτον, ὃ λυθὲν (ὡς ὁ λόγος*) καὶ ἀπελθὸν τοῦ ἀνθρώπου,
εἶτα πλανηθὲν ἐν ἐρήμοις, πρὸς ἐκεῖνον πάλιν ἐπάνεισι βιαιότερον καὶ θρασύτερον
μετὰ τῶν ἑπτὰ τῆς πονηρίας πνευμάτων, εἴτουν ταγμάτων, ὡς τῶν ἑπτὰ δηλούντων καὶ
πλείω, τὰ τῷ* τυράννῳ λέγω συστρατευόμενα. [63] ἐν τοσούτῳ δ' αἵ τε δυνάμεις ἐκ
| τῆς ἕω παρῆσαν, τὰ ἐκεῖ καλῶς θέμεναι, καὶ τὸ ἐγγύθεν συνείλεκτο. ὅσον δ' 275[2]
ἦν ὑπερόριον (τοῦτο δ' ἦν τὸ βαρβαρικόν) ἐν ἐξόδῳ κἀκεῖνο ἤδη ὂν ἀπηγγέλλετο. οἷς
πᾶσι τὰς χεῖρας ἐπιρρώσας ὁ βασιλεὺς δωρεαῖς τε μεγάλαις καὶ ἀξιωμάτων λαμπρό-
τησι καὶ παντοίαις ἄλλαις φιλοφροσύναις, ὑπὲρ πάντα δὲ μάλιστα χρυσοῦ καταπλήσας
(φιλοχρήματον γὰρ διαφερόντως τοῦτο τὸ γένος), οὕτω τὴν ταχίστην προθύμους ἐπὶ τὸν
ἀγῶνα ἐκπέμπει, ὑποθεὶς μὲν ὡς ἄριστα τὸ πρακτέον αὐτοῖς, ἡγεμόνας δὲ παρασχόμενος
τῶν στρατηγῶν τοὺς κρατίστους καὶ τῷ νικᾶν ἐκ μακροῦ διὰ πολλῶν ἀγώνων συνει-
θισμένους. [64] οἱ μὲν οὖν ἐξῄεσαν πρὸς μάχην ἐσκευασμένοι*, ἡ δὲ πόλις πάλιν
μετέωρος πρὸς τὸ μέλλον εἱστήκει, καὶ τοῖς μὲν πολλοῖς (ἢ σκαιοῖς) ἐν ἡδονῇ τε ἦν τὰ
ὁρώμενα, καὶ τῶν ἀντιπάλων τὸν ὄλεθρον ὡσανεὶ προεώρταζον, αὐτῷ γε μὴν βασιλεῖ
καὶ τοῖς ὅσοι τῶν ἄλλων ἐπιεικέστεροί τε καὶ συνετώτεροι, δεινὸν τὸ πρᾶγμα ἐδόκει καὶ
οὐχ ὅπως χαρᾶς, ἀλλὰ καὶ πολλῶν θρήνων ἄξιον, ἐννοοῦσιν εἰς οἵαν ἀτυχίαν κατέπεσε
τὸ μέγα Ῥω|μαίοις καὶ ἀοίδιμον αὔχημα, ὡς πρὸς ἑαυτὰ συμπεσεῖν συναναγκά- 276[1]
ζεσθαι τὰ στρατεύματα καὶ τοὺς συμμαχεῖν εἰωθότας καὶ συνασπίζειν ἀλλήλοις κατ'
ἀλλήλων αἴρειν τὰ ὅπλα καὶ χριστιανικοῖς αἵμασι, πρὸς δὲ καὶ συγγενικοῖς — χριστιανοὺς
φεῦ ἀνθρώπους — τὰς δεξιὰς ἐπείγεσθαι χρᾶναι, τήν τε βασιλείαν ἐφ' ἑαυτὴν μερι-
σθεῖσαν* κινδυνεύειν ἤδη τὸ μηδὲ στῆναι, καθ' ἃ φησιν ἡ ἀλήθεια, αὐτὴν ὑφ' ἑαυτῆς
πάντων αἴσχιστα δαπανηθεῖσαν ἢ συντριβεῖσαν, καὶ τοῖς ἔθνεσι γέλωτα κινεῖσθαι πρὸς
ταῦτα καὶ πολλὴν ἡδονήν, τῶν πρὶν αὐτοῖς φοβερῶν ὑπ' ἀλλήλων οὕτω συμφθειρο-
μένων. ὅλως τε τὴν νίκην οὐ νίκην, ἀλλ' ἧτταν φανερῶς ὑπελάμβανον, καὶ περιειστήκει
τρόπον τινὰ τὰ τῆς τέως δοκούσης εὐπορίας εἰς ἀπορίαν. [65] διὰ τοῦτο καὶ πάλιν η
καταφυγὴ πρὸς θεόν, τὴν ὄντως εὐμήχανον σοφίαν καὶ πολυποίκιλον*, καὶ πάλιν αἱ
θεοῦ θεραπεῖαι καὶ λιτανεῖαι κατὰ πάντα τρόπον τε καὶ τόπον τελούμεναι, ἕως δώσει
λύσιν ἐκεῖνος καὶ ταύτης τῆς ἀπορίας, ῥᾷστα πάντα δυνάμενος λόγῳ μόνῳ καὶ νεύματι.

62 Matth 12, 43—45 | 62 τῶν apogr | 64 εὐκευασμένοι codex | 64 Matth 12, 25 | 65 Ephes 3, 10

καὶ μέντοι τὰς ἐλπίδας οὐκ ἔψευσε τῶν εἰς αὐτὸν ἠλ|πικότων, ἀλλ' ὁ ταχὺς εἰς 276²
ἀντίληψιν* κἀνταῦθα ταχύνει, καὶ τὸ τάχος ὅσον καὶ οἷον!

66 Ἄρτι μὲν εἰς χεῖρας ἐλθεῖν κατ' ἀλλήλων ἔμελλε τὰ στρατεύματα, τὸ μὲν τυραννικὸν ἀπογνώσει τε καὶ τόλμῃ καθωπλισμένον, τὸ δέ γε βασιλικὸν πλεονεκτοῦν μὲν ἐν πλείοσιν, οὐδενὶ δὲ θαρρεῖν οὕτως ἔχον ὡς τῷ εὐλόγῳ τοῦ πράγματος καὶ τῷ εὐκλεεῖ τοῦ κινδύνου· τί γὰρ σεμνότερον ἀνδρὶ στρατιώτῃ τοῦ χρηστοῦ τε βασιλέως προκινδυνεῦσαι καὶ τῆς τοῦ ἔθνους προθύμως ὑπεραποθανεῖν μητροπόλεως; ἅμα τοίνυν ἐντεῦθεν τὸ ῥωμαϊκὸν συνεστράτευε, καὶ τὸ βαρβαρικὸν ἐκ συνθήματος ἐκεῖθεν προσήγγιζεν· ἤδη δὲ καὶ τὸ βόρειον οὐ μακρὰν ἀφεστηκὸς ἀπηγγέλλετο, τοῦ σοφοῦ βασιλέως τῷ ἀναιδεῖ φυγάδι καὶ πολεμίῳ μηχανωμένου τὴν κύκλωσιν καὶ ὡς ἐν σαγήνῃ τὸν τύραννον περιλαβεῖν διαστρατηγοῦντος. 67 καὶ δὴ συνάπτειν ἐδόκει· καὶ παρῆν ἡ κυρία, καὶ τῷ ἀγῶνι τὸ ἐπιτήδειον ὡρίσθη χωρίον, καὶ πρὸς συμπλοκὴν ἐκινεῖτο περιφανῶς τὰ στρατεύματα. ἀλλ' οὐκ ἦν ἄρα θέλημα τοῦτο τῷ θεῷ τῶν | δυνάμεων, οὐδ' ἠνέσχετο 277¹
μύσει τηλικούτῳ χρανθῆναι τὴν ἁγίαν ταύτην γενέθλιον τοῦ ἠγαπημένου· ἐν τῇ Χριστοῦ γὰρ ἡμέρᾳ — φεῦ μανίας· φεῦ ἀσεβείας — ὁ Χριστοῦ λαὸς ἔμελλον ἀλλήλοις συρρήγνυσθαι. διὰ τοῦτο — λόγου κρεῖττον παντός, πέρα πάσης ἐλπίδος — ἐβρόντησεν ἀθρόον ἐξ οὐρανοῦ ὁ κύριος* μυστικὴν βροντὴν καὶ ἀπόρρητον, μυσαχθεὶς τὸ γινόμενον· ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψιστος· ἐσαλεύθη ἡ γῆ* (σεισμῷ γὰρ ἄν τις εἰκάσειεν ὀρθῶς τὸ συμβάν), ἐταράχθησαν ἔθνη (τὰ τῆς ἀνταρσίας στρατεύματα), ἔκλιναν εὐθὺς πρὸς φυγήν, οὐκ ἐνεγκόντα τὸν ἄνωθεν ἀντίπαλον καὶ πολέμιον. καὶ ἡ φυγὴ σωτηρία τοῖς φυγοῦσι καθίσταται· καταφυγὴ γὰρ ἦν, οὐ φυγή, τῷ βασιλεῖ τοὺς πρὶν ὑπηκόους εἰς ἀποστασίαν λυττήσαντας πρὸς εὐπείθειαν αὖθις θαυμαστῶς ἐπανάγουσα. 68 τί ἔτι; γυμνοῦται τῶν συμμάχων ὁ τύραννος· ἐκθαμβεῖται πρὸς τὸ γενόμενον· πλήττεται τὰς φρένας τῷ παραδόξῳ· ἀπογινώσκει τὴν σωτηρίαν· φεύγει· καταλαμβάνεται· ὑπὸ δεσμοῖς καὶ κλοιοῖς ἀναπέμπεται θᾶττον ὡς βασιλέα, ψυχρὸν παραμύθιον (ὡς ἐν κακοῖς τηλικού|τοις) τὸν ἀρχιστράτηγον ἔχων δεσμώτην ὡσαύτως κἀκεῖνον συναπαγόμενον. 277²
οὗτος δ' ἦν, ὥσπερ λόγος, ὁ τὸ πᾶν συνθεὶς δρᾶμα καὶ τὸ πικρὸν ὑπόδημα ῥάψας, ὃ ἐκεῖνος ὁ μάταιος ὡς μὴ ὤφειλεν, ὑπεδήσατο, ὡς ἐνταῦθα μᾶλλον ἐκβῆναι τὴν παλαιὰν παροιμίαν πραγματικώτερον καὶ σαφέστερον.

69 Ἤδη γοῦν τῷ τείχει προσήγγιζον· καὶ στυγνὸν αὐτοῖς πρόσταγμα παρὰ χρῆμα προσυπαντᾷ. ἀναρπασθέντες τοίνυν ὑπό τινων εὐθὺς ἀλαστόρων οἷς ἔργον σώματα σπαράττειν ἀνθρώπινα, καὶ χερσὶ παλαμναίαις ἀνατραπέντες εἰς γῆν, αὐτοῦ πρὸ τῆς πύλης οἱ δείλαιοι ἀμφοτέρους ὁμοῦ τοὺς ὀφθαλμοὺς ἐκτυφλοῦνται, καὶ τὸν τόπον τῆς παροινίας καὶ τῆς τιμωρίας τόπον εὑρίσκουσιν· ἐμοὶ μὲν οὐ σφόδρα καθ' ἡδονήν, οἶμαι δὲ οὐδ' ἄλλῳ τινὶ τῶν ἐπιεικῶν καὶ μετρίων καὶ τὸ συμπαθὲς φιλανθρώπως περὶ τὸ συγγενὲς ἐπιδεικνυμένων. καὶ οὔπω λέγω τοὺς ἄλλους, ἀλλ' αὐτῷ βασιλεῖ τῷ τῆς ποινῆς ὁριστῇ ἐλεεινὸν ἄγαν ἔδοξε τὸ πάθος ἐκεῖνο, καὶ τοῦ λόγου μάρτυς ὁ λέγων, ἰδὼν πολλάκις τὸν ἄνδρα (βαβαὶ φιλοικτίρμονος ἐκείνης | ψυχῆς) τοῖς πεπονθόσιν ἐπιδα- 278¹
κρύσαντα. ἀναγκαία δ' ὅμως ἡ κόλασις εἰς ἀποτροπὴν πονηρίας· καὶ πῶς γὰρ ἂν ἄλλως οἱ κακοὶ σωφρονήσειαν, μὴ τοιούτοις εὐκαίρως ὑποδείγμασι παιδευόμενοι; ὁπότε καὶ

65 Psalm κα 10? | 67 Psalm ιζ 14 | 67 Psalm ιζ 8

τούτων συνεχῶς γινομένων, ἀνυπόστατον ἔχει τὰ κακὰ παρρησίαν, καὶ τῆς μοχθηρίας
ἡ τόλμα ἀκάθεκτος ὁμοίως καὶ ἀνεπίσχετος. [70] οὐ μὴν ἀλλ' ἡ βασιλικὴ γαληνότης πολύ τι
τῆς ἀξίας κἀνταῦθα περὶ τὴν τιμωρίαν ὑφῆκεν· ὅτι γὰρ καὶ ἄλλων βασάνων καὶ ποινῶν
ἦσαν ἄξιοι, πικροτέρων ἔτι καὶ βαρυτέρων, οἱ μεγάλοι τῆς πόλεως θυμοὶ μαρτυροῦσι,
κατ' ἐκείνων ἔτι σφαδάζοντες καὶ τοῖς ὀδοῦσι* ζητοῦντες τοὺς ἀθλίους διασπαράξαι.
ὁ τοῦ βασιλέως δ' οὖν ἔλεος οὐ τούτοις μόνον ἐμέτρησεν ἄχρι τούτου τὴν δίκην, κἂν εἰς
μείζονα φόβον ἔστιν ἃ καὶ προσυπεκρίνατο, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀφῆκε τὴν εἰς σῶμα
ποινήν, τοῖς τε πρὶν αὐτομόλοις καὶ τοῖς ὕστερον πρόσφυξι καὶ αὐτοῖς δὲ ἐκείνοις τοῖς
ἀτρέπτως εἰς τέλος τῷ τυράννῳ συμμείνασιν. εἰ δὲ καὶ περὶ τὴν οὐσίαν ἢ τὴν κατοίκησιν
φιλανθρωπότερόν τι σκοπήσειεν ἐπ' αὐ|τοῖς ὁ φιλάνθρωπος, ἀγαπῴην ἂν ἔγωγε, 278²
καὶ τὴν ἀρετὴν ὑπὲρ ἄνθρωπον διαρρήδην ὁμολογοίην.

[71] Ἡ μὲν δὴ φοβερὰ τῆς τυραννίδος πυρκαϊὰ ἐξ ὑπεκκαυμάτων τοιούτων τὴν ἀρχὴν
ἀναφθεῖσα καὶ εἰς φλόγα τοσαύτην ἀνελπίστως ἀρθεῖσα οὕτω θᾶττον ἐσβέσθη τῇ τοῦ
κρείττονος χάριτι, οὗ καὶ μόνη φωνὴ διακόπτει φλόγα πυρός*· ὃς ἐπιτιμᾷ καὶ θαλάσσῃ,
καὶ σιγῶσι τὰ κύματα*· ἐπιτάσσει καὶ καταιγίδι, καὶ εἰς αὔραν ἵσταται· προσβλέπει καὶ
ἄβυσσον, καὶ παρὰ χρῆμα ξηραίνεται· ὃς ῥᾳδίως πάντα ποιεῖ καὶ μετασκευάζει μόνῳ
θελήματι.

[72] Ἀλλ' ἐκεῖνος μὲν οὕτω καὶ τοιούτοις σημείοις ἀπορρήτοις καὶ τέρασι τὴν ἀπειρο-
δύναμον δύναμιν αὐτοῦ φανεροῖ, καὶ τοὺς ἐπ' αὐτὸν πεποιθότας ἐκ πασῶν τῶν θλίψεων
ῥύεται*· ἡμεῖς δὲ τηλικαύτης τυχόντες οὐρανόθεν ἐπικουρίας καὶ τοσαύτης ἐκεῖθεν ἀπο-
λαύσαντες ἀντιλήψεως, δεῦτε νῦν ἀγαλλιασώμεθα φαιδρῶς τῷ κυρίῳ, ἀλαλάξωμεν
τῷ θεῷ τῷ σωτῆρι ἡμῶν*, δῶμεν δόξαν ἐν αἰνέσει αὐτοῦ*, ὑψώσωμεν φωνὴν πρὸς
αὐτόν*, μεγαλύνωμεν ἅμα τὸν λυτρωτήν, ὅτι ἐποί|ησεν ἡμῖν μεγαλεῖα ὁ δυνατός, 279¹
καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ*· ὅτι εἴδομεν πράγματα θαυμαστὰ καὶ μεγάλα, ἃ οὐκ
εἴδοσαν οἱ πατέρες ἡμῶν, ἃ οὐκ ἠκηκόεισαν, ὅτι ἐξ ὕψους ἡμᾶς ἀνατολὴ ἐπεσκέψατο*
καὶ τοῖς καθημένοις ἐν σκότει* ἀθυμίας ἐπέφανεν, ὅτι ἐτέχθη σωτὴρ ὡς ἀληθῶς ἡμῖν
σήμερον, θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων ὄντως εἰρήνης*, τὰ σκολιὰ τιθεὶς εἰς εὐθέα
καὶ τὰ τραχέα μετάγων εἰς ὁδοὺς λείας*, τὸ μεσότοιχον αὖθις τοῦ φραγμοῦ διαλύων*
καὶ συνάγων πάλιν τὰ διεστῶτα, ἐπιστρέφων τὰ πρόβατα τὰ ἔξω πλανώμενα καὶ πρὸς
τὴν ἰδίαν μάνδραν ἐλαύνων καὶ ποιῶν μίαν ποίμνην, ἕνα ποιμένα*, ὅτι τὰ πάντα
εἰρηνοποίησε διὰ τῆς ἑαυτοῦ γεννήσεως νῦν, τά τε ἐν οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς.

[73] Τὴν μὲν οὖν παροῦσαν εὐεργεσίαν τοῦ τεχθέντος καὶ σώσαντος ἡμᾶς παραδόξως
οὐδεὶς δυνήσεται λόγος πρὸς ἀξίαν ὑμνῆσαι, κἂν πᾶσαν εὐφημίαν καὶ ἔπαινον εἰς
τοῦτο συνεισενέγκῃ· ὃ δὲ πλέον τῶν ἄλλων ἐκείνῳ τε χαριέστερον καὶ τῷ καιρῷ πρεπω-
δέστερον, δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία*· | τοῦτον 279²
παρ' ἀγγέλων τὸν ὕμνον ἐν καιρῷ δανεισώμεθα, τοῦτον σὺν ἐκείνοις καρποφορήσωμεν,
οὗτος χαριστήριος ἔστω παρὰ τῶν εὖ παθόντων τῷ εὐεργέτῃ, ὃς οὐδένα καιήσχυνε τῶν
ἐπ' αὐτὸν πεποιθότων, ὃς καθ' ἑαυτοῦ ὤμοσε* Ζῶ ἐγώ, λέγει κύριος, ἀλλ' ἢ τοὺς δοξά-

70 ὀδοῦσι C², ὁδοῦσι C¹ | 71 Psalm κη 7 | 71 Luc 8, 25 | 72 Psalm λγ 7 | 72 Psalm ϘΔ 1 | 72 Psalm ξε 2 | 72 Psalm ρι 9 | 72 Luc 1, 49 | 72 Luc 1, 78 | 72 Matth 4, 16 | 72 Isa 9, 6 | 72 Isa 40, 4 | 72 Ephes 2, 14 | 72 Iohann 10, 16 | 73 Luc 2, 14 | 73 Regn α 2, 30

ζοντάς με δοξάσω· καὶ μέντοι καλῶς τε καὶ λαμπρῶς νῦν ἐδόξασε τοὺς οὕτω δοξάζοντας αὐτὸν καὶ τιμῶντας, ὧν ἁπάντων κεφάλαιον ἡ κεφαλὴ πάντων σύ, βασιλέων ὀρθοδοξότατε καὶ διὰ τοῦτο θεοφιλέστατε καὶ διὰ τοῦτο προδήλως νικητὰ καὶ ἀνίκητε· τί γὰρ αἴτιον ἄλλο τῆς ὁρωμένης ταύτης φαιδρότητος ἀλλ' ἢ τῆς σῆς πίστεως, τῆς σῆς εὐσεβείας τὸ εἰλικρινές τε καὶ καθαρόν, ᾗ πάντων μάλιστα χαίρειν οἶδε θεός, καὶ δι' ἣν τὴν ἀκαταμάχητον ἐνδύων σε δύναμιν, τοιαύτας παραδόξους σοι νίκας καὶ οὕτως ἀναίμακτα χαρίζεται τρόπαια, ἐφ' οἷς συνελθόντες ὁ μετὰ σοῦ σεσωσμένος καὶ διὰ σὲ λαὸς οὗτος ἐν ἀγαλλιάσει πανηγυρίζομεν, καὶ τῷ νικοποιῷ θεῷ καὶ σωτῆρι ἑορτάζομεν ἐπινίκια, ὧν εἰκότως ἐν πρώτοις ὁ τροπαιοφόρος | μετέχει, ἀγαθῆς συνεργίας 280¹
ἀγαθὰς δρεπόμενος χάριτας καὶ τὰς ἀπαρχὰς παρ' ἡμῶν τῆς εὐφροσύνης λαμβάνων ἀνθ' ὧν ἡμῖν ἐν ἡμέραις ἐβοήθησε θλίψεως, οἰκτείρας, ταχύνας, τῇ πρεσβείᾳ λύσας τὰ σκυθρωπά, καὶ ὡς ἀληθῶς οἷς ἠρίστευσε, τροπαιοφόρος γενόμενος.

74 Οὕτω τοιγαροῦν, βασιλεῦ, οὕτω ποίει καὶ σῴζου· ταῦτα καρποφόρει θεῷ, ταῦτα πρόσαγε, τὴν ἐλπίδα, τὴν πίστιν, τὴν ὑπομονήν, τὴν πρᾳότητα, τὸ πρὸς τοὺς ἁμαρτάνοντας ἀνεξίκακον, τὸ πρὸς ὑποψίαν δυσκίνητον, τὸ πρὸς διαβολὴν ἀσυνάρπαστον — διαβολήν, λυτρωτά μου, τὴν μεγάλην λώβην καὶ* κῆρα τοῦ βίου τοῦ ἀνθρωπίνου —, τὸ συμπαθὲς πρὸς τὸ πάσχον, τὸ πρὸς τὸ ἐνδεὲς εὐμετάδοτον, ἑνὶ λόγῳ, τὴν περὶ τὸ θεῖον εὐσέβειαν καὶ τὴν περὶ τοὺς ὑπηκόους φιλανθρωπίαν· ταῦτα γὰρ βασιλείας ἀληθῶς καλλωπίσματα· οὗτος ὁ τῆς καυχήσεως στέφανος· τοῦτο τὸ τῆς δόξης διάδημα· τούτοις καὶ αὐτὸς ἐγκοσμούμενος κυριεύσεις ἐθνῶν καὶ ὑποτάξεις λαούς, καὶ αἰσχυνθήσονται πάντες οἱ μισοῦντές σε δωρεάν, οἱ δὲ ἀγαπῶντές σε εὐφρανθήσονται, καὶ οἱ | θέλοντες τὴν εἰρήνην σου συνειρηνεύσουσί σοι καὶ συγχαρήσονται, τοιαῦτα 280²
πανηγυρίζοντες ἐν αὐτῷ Χριστῷ τῷ ἀληθεῖ καὶ μόνῳ θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν πατρί τε καὶ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

187. Τοῦ αὐτοῦ νεαρὰ ἐκφωνηθεῖσα παρὰ τοῦ φιλοχρίστου δεσπότου, κυροῦ[sic] Κωνσταντίνου τοῦ Μονομάχου, ἐπὶ τῇ ἀναδείξει καὶ προβολῇ τοῦ διδασκάλου τῶν νόμων ἐν°.

1 Καὶ τίς ἑτέρα φροντίς, ποῖον ἔργον ἢ σπούδασμα βασιλείᾳ μᾶλλον προσῆκον τῆς περὶ τοὺς νόμους προνοίας; τιμὴ γὰρ βασιλέως κατὰ τὸ λόγιον* κρίσιν ἀγαπᾶν, καὶ δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ*· ἅπερ ἄλλως ἀμήχανον βασιλεῖ προσγενέσθαι πλὴν ἐκ νόμου καὶ διὰ νόμου, δι' οὗ βασιλεῖς βασιλεύουσι, καὶ δυνάσται καὶ ἄρχοντες κυριεύουσι γῆς, καίτοι παρ' αὐτῶν ἐκείνων τῶν νόμων νομικῆς αὐθεντίας τὸ βασιλικόν τε καὶ θεῖον ἀπολέλυται κράτος, ὡς αὐτὸ δεσπόζον ἁπάντων, οὐχ ὑπό τινος ἄλλου τῶν ἐπὶ γῆς δεσποζόμενον. 2 ἀλλ' αὐτῶν | ἐκείνων ἀκούομεν αὖθις 281¹
τῶν βασιλέων ὑπ' εὐγνωμοσύνης δικαίας τὴν χάριν παραιτουμένων καὶ οἷον ἀμοιβήν τινα ταύτην ἀντιδιδόντων τοῖς νόμοις τὸ ὑπ' ἐκείνοις τῶν σκήπτρων τὴν ἐξουσίαν ποιεῖν, καὶ σὺν αὐτοῖς μᾶλλον ἄρχειν αἱρεῖσθαι προσηνῶς καὶ δικαίως ἢ κρατεῖν δίχα τούτων βιαίως καὶ παρανόμως, σοφώτερον ἢ κατὰ τοὺς ἰδιώτας ὧν ἄρχουσι, περὶ τούτου λογιζομένων· διαφέρειν γὰρ τύραννον ἐν τούτῳ καὶ βασιλέα, ὅτι ὁ μὲν (ὡς ὁ λόγος) νόμον ἔχει τὸν τρόπον, βασιλεὺς δὲ τὸ ἔμπαλιν τρόπον ἔχει τὸν νόμον, ἐπιστασίαν μὲν ἔννομον

74 λώβην καὶ add C², om C¹ | 1 Psalm ϙη 4 | 1 Psalm ϙς 2

τὴν ἀρχὴν ἐπιστάμενος, τῆς δ' ἀρχῆς σοφὸν κυβερνήτην τὸν νόμον ἀσπασίως παραλαμ-
βάνων, ὅστις εὕρεμα μὲν ἐστὶ καὶ δῶρον θεοῦ, τέχνη δὲ καὶ λέγεται καὶ πιστεύεται
τοῦ καλοῦ τε καὶ ἴσου, ἐπανορθοῦται δὲ πάντα τὸν ἀνθρώπινον βίον καὶ θαυμαστήν
τινα τάξιν πρυτανεύει τοῖς πράγμασι· τάξις δὲ τὸ κεφάλαιον (ὡς ἔπος) τῶν ἀγαθῶν,
ἣ καὶ τὰ ἐπίγεια συνέχει καὶ τὰ οὐράνια.

[3] τοσαύτην τοίνυν τοῖς νόμοις ἐνυπάρχουσαν δύναμιν οἱ πρὸ ἡμῶν εὐσεβέστατοι
βασιλεῖς συνιδόντες, οὐχ ἧτ|τον τῶν νόμων ἢ τῶν ὅπλων ἐφρόντισαν, τὰ μὲν ἐκ 281[2]
πολέμων κακὰ στρατηγικαῖς ἀριστείαις ἢ ταῖς ἄνωθεν μᾶλλον συμμαχίαις ἀπείργοντες,
τὸ δὲ τῆς εἰρήνης καλὸν νομοθεσίαις ἀρίσταις ἐπικοσμοῦντες, καὶ δι' ἀμφοτέρων δει-
κνύντες τῆς βασιλικῆς ἐπιστήμης τὸ ἀξίωμα καὶ τὸ μέγεθος. ἀλλὰ καίπερ οὕτω σπου-
δάσαντες περὶ τὴν τῶν νόμων τιμήν, καὶ πολλὴν εἰς τοῦτο τὸ μέρος πραγματείαν εἰσ-
ενεγκόντες, ὡς πολλοῖς μὲν κόποις καὶ πόνοις τὴν ἐν τούτοις ἀμετρίαν συστεῖλαι, πολλὰ
δὲ καμεῖν περὶ τὴν ἑρμηνείαν τῆς Ἰταλίδος, καθ' ἣν ἡ τῶν νόμων ἀρχαιότης συνέκειτο,
οὐκ ὀλίγα δὲ πρὸς τὴν τούτων ταλαιπωρῆσαι σαφήνειαν, ἔτι δὲ καὶ τὴν ἀνακάθαρσιν
ὅτι πλείστης φροντίδος καὶ σπουδῆς ἀξιῶσαι, ἕν τι κάλλιστον πρᾶγμα καὶ τῷ κοινῷ
συμφορώτατον (οὐκ οἶδα πόθεν οὐδ' ὅπως) παρέλιπον ἀδιοίκητον. [4] ὧν γὰρ τὴν
χρῆσιν ἐτίμησαν, τούτων ὑπερεῖδον τὴν ἄσκησιν, καὶ οὓς διαφερόντως ᾐδέσθησαν, τούτοις
οὐκ ἐξεῦρον διδάσκαλον, ἀλλὰ τοὺς συμβολαιογράφους μὲν ἀνακρίνουσι καὶ τοὺς
| συνηγόρους εὐθύνουσιν ὅθεν τε καὶ ὅπως τὰ τῶν νόμων παρέλαβον, καὶ οὐ 282[1]
πρὶν ἐπιτρέπουσιν οὐδενὶ τῶν τοιούτων ἢ τοῖς σωματείοις ἐγκαταλέγεσθαι ἢ τοῖς λογιω-
τάτοις ἐναπογράφεσθαι ῥήτορσι, πρὶν ἂν καὶ διδασκάλους ἑαυτῶν ἀποδείξωσι καὶ χρόνον
γνωρίσωσιν ὁπόσον διέτριψαν ἐν τοῖς τῶν νόμων μαθήμασιν· αὐτὸν δ' ἐκεῖνον τὸν
ταῦτα φιλοπόνως διδάξοντα καὶ τὴν τῶν νόμων εἴδησιν τούτοις ἀκριβῆ παραδώσοντα
μακροθύμως εὖ μάλα καὶ μεγαλοψύχως παρέδραμον, οὐκ ἄνδρα πρὸς τοῦτο δυνατὸν
ἐκλεξάμενοι, οὐ συναγωγῆς τινὰ τόπον τοῖς νόμων ἐρασταῖς ἀποτάξαντες, οὐ σιτήσεις
ὁρίσαντες, οὐκ ἄλλο τι τῶν ὅσα συνιστᾶν τε καὶ συγκροτεῖν διδασκαλείου πέφυκε τάξιν
οἰκονομήσαντες, ἀλλ' ὡς ἀκυβέρνητον πλοῖον τὴν ἱερὰν νομομάθειαν ἐν μέσῳ τῷ πελάγει
τοῦ βίου κατέλιπον, ὡς ἂν συμπέσοι καὶ τύχοι πλανᾶσθαι καὶ φέρεσθαι. [5] οὐδένα
γοῦν σχεδὸν ἴσμεν τῶν εἰς πολιτείαν ἄρτι παραγγελλόντων ἀπ' ἀξιοπίστου μαθήσεως
ὡς ἐξ ὅρμου τινὸς ἢ λιμένος εὐθέτου ἐπὶ τὰς πολιτικὰς ἀναγόμενον μετα|χειρίσεις 282[2]
καὶ πράξεις, ἀλλ' ὅσον τῆς νεότητος μέρος πρὸς τὴν τοῦ μαθήματος τούτου γνῶσιν
ὀργᾷ, ζητεῖ μὲν καὶ λίαν ἐπιμελῶς τὸν διδάξοντα, οὐδένα δὲ βλέποντες εἰς τοῦτο προ-
βεβλημένον οὐδὲ κρίσει καὶ ψήφῳ μεμαρτυρημένον βασιλικῇ, ἀπορίᾳ τοῦ κρείττονος ἐφ'
ὃν ἂν τύχοιεν ἕκαστος, ὁρμᾷ τε καὶ φέρεται, καὶ ἄλλος ἄλλῳ πιστεύσας ἑαυτὸν διδα-
σκάλῳ, κἂν πάντων ἀτελέστερον ἔχοι περὶ τὴν τοῦ μαθήματος ἄσκησιν, ὅμως τὸ ῥηθὲν
ὑπ' ἐκείνου βεβαίως παραδεξάμενος, ἀπῆλθε πολλάκις οὐχ ἃ τοῖς νόμοις ἐδόκει, ἀλλ'
ἃ τῷ διδάξαντι ἐπῆλθεν εἰπεῖν, εἰς τὴν ἑαυτοῦ ψυχήν τε καὶ μνήμην παραλαβών· ὡς
ἐντεῦθεν πολλήν τινα ταραχήν τε καὶ σύγχυσιν περὶ τὰς ἑκάστοτε κρίσεις ἐπισυμβαίνειν
τοῖς πράγμασιν, ἅτε τῶν δικάζειν λαχόντων πλὴν ὀλίγων παντάπασι, κἀκείνων τῶν
πλεῖστα ταῖς τῶν νόμων βίβλοις ἐνιδρωσάντων, οὐ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἢ φρονούν-
των ἢ φθεγγομένων, ἀλλ' ἐκ διαφόρων μαθήσεων διαφόρους καὶ δόξας ἐπαγομένων

(ὡς τὸ εἰκός) καὶ τὸ πλεῖστον ἀλλήλοις ἐναντι|ουμένων καὶ συγκρουόντων, κἀν- 283[1]
τεῦθεν ἀπορίαν δεινὴν καὶ τοῖς ἀκριβοῦσι πάνυ τοὺς νόμους εἰς τὴν τῶν πρακτέων
εὕρεσιν ἐμποιούντων· ἐπεὶ μηδεὶς πρὸς μηδένα τῶν ἀντιπολιτευομένων ἀνέχεται τὸ ἧττον
φέρειν ἐν τούτοις, ἀλλ' ὑπο φιλοτιμίας τε περιττῆς καὶ δοξομανούσης νεότητος ἄμεινόν
τι δόξαι τῶν ἄλλων φρονεῖν ἀγωνιζόμενος ἕκαστος, οὐκ ὀκνεῖ τὴν πρὸς ἅπαντας ἀντι-
λογίαν τε καὶ διένεξιν· οὗ τί ποτ' ἂν ἄλλο καταγελαστότερον γένοιτο, ὁπόταν οἱ τοῖς
ἄλλοις ἐπαγγελλόμενοι τὰ ἀμφίβολα λύειν αὐτοὶ πρὸς ἀλλήλους οὐχ ἥκιστα διαφερόμενοι
φαίνοιντο;

[6] *Ταῦτα τοίνυν οὕτω γινόμενα τὸ εὐσεβὲς ἡμῶν κράτος παριδεῖν οὐκ ἠνέσχετο, ἀλλ'*
ἐπείπερ ἡμῖν ὁ τῶν οὐρανῶν βασιλεύς, ὁ συντρίβων πολέμους ἐν χειρὶ κραταιᾷ καὶ*
ἐν βραχίονι ὑψηλῷ, ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος, ταπεινοῖς δὲ χάριν διδούς,*
τούς ἔξωθέν τε πολέμους καὶ τὰς ἐμφυλίους στάσεις κατέπαυσε, καὶ ἠρεμεῖ μὲν νῦν
τὸ ἀντίπαλον, εἰρηνεύει δὲ τὸ ὑπήκοον, πολλὴ δὲ γαλήνη τὰ | Ῥωμαίων κατέχει, 283[2]
καὶ τὸ ἀνθέλκον οὐδέν ἐστι τὰς ἡμετέρας φροντίδας, εὐμενείᾳ τοῦ κρείττονος εἰς τὴν
τῆς πολιτείας ἡμῶν ἐπανόρθωσιν τὸν σκοπὸν ὅλον τρέπομεν. [7] *καὶ δὴ τῶν εἰς τὴν*
τοῦ κοινοῦ λυσιτέλειαν οὐκ ὀλίγα μὲν ἡμῖν ἤδη σὺν Θεῷ πεπραγμάτευται, κἂν ἐλλείπῃ
δέ τι πρὸς τελειότητα, κἀκεῖνο τεύξεται πάντως τῆς ἁρμοζούσης προνοίας ἐν καιρῷ τῷ
προσήκοντι, ἂν ἐπινεύσοι τὸ θεῖον. πρός γε μὴν τὸ παρὸν ἡ γαληνότης ἡμῶν τὸ περὶ
τοὺς νόμους ἁμαρτανόμενον ἐπιστροφῆς ἀξιοῖ, ἀδικώτατον πάντων ἡγησαμένη τοὺς τὸν
βίον ἡμῶν τῆς ἀδικίας ἐλευθεροῦντας αὐτοὺς ἐπὶ πλέον ἀδικουμένους ὑπερορᾶν, καὶ
τοὺς πᾶσι τοῖς ἄλλοις ἐπιτιθέντας κόσμον καὶ τάξιν ἐν ἀκοσμίᾳ τοσαύτῃ πλαζομένους
περιφρονεῖν, καὶ μηδένα τίθεσθαι λόγον τηλικούτου καλοῦ — τῆς τῶν νόμων λέγω
διδασκαλίας, οἳ καὶ τὴν βασιλείαν ἐνδόξως καὶ τὴν πολιτείαν ἀμέμπτως μετὰ τῶν τοῦ
Θεοῦ χειρῶν ἄγουσι· δεινὸν γὰρ τῷ ὄντι καὶ σχέτλιον ταῖς μὲν ἄλλαις ἐπιστήμαις καὶ
τέχναις, ὅσαι τε λογικαί, καὶ τῶν βαναύσων ἐνίαις, | καὶ χώρας ἰδίας καὶ καθη- 284[1]
γεμόνας ἀποτετάχθαι, προεδρίας τε κεκληρῶσθαι καὶ σιτήσεις προσαφωρίσθαι καὶ τί
γὰρ οὐ προσεῖναι καλὸν εἰς παραμυθίαν τῶν μετιόντων, τὸ δὲ πάντων μὲν μαθημάτων
ἀναγκαιότατον, πάντων δὲ σπουδασμάτων βιωφελέστατον, οὗ χωρὶς τἄλλα πάντα πε-
ριττὰ καὶ ἀνόνητα (τί γὰρ ὄφελος τούτων, εὐνομίας ἀποιχομένης;), τοῦτο δὴ καθ' ἅπερ
ἀλλόφυλον τῆς πολιτείας ἀπεληλάσθαι καὶ μήτε τόπον ἔχειν οἰκεῖον ἐν αὐτῇ γινω-
σκόμενον μήτε τάξιν τινά, μὴ βαθμόν, μὴ προνόμιον, ἀλλ' ὅλως ἠμελῆσθαι καὶ ἀπερ-
ρῖφθαι καὶ οἱονεί τι φαῦλον τεχνύδριον ἀσυντελὲς παντελῶς πρὸς τὴν ἀνθρωπίνην ζωὴν
ἀδιατύπωτον οὕτω καὶ ἀδιάρθρωτον μένειν, ἐλεούμενον μᾶλλον ἢ θαυμαζόμενον, καὶ
θρήνου μᾶλλον ἢ ζήλου νομιζόμενον ἄξιον;

[8] *Ἀλλὰ ταῦτα μὲν ἄχρι νῦν, τὸ δ' ἐντεῦθεν ὁποῖον, αὐτὸ (φασί) δηλώσει* τὸ πρᾶγμα.*
ἡ γὰρ βασιλεία ἡμῶν, χρησιμωτάτην σφόδρα καὶ πρέπουσαν τοῖς χρόνοις αὐτῆς τὴν
εὐσεβῆ ταύτην πρᾶξιν λογισαμένη, καὶ ὅσον τῇ κοινῇ καταστάσει περιποιήσει | τὸ 284[2]
κέρδος καὶ πρὸς εὐδοξίαν ὁμοῦ καὶ πρὸς λυσιτέλειαν, καλῶς ἐννοήσασα, προθυμότερόν
τε κεκίνηται πρὸς τὴν νομικὴν ἐπιμέλειαν, καὶ τὸ ἐλλείπειν ἔτι δοκοῦν τῷ καλῷ τῆς
πολιτείας ῥυθμῷ παρ' ἑαυτῆς ἀποχρώντως ἀναπληροῖ, ἐξηγητὴν καὶ διδάσκαλον τοῖς

6 Exod 15, 3 6 Prov 3, 34 | 8 *δηλώσει* C[2], *δειλώσει* C[1]

*νόμοις παρασχομένη Ἰωάννην τὸν λογιώτατον ἰλλούστριον, κριτὴν ἐπὶ τοῦ ἱπποδρόμου
καὶ ἐξάκτωρα, τὸν Ξιφιλῖνον ἐπίκλην, ὃς οὐκ ἀφανῶς οὐδ' ἀσήμως οὐδ' ἀμυδρῶς
ἐπεδείξατο τὴν ἑαυτοῦ πολυμάθειαν, ἀλλὰ δημοσίᾳ καὶ φανερῶς ἐν αὐταῖς ταῖς τῶν
πραγμάτων πείραις ἐξέλαμψεν, ὁμοίως μὲν ταῖς τῆς λογιότητος, ὁμοίως δὲ καὶ ταῖς τῆς
τῶν νόμων εἰδήσεως τέχναις κεκοσμημένος, καὶ μηδὲν προτιμότερον μηδέποτε θέμενος
τῶν ἡμετέρων κελεύσεων.*

[9] *Οὗτος τοιγαροῦν ἤδη πρῶτος ἀγαθῇ καὶ μοίρᾳ καὶ κρίσει τῆς ἐκκρίτου τῶν νόμων
καὶ δεδοκιμασμένης ἄρξει διδασκαλίας, προεδρίᾳ τε τιμηθεὶς ἀξιολόγῳ καὶ ζηλωτῇ,
ἀφορμάς τε λαβὼν οὐ τὰς τυχούσας εἰς θεραπείαν ἐκ τῆς ἡμετέρας φιλοτιμίας, καὶ
διδα|σκαλείου τυχὼν οὐ μικροπρεποῦς οὐδὲ φαύλου, τοὐναντίον μὲν οὖν μεγα-* 285[1]
λοπρεπεστάτου καὶ διασήμου καὶ τοιούτῳ πράγματι πρέποντος. [10] *ἔσται γὰρ ἀπὸ τῆς
παρούσης μετὰ τῆς ἐξ οὐρανοῦ βοηθείας καὶ συνεργίας ἀνειμένον μὲν τοῖς νόμοις εἰς
παιδευτήριον τὸ κάλλιστον σχεδὸν καὶ τερπνότατον οἴκημα τοῦ εὐαγοῦς ἡμῶν οἴκου, ὃν
ἐπὶ κρείττοσιν ἐλπίσι κατασκευάσαντες, θεῷ τῷ πάντων ἡμῖν τῶν ἀγαθῶν δοτῆρι κα-
θιερώσαμεν, καὶ τὸν ἐν μάρτυσι περιώνυμον, τὸν καὶ κλήσει καὶ πράγματι τροπαιο-
φόρον Γεώργιον οἱονεί τινα μέγαν οἰκοδεσπότην αὐτῇ καὶ οἰκιστήν τε καὶ φύλακα
λαμπρῶς ἐπεστήσαμεν, ᾧ καὶ τὸν ἐκεῖσε θεῖον ναὸν οὐ τῆς μαρτυρικῆς χωρὶς (οἶμαι)
συνευδοκίας ἅμα καὶ ἀντιλήψεως ἐκ καινῆς ἀνηγείραμεν καὶ εἰς ἱερὸν φροντιστήριον
τὸν οἶκον κατεσκευάσαμεν· ἔσται τοιγαροῦν ὅπερ εἴρηται, τόπος μὲν ἀφωρισμένος ἐκεῖ
τοῖς ἐρῶσι τῆς τῶν νόμων μαθήσεως, ὃν αὐτοῖς τὸ ἡμέτερον ἐφιλοτιμήσατο κράτος, ἐν
ᾧ καὶ τὸν διδασκαλικὸν θρόνον ἵδρυσε*, καὶ τὸ ἀπὸ τοῦδε διδασκαλεῖον μὲν νόμων
τὸ εὐαγέστατον | οἴκημα κληθήσεται τοῦτο, νομοφύλαξ δὲ ὁ διδάσκαλος, οὐ μὲν* 285[2]
*οὖν ἁπλῶς οὐδ' ἀλόγως, ἀλλ' ὅτι νόμους διδάσκων, καὶ φυλάττειν ἔλαχε νόμους — τοῦτο
μὲν οἷς ἐνάξει τοὺς μαθητευομένους αὐτῷ πρὸς φυλακὴν καὶ συντήρησιν τῆς τῶν νόμων
βουλήσεως, σαφηνίζων πάντα καλῶς καὶ παραδιδοὺς ὡς οἷόν τε τὴν νομομάθειαν
ἄπταιστον, τοῦτο δ', ὅτι φυλάξει καὶ τὰς βίβλους τῶν νόμων, ἃς ἐκ τῆς ἐκεῖσε βιβλιο-
θήκης παρὰ τοῦ εὐλαβεστάτου βιβλιοφύλακος εἰς ἐλευθέραν λήψεται χρῆσιν καὶ πρὸς
τὸ δοκοῦν αὐτῷ μεταχειριεῖται, δηλαδὴ τὰς χρειωδεστέρας καὶ πρὸς τὴν διδασκαλίαν
τῶν νόμων χρησιμωτέρας· καὶ γὰρ δὴ καὶ τοῦτο λυσιτελῶς ᾠκονόμησε τὸ εὐσεβὲς ἡμῶν
κράτος, ἵν' οἴκοθεν ἔχοι τὰ τῆς τέχνης ὄργανα πάντα ὁ εἰς ταύτην ἀεὶ παρὰ τῆς βασι-
λείας προχειριζόμενος καὶ μὴ παρ' ἑτέρων ταῦτα δανείζοιτο μηδὲ πράγματα ἔχοι ἄλλοθεν
ἄλλο προσαιτεῖν καὶ συλλέγειν ἐφ' ἑκάστης ἀναγκαζόμενος, ἂν αὐτὸς τυχὸν τούτων
ἀποροίη διὰ πενίαν.*

[11] *Τοῦτον τοίνυν ἕξει τὸν τρόπον καὶ οὕτω καλούμενος ὁ νομοφύλαξ | δια-* 286[1]
*μενεῖ· τοιούτοις δὲ χρήσεται δικαίοις καὶ προνομίοις· ἐναριθμήσεται μὲν τοῖς μεγαλο-
δόξοις συγκλητικοῖς, ἕξει δὲ καὶ καθέδραν εὐθὺς μετὰ τὸν ἐπὶ τῶν κρίσεων, ᾧ καὶ πρὸς
τὸ ἡμέτερον κράτος συνεισελεύσεται καθ' ἃς κἀκεῖνος ἡμέρας, καὶ τῆς ἡμετέρας ὁμιλίας
καὶ ὄψεως ὡσαύτως ἀξιωθήσεται, ὡς κἀντεῦθεν ᾖ προθυμότερος, τῷ τῆς τιμῆς ὑπερέ-
χοντι διαφερόντως ἐναβρυνόμενος. καὶ ῥόγαν ἀνὰ πᾶν ἔτος λήψεται ἐξ ἡμετέρων χειρῶν
λίτρας τέσσαρας καὶ βλαττίον καὶ βαΐον, σιτηρεσίων δὲ χάριν ἕξει τάδε καὶ τάδε.*

10 *θρόνον ἵδρυσε* C[2], *ἵδρυσε θρόνον* C[1]

[12] Τοιοῦτον μὲν ἤδη τὸν περίδοξον νομοφύλακα ὥσπερ ἀνδριάντα καινὸν ἀπετελέσαμέν τε καὶ ἀπεξέσαμεν, οἰκτιρμοῖς ἀνεκφράστοις τῆς κυβερνώσης πάντα προνοίας, ἥτις τὸ θεσπέσιον τοῦτο καὶ μεγαλοπρεπὲς ἔργον ἤνεγκεν ἡμῖν εἰς ἐπίνοιαν καὶ πρᾶγμα τοσοῦτον ταῖς ἡμέραις ἐφύλαξε τοῦ κράτους ἡμῶν.

[13] Τηλικούτου τοίνυν βαθμοῦ καθ' ἡμετέραν μὲν ἐκλογήν, θειοτέραν δὲ νεῦσιν ἀξιωθεὶς ἐπιβῆναι, μεγαλοφυέστατε νομοφύλαξ, μηδαμῶς ἀγνώμων ὀφθῆναι περὶ τὴν
τοσαύτην χάριν ἀνάσχῃ, | μηδὲ τὰς ἡμετέρας ἐλπίδας ἐπὶ σοὶ ψευσθῆναι παρα- 286[2]
σκευάσῃς, ἀλλὰ πᾶσαν ἤδη σπουδήν, πᾶσαν προθυμίαν εἰσένεγκαι περὶ τὸ σαφῶς ὅτι μάλιστα καὶ σὺν ἀκριβείᾳ πολλῇ τὴν τῶν νόμων διάνοιαν ἀναπτύσσειν τοῖς νέοις, τοῦτο μόνον ἔργον ποιούμενος διηνεκὲς καὶ ἀΐδιον καὶ περὶ τοῦτο τὴν ὅλην ἀπαναλίσκων ζωήν, νύκτωρ μὲν μελετῶν τὰ πρὸς τὴν ἑρμηνείαν συντείνοντα, ἑρμηνεύων δὲ μεθ' ἡμέραν, καὶ καθ' ἑκάστην ἀόκνως τοῖς φοιτηταῖς ὁμιλῶν· ἐκείνων δῆλον ὅτι καὶ μόνων τῶν ἡμερῶν ὑμῖν ὑπεξῃρημένων, καθ' ἃς ἐστιν ἔθος καὶ τοῖς γραμματικοῖς σχολὴν ἄγειν.

[14] οὐ φυλοκρινήσεις δὲ τοὺς συντρέχοντας ἐπὶ τὴν τῶν νόμων ἀκρόασιν, οὐδὲ πλουτίνδην αὐτοῖς, ἀλλ' ἀριστίνδην, ὡς δεῖ, τὴν τῆς καθέδρας τάξιν ἀποκληρώσεις· καὶ ἀνεπιφθόνως μὲν πάντας εἰς τὴν διατριβὴν παραδέξῃ, ἀναργύρως δὲ πᾶσι καὶ ἀμισθὶ διαλέξῃ, καὶ καθαρὰν μὲν τὴν χεῖρα, καθαρὰν δὲ χρήσεις τὴν γλῶσσαν καὶ τὴν γνώμην τοῖς νόμοις, οἳ καὶ τοὺς τὰς ἄλλας ἀρχὰς διὰ λημμάτων καταρρυπαίνοντας οἵαις αὐστη-
ρί|αις μετέρχονται, οἶδας πάντως πρὸ πάντων, ὁ τῶν νόμων ἐξηγητής· πλὴν εἰ 287[1]
μήπου τις τούτων ἐξ εὐδαίμονος ὁρμώμενος οἴκου, εὐγενῶς τὸν διδάσκαλον φιλοφρονήσασθαι βούλοιτο· τότε γὰρ οὐχ ὅπως ἀπαγορεύομεν τὴν λῆψιν τοῦ διδομένου, ἀλλὰ δὴ καὶ προσεπαινοῦμεν, συνῳδὰ καὶ αὐτοὶ τοῖς εὐσεβέσι νόμοις φρονοῦντες, καὶ μισανθρωπίαν μὲν κρίνοντες τὴν καθ' ὅλου τοῦ παντὸς ἀποχήν, ἀπανθρωπίαν δὲ πάλιν τὴν ἁπλῶς τῶν πάντων παραδοχήν. [15] προνοήσῃ δὲ μάλιστα καὶ τῆς τῶν ἀκροατῶν εὐκοσμίας, καὶ σχῆμα τῇ σχολῇ περιθήσεις φροντιστηρίου σεμνοῦ, ἐπειδήπερ δεῖ τὸν παιδεύσεως ἀληθινῆς ὀρεγόμενον πρὸ τοῦ λόγου τὸν τρόπον καὶ τὸ ἦθος ἔχειν πεπαιδευμένον.

[16] Ἂν οὕτω ταῦτα ποιῇς, καὶ τοιοῦτον σαυτὸν ἐπὶ τῶν ἔργων ἡμῖν ἀποδεικνύειν σπουδάζῃς, αὐτός τε πρὸ πάντων, καὶ μετὰ σὲ καθ' ἑξῆς οἱ τὸν τοιοῦτον βαθμὸν εἰς τὸ μέλλον διαδεξόμενοι, τά τε ἄλλα χρηστὰ παρὰ τῆς βασιλείας ἡμῶν καὶ κατὰ σκοπὸν ὑμῖν ἀπαντήσει, καὶ τὸν μεγαλοπρεπῆ τοῦτον θρόνον, ὃν ἐφ' ἅπαξ πιστεύεσθε, διὰ βίου
κα|θέξετε, ἀναφαίρετόν τε καὶ ἀδιάδοχον, εἰ μή πού τις αὐτὸς ἑαυτὸν τῆς τηλι- 287[2]
καύτης ἀνάξιον ἀπελέγξοι τιμῆς, εἴτε ῥᾳθυμίαν νοσῶν εἴτε ἀμαθίαν, ἢ καὶ ἄλλως δύστροπος ὢν καὶ τῷ καλῷ χορῷ τούτῳ τῶν μαθητευομένων οὐκ εὔχρηστος· ὃ πάσῃ φυλακῇ φυλαττόμενος ὁ τὸν θρόνον τοῦτον ἀποσκοπῶν καὶ τὸν ὑπὲρ κεφαλῆς τρέμων κίνδυνον, ἂν φωραθῇ κακὸς ὢν ἢ παραβαίνειν ὅλως τολμῶν τῶν παρ' ἡμῶν τι διωρισμένων, μὴ ἄλλως τὸ πρᾶγμα κατὰ νοῦν λαμβανέτω μηδ' ἐπιχειρείτω παντάπασι τηλικούτου κύβου περιτροπῇ, εἰ μὴ τὰ κράτιστα πάντων ἑαυτῷ συγγινώσκει, καὶ νόμων μὲν ἐμπειρίαν μετ' ἐπιστήμης ἔχει πολλήν, ἑκατέραν δὲ γλῶσσαν σὺν ἀκριβείᾳ πάσῃ προΐεται — τὴν ἑλληνικὴν λέγω ταύτην καὶ τὴν ὅση ῥωμαϊκή —, καταθαρρεῖ δὲ κόπων ταλαιπωρίας καὶ ἀγρυπνιῶν κακουχίας, οἷς ἀνάγκη δουλεύειν τὸν τῆς τηλικαύτης τιμῆς

καὶ τοῦ ἐπαγγέλματος ἄξιον. καὶ μηδέ τις δριμεῖα καὶ δεινὴ κακοήθεια τοῖς ἐκείνου
σπλάγχνοις ὑποικουρῇ*, ἢ πᾶσι τρόποις ἐκεῖθεν | ὁ τοιοῦτος ἀπελαθήσεται, κἂν 288[1]
φθάσοι κατά τινα συναρπαγὴν προβληθείς, ἀντικαθισταμένου τῷ θρόνῳ τοῦ ἀξιολογω-
τέρου καὶ κρείττονος.

17 Ἀλλὰ ταῦτα μὲν οἷον διαμαρτυρία τις πρὸς τοὺς ὕστερον· οὐ μὴν ἀλλ' οὐχ
ἥκιστα καὶ τὸ κράτος ἡμῶν αὐτό τε παντοίως ἐπιμελήσεται τῆς τοῦ νομοφύλακος προ-
χειρίσεως, ἂν καὶ πάλιν τούτου δεήσοι, καὶ τοῖς μεθ' ἡμᾶς βασιλεῦσιν ἐπισκήπτει τὰ
παραπλήσια· μηδὲ γὰρ ἴδοι τι τοιοῦτον τολμώμενον ἐνταῦθα ὁ ἥλιος, οἷα κἂν τοῖς
ἄλλοις ἐνίοτε συμβαίνει μαθήμασιν, ὧν ἵνα μηδὲν εἴπω πλέον, οὐκ ἐπαινῶ τὰ πολλά.

18 τῶν παρ' ἐκείνοις τοίνυν πλημμελουμένων δι' ἀπροσεξίαν ἢ καὶ σκαιότητα οὐδὲν
παντελῶς ἐπὶ τοῦ θέματος τούτου κατ' οὐδένα χρόνον ἢ τρόπον ἀνεχόμεθα γίνεσθαι,
ἀλλ' ἐκεῖνον εἰς ταύτην τὴν προεδρίαν καλοῦμεν, ἐκεῖνον εἰς τὸ ὕψος τοῦ ζηλωτοῦ τούτου
θρόνου παραδεχόμεθα, τὸν αὐτόθι μὲν τὰ τῶν νόμων ἱκανῶς ἐξασκήσαντα, αὐτόθι δὲ
πεῖραν ἑαυτοῦ δεδωκότα καὶ τῶν ἑαυτοῦ πλείστῳ μέτρῳ διενεγκόντα συμφοιτητῶν με-
|γέθει τε φύσεως καὶ σπουδῆς εὐτονίᾳ, ἔτι δὲ καὶ γλώσσης εὐροίᾳ καὶ πολυμα- 288[2]
θείας περιουσίᾳ καὶ — τὸ μέγιστον πάντων — τρόπων χρηστότητι· συνελόντα δ' εἰπεῖν,
οἷος οὗτος ὁ πρῶτος παρ' ἡμῶν προβληθείς, ἐπί τε τοῖς ἄλλοις τὸ ἀνεπίληπτον ἔχων
καὶ τῆς τῶν λοιπῶν μαθημάτων οὐχ ἧττον ἢ τῆς τῶν νόμων εἰδήσεως ἐμπειρότατος
ὤν· βουλόμεθα γὰρ τοὺς ἱεροὺς ἡμῶν νόμους οἱονεὶ τισι λαμπροῖς δορυφόροις χρῆσθαι
τοῖς λόγοις, καὶ πανταχοῦ παρ' ἐκείνων ὡς βασιλεῖς τῶν ὅλων πραγμάτων ὑπερασπί-
ζεσθαί τε καὶ προπομπεύεσθαι εἰς τιμὴν ὁμοῦ καὶ ἀσφάλειαν πρὸς τοὺς ἐπηρεάζειν
αὐτοῖς ἐκ τῆς θρασυτάτης οὐκ ὀκνοῦντας σοφιστικῆς· οὐ γὰρ δὴ ῥητορικὴν φαίην ἂν
τὴν τὸ πιθανὸν ἀπιθάνως ἢ καὶ πιθανῶς τὸ ἀπίθανον κατασκευάζουσαν τέχνην.

19 Οἷον δὲ μικροῦ καὶ διέφυγεν ἡμᾶς παρελθόν! ἐπεὶ γὰρ ἅπαξ ἐμνήσθημεν συμβο-
λαιογράφων καὶ συνηγόρων, ἀναγκαῖον ᾠήθημεν καὶ τὸ κατ' ἐκείνους εὖ θέσθαι, ὡς
πανταχόθεν ἡμῖν ἄρτιον εἴη καὶ κατὰ μηδὲν ἐλλιπὲς τὸ περὶ τοὺς νόμους τοῦτο κοινω-
φελέστατον σπούδασμα.

20 Θε|σπίζομεν οὖν τὰ τοῖς παλαιοῖς διηγορευμένα νόμοις περὶ ἐκείνων, ἅπερ 289[1]
ἤδη σχεδὸν ἀντὶ μὴ γεγραμμένων νομίζεσθαι ἡ ἀχρησία πεποίηκε, τὴν ἰδίαν καὶ πάλιν ἔχειν
ἰσχύν, καὶ μὴ μόνον αὐτοὺς πάντα τρόπον ἐκπονεῖν καὶ μανθάνειν ἐπιμελῶς τὰ τῶν
νόμων παρὰ τῷ λογιωτάτῳ νομοφύλακι, ἀλλὰ μηδ' ἐντάττεσθαι πρότερον τοῖς τοιούτοις
συστήμασι, πρὶν ἂν οὗτος αὐτὸς ὁ διδάσκαλος αὐτοῖς ἐπιμαρτυρήσοι, καὶ τὴν ἐκείνων
ὑπόληψιν ἐπί τε τῇ τῶν νόμων μαθήσει καὶ τῇ λοιπῇ δεξιότητι — γλώττης ἅμα φωνῇ
καὶ χειρὸς γραφῇ — βεβαιώσοι.

21 Τὸν δὲ παρὰ τοῦτον τὸν τύπον ἑαυτὸν εἰς τοὺς συνηγόρους ἢ τοὺς καλουμένους
ταβουλλαρίους[sic] παρενείρειν τολμῶντα μηδὲν καθ' ἅπαξ κερδαίνειν ἐκ τῆς ἑαυτοῦ προ-
πετείας, ἀλλ' αὖθις ἐκεῖθεν ἐξωθεῖσθαι μετὰ σφοδρότητος, ὡς ἂν ἐκ τοῦ παθεῖν ἐπιγνῷ
μηκέτι τὴν εἰς δεῦρο κρατήσασαν ἐπ' αὐτοῖς ἀδιαφορίαν, ἀλλὰ τὴν ἀρχαιοτάτην ἐκείνην
ἀκρίβειαν τῶν νόμων ἐμπολιτευομένην ἄρτι τοῖς πράγμασι, μηδὲ δώρημα τύχης ἢ περι-

16 ὑποικουρεῖ codex

δρομῆς ἅρπαγμα, ἀλλ' ἔπαθλον | σπουδῆς καὶ φιλοπονίας τὰ τοιαῦτα νῦν μό- 289[2]
νοις τοῖς ἀξίοις προκείμενα.

22 Οὕτω τοίνυν ἡμῖν διανυσθὲν τὸ κατόρθωμα τῇ τοῦ κρείττονος χάριτι διαμείνοι
μέχρι παντὸς τὴν πολιτείαν σεμνῦνον, καὶ μηδεὶς αὐτὸ χρόνος, μὴ φθόνος τῶν κακῶν*
ἀποσβέσοι, ἀλλὰ διὰ τέλους ἐκλάμποι, σπουδαζόμενον ἀεὶ καὶ τιμώμενον ὑπὸ τῶν ἑξῆς
γενεῶν καὶ δικαιοσύνην ἀΐδιον ἐπιβραβεῦον τῷ βίῳ.

23 Ταῦτα καὶ πρὸς δόξαν θεοῦ καὶ πρὸς μνήμην ἀθάνατον τῆς ἡμῶν γαληνότητος
πέπρακταί τε καὶ γέγραπται, μέγα μέρος ἐσόμενα τῷ κόσμῳ τῆς εὐταξίας καὶ πολύ τι
καλλίω καὶ συμφωνοτέραν ἀπεργασόμενα τὴν ἁρμονίαν τοῦ πολιτεύματος. ταῦτα καὶ
ὑμεῖς παρ' ἡμῶν οἰκονομηθέντα δεξάμενοι ἐπὶ τιμῇ τε καὶ δόξῃ τῆς ὑμῶν ἡλικίας,
ὦ φιλομαθέστατοι νέοι, χάριτας μεγίστας ἀπόδοτε τῇ ἀνωτάτω θεότητι ἣ τοσαύτην
ὑμῶν τε καὶ τῶν μεθ' ὑμᾶς ἐσομένων ἔθετο πρόνοιαν· ἅπερ γὰρ ἐχαρίσθη τῶν πρὸ
ὑμῶν οὐδενί, ταῦτα νῦν φιλαγάθως ὑπὸ τῆς θείας χρηστότητος ὑμῖν ἐφιλοτιμήθη, ἵν'
ἔχοιτε κτᾶσθαι ῥᾳδίαν οὕτω καὶ ἄπονον τὴν πο|λυάσχολον καὶ δυσέφικτον τῶν 290[1]
νόμων παραδοχήν, καὶ κατειργασμένην ὥσπερ τροφὴν τὴν διδαχὴν ὑποδέχοισθε· οὐκέτι
γὰρ ὑμεῖς ὡς οἱ πρότερον αἰνίγμασι καὶ γρίφοις ἐντεύξεσθε γυμνοῖς ἐξηγήσεως (τοῖς
νομικοῖς λέγω ῥήμασιν), οὐδ' ὥσπερ χρησμῶν τινῶν λοξῶν ἐπακούσεσθε, ἄλλου χρη-
στηρίου δεομένων εἰς τὴν σαφήνειαν, οὐδὲ τῆς αὐτῶν διανοίας ἀμφιβόλως καταμαν-
τεύσεσθε, αὐτοὶ πρὸ τῶν ἄλλων ἑαυτοῖς ἀπιστοῦντες περὶ ὧν ἂν καὶ δόξοιτε καταλαβεῖν
ἐν ἐκείνοις, ἀλλ' εὐκρινεστάτῃ μὲν ἑρμηνείᾳ, πεπαρρησιασμένῃ δὲ γλώττῃ καὶ πανταχό-
θεν ἐχούσῃ τὸ ἀκριβές τε καὶ βέβαιον τοὺς σωτηριώδεις τῶν νόμων ἐπιγνώσεσθε λογι-
σμούς, καὶ πρὸς τοῖς τῶν ἀψύχων γράμμασι βίβλων ἔτι καὶ ζώσης ἀκούσεσθε τῶν νόμων
φωνῆς, ἣν ἡ γαληνότης ἡμῶν ἐξάκουστον τοῖς πᾶσιν ἠχοῦσαν ἐν μέσῳ προέθηκε, τὰς
παραθύρους μὲν ἀποκλείσασα, μίαν δὲ πλατεῖαν ἀνοίξασα καὶ βασιλικὴν ὑμῖν πύλην,
δι' ἧς ἀνεμποδίστως ὡς βούλεσθε, εἰσελεύσεσθέ τε καὶ ἐξελεύσεσθε καὶ νομὴν | ἐν 290[2]
νόμοις εὑρήσετε τὴν ὑμῖν ζητουμένην παρὰ τῇ πανσέπτῳ ταύτῃ καὶ θείᾳ τοῦ τροπαιο-
φόρου μονῇ· ᾗτινι καὶ χάριτας εἴσεσθε δικαίως πολλάς, καὶ ὡς μητρὶ καὶ τροφῷ τῆς
ὑμετέρας παιδεύσεως ἀποδώσετε πρέπουσαν αἰδῶ καὶ τιμήν, καὶ τοὺς ἀγαθοὺς καὶ
εὐγνώμονας μιμήσεσθε γεωργούς, οἵ τὴν τρέφουσαν γῆν φιλοκαλίας δι' ὅλου παντοδαπῆς
ἀξιοῦσι, καὶ οὐχ ἅπαξ δρεψάμενοι τοὺς ταύτης καρπούς, ἀκανθοφορεῖν μετὰ* ταῦτα καὶ
ὑλομανεῖν καταλείπουσιν, ἀλλ' ὅπως εὔχρηστος ἔσται διηνεκῶς καὶ τοὺς ἴσους καρποὺς
ἀποδιδοῦσα διαμενεῖ αὐτοῖς τε ἐκείνοις καὶ τοῖς μετ' αὐτοὺς εἰς ἀεὶ καρπωσομένοις αὐτήν,
ἐπιμελὲς ἔργον τίθενται· τὸν ἴσον οὖν τρόπον καὶ ὑμεῖς, ὦ γενναῖοι, τὴν φιλόστοργον
ὄντως τιθηνὸν ὑμῶν ταύτην καὶ τῆς πάνυ βελτίονος τροφῆς χορηγὸν εἰκότως ἂν διὰ βίου
στέργοντες ἔσοισθε, καὶ καλὰ μὲν ταύτῃ τροφεῖα, καλὰ δὲ σπουδάζοιτε παρέχειν τὰ δι-
δασκάλια, ἔργοις πᾶσι καὶ λόγοις τὴν διαμονὴν αὐτῇ καὶ τὴν σύστασιν, ναὶ μὴν καὶ τὴν
εἰς τὸ κρεῖττον ἐπίδοσιν φιλοπόνως | πραγματευόμενοι, καὶ ὡς πιστοὶ ταύτης τρό- 291[1]
φιμοι πανταχοῦ πρὸς αὐτὴν γνησιώτερον διακείμενοι, ὡς ἂν ταῖς ἐξ ὑμῶν συγκροτήσεσι
τοιαῦτα καὶ κρείττω εἰς τὸν ἅπαντα χρόνον ἔχοι καρποφορεῖν, εὐμενὲς ἐφορώντων ἐπ'
αὐτὴν ἄνωθεν τῶν ὀφθαλμῶν τοῦ θεοῦ. 24 ἀλλὰ τοῦτο μὲν σφόδρα καὶ θαρρεῖν

22 καλῶν apographum | 23 in μετὰ α ex ἀ per ras[uram] factum C *Studemund*

*καὶ ἐλπίζειν παρ' ὑμῶν ἔχομεν ἐν παντὶ τῷ μετὰ ταῦτα καιρῷ, εἴπερ τι βούλοισθε ποιεῖν
δεξιὸν καὶ θεῷ καὶ ἀνθρώποις εὐαπόδεκτον καὶ εὐάρεστον· τὰ δὲ νῦν τηλικαύτης παρ'
ἐλπίδας ὑμῖν εὐτυχίας ἀναφανείσης, ὄκνον ἀποθέμενοι πάντα καὶ μηκέτι πρὸς τὴν τοῦ
πράγματος ἰλιγγιῶντες δυσχέρειαν μηδ' ὡς ἀκατόρθωτον ὅλως ἢ δυσκατόρθωτον τὸ θει-
ότατόν τε καὶ μέγιστον ἀπογινώσκοντες μάθημα, σώφρονί τινι κατοχῇ καὶ μανίᾳ (κατὰ
τοὺς ὑμῶν σοφοὺς φάναι) πρὸς τοῦτο κατεχόμενοι φέρεσθε, καὶ τῶν ἀτοπωτάτων λογίσασθε,
τοὺς μὲν πάλαι τῶν νέων φιλοπόνους καὶ φιλονόμους ἀποδημίας τε στέλλεσθαι τούτου
χάριν μακράς, καὶ τοὺς μὲν εἰς τὴν πρεσβυτέραν Ῥώμην ἀπαίρειν κατ' ἔρωτα νόμων
ῥωμαϊκῶν ἀκροάσεως, τοὺς δὲ τῇ Βηρυτίων ἐπι|δημεῖν, ἔνθα νόμους διδά-* 291[2]
*σκοντες οἱ τῶν νομικῶν ἀνδρῶν ἐξοχώτατοι ἐν τοῖς ἄνω χρόνοις ἠκούοντο, ὑμᾶς δὲ μηδ'
οἴκοι τὸ καλὸν ἔχοντας ἀπολαύειν ἐθέλειν ὑπὸ τινὸς κακίστης ἀβελτερίας* (τί γὰρ ἄν τις
ἕτερον αἰτιάσαιτο;), ἀλλὰ πάσχειν ἐκεῖνο τὸ μυθικὸν καὶ ὑμέτερον, ἐν μέσῃ πηγῇ χα-
λεπῷ κολάζεσθαι δίψει.* [25] *μηδαμῶς οὖν μηκέτι τὸν καιρὸν τῆς ἀκμῆς ἐν τοῖς ἧττον
χρησίμοις ἢ καὶ παντάπασιν ἀργῶς καὶ ῥαθύμως ἀναλίσκειν ἀνέχεσθε, ἀλλὰ τὴν καλὴν
πρὸς ἀλλήλους ἔριν ἐρίζετε, καὶ περὶ τῆς ἐν νόμοις εὐδοκιμήσεως τὸν πολὺν ἀγῶνα
ποιεῖσθε, μέγιστον εἰδότες τὸ ἔπαθλον, καὶ καλὴν ὅτι μάλιστα τὴν ἀμοιβὴν ἐκδεχόμενοι.
εἰ γὰρ δὴ σπουδαιότερον ἀντέχοισθε τοῦ μαθήματος, καὶ πρὸς τὴν τούτου κατόρθωσιν
ὅλους ἑαυτοὺς ἐπιτείνοιτε, ὑπὸ χρηστῶν ἡμῖν τῶν ἐλπίδων θάλπεσθέ τε καὶ τρέφεσθε,
ὡς οὐκ εἰς κενὸν οὐδ' εἰς μάτην τὰ τῆς σπουδῆς ὑμῖν ἔσται, ἀλλ' αὐτοί τε τὸν βίον
εὐκλεέστερον ζήσεσθε, καὶ πολλῶν μερῶν ἄρξετε τῆς ἡμετέρας ἡγεμονίας· δῆλον γὰρ ὡς
τοὺς ὄνομα καὶ δόξαν λαμπρὰν ἐπὶ νομομαθείᾳ λαβόντας καὶ ἡ βασιλεία | ἡμῶν* 292[1]
*καὶ οἱ μεθ' ἡμᾶς ἀεὶ βασιλεύσοντες προκρινοῦμεν τῶν ἄλλων ἐν ταῖς διανομαῖς τῶν
ἀρχῶν, καὶ ἀντίδοσιν πρέπουσαν ὑμῖν ἀντιδώσομεν τῆς ἀγαθῆς προαιρέσεως.* [26] *ὡς
πρὸς τοιοῦτον οὖν τρέχοντες βραβεῖον καὶ τέλος, ἰσχύετε καὶ ἀνδρίζεσθε, καὶ ταῖς καλ-
λίσταις τῶν πράξεων τὴν πατρίδα κατακοσμεῖτε. ἐπεύχεται δὲ πᾶσιν ὑμῖν — διδασκάλοις
ἅμα καὶ μαθηταῖς — πᾶν ὅ,τι κράτιστον τὸ κράτος ἡμῶν, πατρικοῖς κινούμενον σπλάγ-
χνοις καὶ τὴν ὑμετέραν διψῶν ἐν τοῖς καλοῖς εὐδοκίμησιν.*

[27] *Λάβοι τοιγαροῦν πέρας αἴσιον τὰ τῆς ἡμετέρας εὐχῆς, ὦ φιλάγαθε πρόνοια καὶ μοι φίλτατοι παῖδες, ἄχρις ἂν οὐρανός τε διαμένοι καὶ γῆ, καὶ ὁ θαυμαστὸς ὑμῶν οὗτος συντηροῖτο χορὸς πληθυνόμενος ἀεὶ καὶ μεγαλυνόμενος, καὶ μηδεὶς ὑμῶν ἀτελής, μηδεὶς ἄχρηστος ἐκβαίη μηδ' ἀκλεής, ἀλλὰ γένοισθε πάντες ὁπόσοι τὸ καλὸν τοῦτο στάδιον τρέχειν φιλοτιμεῖσθε, ζηλωτοὶ καὶ περίβλεπτοι στεφανῖται καὶ νικηταί, γονεῦσι μὲν δόξα, συγγενέσι δὲ καύχημα, τῇ βασιλείᾳ κόσμος, τῷ κοινῷ σωτηρία, καὶ μεγίστη τις εὔκλεια τοῖς τῶν ἀξιωμάτων βαθμοῖς, οἷς ἐμπρέπειν ὑμᾶς διὰ παντὸς ἐξαιτούμεθα παρὰ τοῦ τῆς δόξης θεοῦ, παρ' οὗ καὶ ταῦτα πιστεύομεν καὶ πᾶσαν ἑτέραν ἀγαθῶν ἀφθονίαν δαψιλῶς καὶ πλουσίως ἐπιχορηγεῖσθαι ὑμῖν οἰκτιρμοῖς τε καὶ χάριτι τῆς αὐτοῦ ἀγαθότητος.*

188. *Σάββατον τῆς μεσονηστίμου. Τοῦ αὐτοῦ* εἰς τὴν μνήμην τῆς ὁσίας μητρὸς ἡμῶν Εὐσεβίας τῆς ἐν τοῖς Εὐχαΐτοις.*

24 *ἀβελτηρίας* apogr | o Studemundius dubitare se monet utrum *του αυτου* ante *σαββατον* positum voluerit librarius an post *μεσονηστιμου*

[1] *Περὶ ταύτης γε μέντοι, περὶ ταύτης τῆς φιλομάρτυρος ἔγνωμεν οὐδέν τι σαφές.
ἀλλ' ὅτι μὲν Εὐσεβία τὴν κλῆσιν ἡ μακαρία καὶ ὡς φερωνύμως οὐκ ἄλλως (εὐσεβεστάτη
γὰρ γυναικῶν) αὐτό τε τοῦτο τὸ ταύτης ἰδιαίτατον γνώρισμα ἡ περὶ τοὺς ἀθλητάς τε
καὶ μάρτυρας σπουδὴ καὶ τιμὴ — ταῦτα παρὰ πᾶσιν ἁπλῶς συνωμολόγηται καὶ διατε-
θρύληται καὶ πολλὰς πανταχόθεν ἔχει τὰς ἀποδείξεις· τίς δὲ καὶ πόθεν τὴν ἀρχὴν
γενομένη καὶ τίνων φῦσα πατέρων ἢ ποίας ὁρμηθεῖσα πατρίδος τοῖς καθ' ἡμᾶς τούτοις
τόποις ἐπεχωρίασε, καὶ ποταπὸς ὁ τρόπος καὶ λόγος, τὴν ἐντελῆ διέφυγε γνῶσιν, καὶ
οὐδὲν ὅ,τι τούτων τοῖς περὶ αὐτῆς ὁπωσοῦν τι σημηναμένοις ἠκρίβωται, ἐξ ὧν ἡμεῖς
ὅ|μως οἱονεί τινας σκιὰς ἀμυδρὰς τὰ κατ' αὐτὴν σποράδην ἀναλεξάμενοι, οὐ* 293[1]
*θαυμαστὸν εἰ μὴ πάντη τὴν ἐμφέρειαν ἀποσῴσομεν τῇ τῆς ὁσίας εἰκόνι μηδ' εἰς τὴν
ἄγαν ἀκρίβειαν τὸ ἔργον ἐξοίσομεν, ἀλλ' ἀγαπητὸν τάχα μᾶλλον, εἰ καὶ μετρίως εἰκά-
σομεν, ἐξ οὕτως ἐξιτήλων χρωμάτων γράφειν ὁρμήσαντες. ἀλλὰ τίς ἡ γραφή; καί μοι
πρὶν ἢ παύσομαι λέγων, προσεκτέον ἤδη τὸν νοῦν· ὡς τάχος γὰρ ὁ λόγος δραμεῖται
καὶ συνοπτικὴν ὡς οἷόν τε τὴν διήγησιν ἀνατάξεται.*

[2] *Αὕτη βασιλικοῦ μὲν ἔφυ γένους καὶ πρώτου, βασιλικωτάτης δὲ πόλεως καὶ πρώτης
ἐν πόλεσι· Ῥώμη γὰρ αὐτὴν ἤνεγκε, Ῥώμη λέγω, τὸ μέγα καὶ ἀοίδιμον ὄνομα, ἡ κατὰ
πάσης γῆς καὶ θαλάσσης τὴν δυναστείαν ἐκτείνασα· βασιλεῖς δὲ κοινωνὸν εἶχον αἵματος
βαβαῖ πηλίκοι καὶ τίνες; Μαξιμιανὸς καὶ Μαξιμῖνος οἱ φοβερώτατοι οὐ μᾶλλον βαρ-
βάροις ἀλλοφύλοις καὶ πολεμίοις ἢ τοῖς ὑπὸ χεῖρα χριστιανοῖς, ὧν εἰς ἔτι καὶ νῦν ἡ
κατὰ τῶν εὐσεβούντων μανία καὶ τὰ δεινὰ κολαστήρια φρίκην ἐμποιεῖ τοῖς ἀκούουσιν,
ἐν ἱστορίαις λόγων μνημονευόμενα. | ἀλλὰ τὴν γενναίαν ἐκείνην τούτων κατέ-* 293[2]
*πληξεν οὐδὲν οὐδ' ἐπτόησεν οὐδὲ τοῦ πρὸς Χριστὸν ὑφεῖναί τι φίλτρου παρέπεισεν, ὃν
θεὸν ἄρα μόνον ἐκ πατέρων σέβειν μαθοῦσα σὺν πατρί τε καὶ πνεύματι, καὶ τὸν καλὸν
τοῦτον κλῆρον εὐτυχῶς ἐκεῖθεν κληρονομήσασα μετὰ πλείστης ὅσης χρημάτων καὶ κτη-
μάτων περιουσίας, τοσοῦτον ἀπέσχεν ἢ τῇ περὶ ταῦτα φειδοῖ ἢ κολάσεως φόβῳ γυναι-
κεῖον παθεῖν τι ἢ καὶ ὅλως ἀνθρώπινον καὶ προέσθαι τὴν θεοσέβειαν, ὥστε καὶ τοὺς
ἀντιβαίνειν τότε θαρροῦντας τῇ τοῦ καιροῦ χαλεπότητι καὶ πάντα προθύμως πάσχοντας
μᾶλλον ἢ προδοῦναι τὸ σέβας ἀνεχομένους ὑπὸ ταύτης ἀλείφεσθαι καὶ παρορμᾶσθαι
πρὸς τοὺς ἀγῶνας· αὕτη γάρ, αὕτη μάλιστα, τοῖς μεγάλοις ἐκείνοις τῆς ἀληθείας προ-
μάχοις αἰτιωτάτη λέγεται καταστῆναι τῆς περὶ τὰ δεινὰ καρτερίας ἔκ τε τοῦ προδήλου
καὶ λεληθότως, δι' ἑαυτῆς, εἰ παρῆν, καὶ δι' ἑτέρων, εἰ μή, ἔργοις ἅμα καὶ λόγοις — πᾶσι
τρόποις ἁπλῶς — διανιστῶσα τούτοις τὸ φρόνημα καὶ τὴν προθυμίαν ἐκκαίουσα καὶ τὴν
ὁρμὴν ἐπιτείνουσα, κἄν του χρῄζοντας αἴσθοιτο κἄν που κάμνον|τας ἴδοι, πᾶσαν* 294[1]
*αὐτίκα θεραπείαν προσάγουσα, πᾶσαν χρείαν ἀποπληροῦσα, μηδενὸς φειδομένη, μὴ
λόγου, μὴ πόνου, μὴ φροντίδος, μὴ δαπανήματος· καὶ ὅλως διὰ πάντων ἀμάχους καὶ
ἀηττήτους παρασκευάζουσα.* [3] *ἃ σὺν οὐδενὶ δρῶσα δέει, ἀλλ' εὐγενῶς (ὡς αὐτῇ πρέπον
ἦν) καὶ ἐλευθερίως, οὐκ ἔμελλεν εἰς τέλος λαθεῖν οὐδ' ἀγνοηθῆναι παντάπασι τηλικοῦτον
ἔργον τολμῶσα καὶ οὕτως ἐκθύμως καὶ φιλοπόνως πρὸς τὸ συγγενὲς καὶ βασίλειον ἀντι-
πράττουσα κράτος.* [4] *ἐπεὶ δ' οὖν οὐκ ἔλαθεν, ἐνταῦθα σὸν ἔργον, βασιλεῦ βασιλέων*,
καὶ τῆς σῆς εὐμηχάνου καὶ παντοδυνάμου δυνάμεως, ἣ καὶ λέοντας οἶδε χαλινοῦν παρα-*

4 Timoth α 6, 15

δόξως καὶ γαστέρα καταργεῖν κήτους, ἵν' ἐκεῖθεν ῥυσθῶσιν ἀβλαβεῖς δίκαιοι, ἥτις ἄρα καὶ τότε θηριώδειαν* τυραννικὴν ὑπὲρ πᾶσαν πίστιν ἐξετιθάσευσε, καὶ τὸ αἱμοχαρὲς ἐκεῖνο καὶ φόνιον αἰδοῖ τινὶ κατεῖρξε πρὸς τὴν ὁσίαν, ὑπερβάλλον ἀρετῆς μέγεθος τοὺς πρὸς ἅπαν τοιοῦτον ἀδυσωπήτους ἐκείνους δυσωπηθῆναι τερατουργήσασα, ἄλλως τε καὶ ὅτι μητρὸς ἀπεπλήρου τηνικάδε τάξιν αὐτοῖς, αὐτὴ καὶ | τροφὸς ἀμφοτέροις καὶ 294[2]
παιδαγωγὸς χρηματίσασα. ὅθεν πᾶσαν κινήσαντες πειθοῦς μηχανὴν καὶ παντοδαποὶ πρὸς τὸ θέλξαι καὶ μεταπεῖσαι γενόμενοι, ἐπεὶ περαίνειν εἶχον οὐδέν, βιάσασθαι μὲν οὐ θεμιτὸν ἔκριναν, ἀπελάσαι δὲ πόρρω* καὶ μεταστῆσαι δεῖν ὡς τάχος ᾠήθησαν, τοῦτο ἐπ' αὐτῇ φιλανθρωπευσάμενοι μόνον, τὴν τῶν βασάνων συγχώρησιν, ὅπερ ἄλλῳ τῶν πάντων οὐδενὶ δοκοῦσι χαρίσασθαι. [5] παρ' αὐτίκα τοίνυν διάταγμα καὶ γράμμα τῆς ἐξορίας, καὶ ἡ κατάκριτος ἔφθανε τοὺς ἀπάγειν προστεταγμένους, πρὸς τὰ ἔσχατα μᾶλλον ἐπειγομένη τῆς γῆς, κἂν μέχρις ἐκείνων αὐτῇ τὰ τῆς φυγῆς ὥριστο, ἢ ἐν σκηνώμασιν ἁμαρτωλῶν καὶ τυραννείοις, οὐ βασιλείοις, οἰκεῖν ἀποδεχομένη, εἰ καὶ τοῖς κρατοῦσιν εἶχε τὸ κράτος συνδιέπειν* καὶ συμμερίζεσθαι.

[6] Αὕτη μὲν ἡ αἰτία τῇ γενναίᾳ τῆς φυγαδείας, οὗτος δὲ καὶ ὁ τόπος τῇ φυγάδι φυγαδευτήριον, κατὰ θείαν τάχα που πρόνοιαν ἐπὶ σωτηρίᾳ προδήλῳ τῶν οἰκητόρων καὶ τῆς περιχώρου πάσης εὐεργεσίᾳ· διὰ ταύτης γὰρ ὁ τῇδε λαὸς ἐν ἀγνοίας σκότει καθήμε|νος, φῶς εἶδε μέγα τῆς ἐπιγνώσεως*, ἐπεὶ καὶ αὕτη καθ' ἅπερ εἰς ἀπο- 295[1]
στολὴν ἐκπεμφθεῖσα, κατὰ τὴν Μαγδαληνὴν ἐκείνην τὴν πάνυ τὴν μυροφόρον εὐαγγελίστρια γίνεται λαμπρὰ τοῖς ἐνθάδε, παρρησίᾳ τε πανταχοῦ τὸ τῆς εὐσεβείας κήρυγμα διαγγέλλουσα καὶ τῆς πάλαι καλλίστης ἐργασίας ἐκείνης (τῆς περὶ τοὺς μάρτυρας λέγω φιλοτίμου κηδεμονίας), δι' ἣν καὶ τηλικαύτης πατρίδος καὶ δόξης τοσαύτης ἐκπεσεῖν ἡ μεγαλόφρων ὑπέμεινεν, οὐκ ἀφισταμένη τὸ σύμπαν, οὐκ ἐνδιδοῦσα, οὐκ ἀνεῖσα καθ' ὅλου τὴν πυρὶ προσεοικυῖαν περὶ τὰ τοιαῦτα θερμότητα.

[7] Τί δεῖ τἆλλα τῶν ταύτης κατορθωμάτων ἢ συλλέγειν ἢ καταλέγειν, καὶ διὰ κενῆς ἔχειν πράγματα περί τε τὴν μάθησιν τοῦ καθ' ἕκαστον καὶ περὶ τὴν δίδαξιν κάμνοντα; οἴκοθεν ὁ μάρτυς, φασί· προσθήσω δ' ὅτι καὶ οἴκοι καὶ ἀφ' ἑστίας ἐνὸν ἐκπληρωθῆναι τὸ δέον, οὐκ ἀνάγκη τὰ θύραθεν ζητεῖν καὶ μεταδιώκειν. [8] τίς γὰρ οὐκ οἶδε τὸν ἡμέτερον τοῦτον ἡγεμόνα καὶ κηδεμόνα, τὸν πάντων μαρτύρων ἐξοχώτατόν τε καὶ γνωριμώτατον, τὸ μέγα παρὰ πᾶσι καὶ διαβόητον ὄνομα, τὸ θαῦμα τὸ κα|τέχον τὴν 295[2]
οἰκουμένην καὶ ὑπὲρ τὰς νεφέλας αἰρόμενον τῷ μεγέθει τῆς δόξης, οὗ πολλὰ καὶ μεγάλα τὰ κατὰ βαρβάρων νεανιεύματα, πλείω δὲ καὶ λαμπρότερα τὰ κατὰ δαιμόνων ἀνδραγαθήματα, οἳ καὶ πᾶσαν ἑτέραν χώραν τὸ τηνικάδε, τὴν καθ' ἡμᾶς δὲ μάλιστα τήνδε κνίσαις καὶ σπονδαῖς κατεμίαινον, πρὸς οὓς ὁ γεννάδας ἤδη χωρῶν καὶ κατὰ τῆς ἀσεβείας ὅλος φερόμενος, κἀντεῦθεν οὐχ ἥκιστα τὴν ὁρμὴν ἐπερρώσθη, συμβαλὼν νεύσει κρείττονι ταύτῃ τῇ μακαρίᾳ, καὶ τὰς ψυχὰς ἀμφότεροι πρὸς ἀλλήλους τοῖς ἀλύτοις τοῦ πνεύματος δεσμοῖς συνδεθέντες, μάλιστα μέν, ὅτι τὸ σέβας ὁμόφρονες καὶ τῆς ἴσης ἐχόμενοι περὶ τὰ καλὰ προαιρέσεως — τῷ γὰρ ὁμοίῳ (φασί) τὸ ὅμοιον —, εἶτα μέντοι καὶ διὰ πρᾶξιν κοινωφελῆ καὶ σωτήριον, ἧς οὐδεὶς ἐν ἀνθρώποις ἀμαθὴς οὐδ' ἀνήκοος καὶ πολλῷ γε μᾶλλον ὑμεῖς, ὑπὲρ ὧν καὶ παρ' οἷς τὸ περιβόητον ἔργον ἐκεῖνο καὶ πολυ-

4 θηριωδίαν codex | 4 πόρρωι codex | 5 συνδιέπτειν codex | 6 Isa 9, 2

θρύλητον, τὸ τῇδε λέγω τοῦ μάρτυρος ἀρίστευμα καὶ κατόρθωμα, δι' οὗ τὸ φίλον ὑμεῖς
καὶ πατρῷον ἔδαφος [sic] τοῦτο ἐξ ἐρημίας ἀβάτου* πολυανδροῦσαν ἔχετε πόλιν, | λύμης 296[1]
ὀλεθρίου θηρίου καὶ κακῶν ἀνηκέστων καὶ πολυτρόπων ἀπηλλαγμένον. [9] ὃ προοίμιον
θέμενος ὁ ἀθλητὴς τῆς ἀθλήσεως καὶ ἅμα μὲν ἐν τούτῳ πειρώμενος οἷον τέλος αὐτῷ
τὰ τῶν ὑπὲρ εὐσεβείας ἕξει κινδύνων, ἅμα δὲ καὶ νόμους φιλίας καὶ ξενίας τιμῶν (καὶ
γὰρ ἐχρῆτο φίλῃ καὶ ξένῃ διὰ τῆσδε πολλάκις παροδεύων τῇ θαυμασίᾳ) κρεῖττον ἢ κατ'
ἐλπίδα τοῦ σκοποῦ κατευστόχησε, καὶ δι' ἑνὸς κατορθώματος ἑαυτὸν μὲν θάρσους ἀρρήτου
περὶ τὰ προκείμενα ἔπλησε, τὸ δὲ χωρίον ἐλεύθερον ἀμάχου δεινοῦ καὶ καθαρὸν ἀπέ-
δωκε τῇ δεσποίνῃ· ἦν γὰρ ἤδη καὶ τοῦτο μετὰ πλειόνων ἑτέρων κατὰ τὴν χώραν κτη-
μάτων ἐκ βασιλικῆς χειρὸς φιλοτιμηθεῖσα, μᾶλλον δὲ τῶν οἴκοι καὶ πατρικῶν — ὅσων
ὄντων καὶ οἵων — τὰ ὁποιαδήποτε ταῦτα ἐπὶ τῆς ἀλλοδαπῆς ἀναγκαίως ἀντιλαβοῦσα·
ἔνιοι δέ φασι πατρόθεν μᾶλλον καὶ τοῦτο περιελθεῖν αὐτῇ κλῆρον, ἄχρι δῆλον ὅτι καὶ
τοῦδε τῆς κτήσεως αὐτοῖς ἐκταθείσης, οἷα τὰ τῶν πολυκτημόνων καὶ βαθυπλούτων, οἷς
ἓν οὐδέν ἐστι μέρος γῆς ἱκανὸν τὴν τῆς φιλοκτημοσύνης νόσον ἐκθεραπεῦσαι, ἂν μὴ πάντα
| συλλάβωσιν. ἀμέλει. διὰ τοῦτό φασι καὶ τὴν ἐνταῦθα μετάστασιν ἀποκληρῶσαι τῇ 296[2]
γενναίᾳ τὸ πρόσταγμα, ὡς μηδὲν ὑβριστικὸν μηδὲ ἄτιμον τὸ γινόμενον ἔχοι, ἀλλ' εὐ-
πρεπῆ φέροι πρόφασιν, τὴν ὡς πρὸς οἰκείους δῆθεν ἀγροὺς τῆς κεκτημένης μετάβασιν.
ὁ μὲν οὖν λόγος οὕτω διττός, τὸ δ' ἀρέσκον μᾶλλον νικάτω*. [10] πλὴν ἀλλ' ὑπὸ ταύτης
ὁ μέγας ἀριστεὺς ἐκεῖνος καὶ νικητὴς ἐπὶ πλέον τὸν ζῆλον ἀναφλεχθείς, ὃ προείρηται,
καὶ προσλαβὼν (τὸ τοῦ λόγου) πῦρ ἐπὶ πῦρ (ἦν γάρ, ἦν, οἴκοθεν καὶ αὐτὸς μάλα σπεύ-
δων καὶ τοῦ παρορμῶντος ἧττον δεόμενος), τοὺς ὑπερφυεῖς ἐκείνους διήθλησε καὶ κατώρ-
θωσεν ἄθλους καὶ τὰ λαμπρὰ καὶ μεγάλα κατὰ τῶν μισοχρίστων ἔστησε τρόπαια, ἐξ
ὧν τηλικαύτης ἠξίωται τιμῆς τε καὶ δόξης ὅσην λόγος ἀνθρώπινος ἀδυνατεῖ παραστῆσαι.
[11] οὕτως ἡ φιλόχριστος αὕτη καὶ φιλόμαρτυς τῆς μαρτυρικῆς φιλίας ἀπώνατο, ἐκ
μισουμένου τε καὶ φευκτοῦ προσφιλὲς τὸ ἑαυτῆς καὶ ποθούμενον παρ' ἐκείνης ἀπολα-
βοῦσα. οὕτω δὲ καὶ ὁ μάρτυς τῆς ἐντεῦθεν ἀπήλαυσε [sic], καὶ συμβουλῆς ἀρίστης τὰ πρῶτα
πρὸς ὑπεροψίαν θανάτου καὶ | τιμῆς ἐξαισίας μετὰ τὸν θάνατον ὕστερον· αὕτη 297[1]
γάρ ἐστιν ἡ πάντων τῶν ἄλλων ὅσοις φίλοις ἐχρῆτο παρὰ πάντα τὸν βίον ὁ στεφανίτης,
εὐλαβείᾳ καὶ φόβῳ τότε κατεσχημένων καὶ μηδὲν φροντίσαι περὶ ταφῆς ἢ κηδείας τοῦ
μαρτυρικοῦ λειψάνου δεδυνημένων, μόνη προσελθεῖν ὑπομείνασα τοῖς κολασταῖς ἐκείνοις
καὶ ἀνδροφόνοις καὶ τὴν πολυκερδεστάτην τῷ ὄντι πραγματείαν ποιησαμένη, δι' ἧς τὸ
πολύαθλον ἐκεῖνο σῶμα καὶ νικηφόρον ὤνιον χρημάτων (ὡς λόγος) ὑπεραπείρων, ἔτι
δὲ κτημάτων πολυτιμήτων εἰς ταφὴν ἡμῖν ἐκομίσθη, ψαλμοῖς (ὡς ἔδει) καὶ ὕμνοις ὑπὸ
λαμπάσιν ὅσων οὐκ ἄν τις ἀριθμὸν εἰπεῖν ἔσχεν, ἐν ἀρώμασι καὶ μύροις πολυτελέσι
προπεμπόμενον δεῦρο παρ' ὅλην τὴν ὁδὸν καὶ δορυφορούμενον, ἕως ὁ ἱερὸς οὗτος τόπος
τὸ ἱερὸν ὑπεδέξατο, καὶ ὁ θησαυρὸς ὁ πολύολβος οὗ προσῆκον, ἐθησαυρίσθη· ἀφ' οὗ
μικροῦ δεῖν πάσῃ πόλει τε καὶ χώρᾳ διενεμήθη, ἵνα μηδὲν οἰκούμενον μέρος γῆς ἢ
θαλάσσης τῆς μαρτυρικῆς εὐλογίας ἀμοιρήσῃ καὶ χάριτος, ὥστε καὶ τῶν ἐντεῦθεν ποι-
κίλων καὶ παντοδαπῶν εὐεργετημάτων, | οἷς ἡμεῖς τε διαφερόντως οἱ πρῶτοι 297[2]
καὶ μάλιστα τὸ μέγα χρῆμα τοῦτο πλουτήσαντες, καὶ ὅσοις ἄλλοις ὑπῆρξε μετασχεῖν τε

8 Aeschylus Prometh 2 | 9 νικατῳ codex

καὶ μετέχειν τῆς εὐποιΐας, αὕτη παρὰ πάντων δικαία τὰς ἀμοιβὰς ἀποφέρεσθαι, εἴπερ
μέλλοιμεν εὔγνωμον ποιεῖν τι καὶ δίκαιον.

[12] Τοιαύτην Εὐσεβίαν ἡμῖν τὴν εὐσεβεστάτην τῷ ὄντι καὶ σεμνοτάτην ἡ κατ' αὐτὴν
παρέδωκεν ἱστορία· ταῦτα τὰ τῶν ἄλλων ἐξαίρετα τῶν ἐπ' αὐτῇ γεγραμμένων ἢ καὶ
λεγομένων ἄλλως πλεονεκτήματα, καίτοι γε κἀκείνων οὐδέν ἐστι μικρὸν οὐδ' εὐκατα-
φρόνητον, τοὐναντίον δὲ μᾶλλον ἀξιομνημόνευτα πάντα καὶ οὐχ ἧττον ἀξιοθαύμαστα,
οἷον — ἐκ πολλῶν γὰρ ὀλίγα λόγου χάριν προσκείσθω — τὸ φιλόπτωχον αὐτῆς καὶ
φιλόξενον, πλεῖστον ὅσον ἑκάτερον τὴν χρείαν ὑπερβάλλον τῶν μετεχόντων τῷ τε δα-
ψιλεῖ τῆς χειρὸς καὶ τῷ δαψιλεστέρῳ τῆς προαιρέσεως, τὸ ἐν νηστείαις αὖθις καὶ προ-
σευχαῖς καρτερικὸν καὶ φιλόπονον, τὴν ἐν οἴκοις ἱεροῖς προσεδρίαν*, ᾗ κατὰ τὴν πάλαι
προφῆτιν Ἄνναν* καὶ σώφρονα οὐκ ἀφίστατο νύκτα καὶ ἡμέραν τῆς ἐκεῖσε λατρείας καὶ
λει|τουργίας, φέρουσά τι καὶ πλέον ὑπὲρ ἐκείνην, τὸ καρποφορεῖν καὶ προσάγειν 298[1]
ὅσα εἶχεν ἡ χείρ — εἶχε δὲ ὅσων ἔχρῃζε, πανταχόθεν ἀφθόνως, ἐκ τῆς χειρὸς τῆς θείας
χορηγουμένη —, τὸ πασῶν τῶν κατ' αὐτὴν ἀσυγκρίτως ἢ καὶ πρὸ αὐτῆς γυναικῶν διενεγκεῖν
ἁγνείᾳ καὶ καθαρότητι, τὴν σύμφωνον φήμην παρὰ πάντων καὶ μαρτυρίαν ὅτι ὅλη
καλὴ* καὶ παντὸς μώμου κρείττων ἡ μακαρία, τό τε σῶμα καὶ τὴν ψυχήν, ὅλη καλὴ
τὰ πάντα καὶ τῶν ἀκηράτων νυμφώνων τοῦ τῶν ψυχῶν ἀξία νυμφίου. [13] πρὸς ὃν
πλήρης πίστεως (δεῖ γὰρ συντεμεῖν τὸ ἐντεῦθεν, τἄλλα πάντα παρέντα), πλήρης ἔργων
δικαιοσύνης, ἔτι δὲ πλήρης ἡμερῶν τῶν τοῦ πνεύματος καὶ μέντοι καὶ τῶν τοῦ σώματος,
μετὰ μεγάλων ἐλπίδων καὶ λαμπρῶν ἐκδημεῖ, παρ' ἐκείνου τὰ γέρα τῶν ὑπὲρ ἐκείνου
κινδύνων τε καὶ πόνων κομιουμένη καὶ τῆς κάτω πατρίδος καὶ βασιλείας, ὧν ἐστέρητο
δι' αὐτόν, τὴν οὐράνιον πόλιν ἀξιοπρεπῶς ἀντιληψομένη καὶ τὴν ἐκεῖσε δόξαν καὶ
βασιλείαν τὴν ὄντως ἀσάλευτον καὶ ἀνεπηρέαστον ἀϊδίως σὺν ἐκείνῳ κληρονομήσουσα,
ἔνθα | νῦν τὴν πρὸς πάντας μάρτυρας ἔχει κοινωνίαν καὶ συναυλίαν, τῆς αὐτῆς 298[2]
αὐτοῖς ἀπολαύουσα τρυφῆς καὶ μακαριότητος διά τε τὰ φίλτρα τὰ πρὸς αὐτοὺς καὶ τοὺς
καλοὺς ἀρραβῶνας οὓς ἐντεῦθεν προκατεβάλετο, καὶ ὅτι καὶ αὐτὴ μάρτυς ἄντικρυς τῶν εἰς
τὸ σῶμα δίχα ποινῶν, ἃς οὐδὲ αὐτὰς ἡ ἀήττητος ἐπαγομένας ἂν παρῃτήσατο, πρὸς τὸ πᾶν
ὁτιοῦν ὑπὲρ Χριστοῦ προθύμως παθεῖν ἐξ ἀρχῆς καλῶς παρεσκευασμένη, ἐνταῦθα δὲ
τῶν μαρτύρων τὸν διαφορώτατον τοῦτον καὶ προφερέστατον ὀρθῇ προκρίνασα κρίσει,
παρὰ τὸν αὐτοῦ νεκρὸν ὡς κρατίστου καὶ φιλτάτου διαφερόντως καὶ τὸν ἑαυτῆς ᾠκο-
νόμησεν εἰκότως κατατεθῆναι· εἴπερ θέμις νεκροὺς τὰ θαυματουργὰ καλεῖν σώματα,
μᾶλλον δὲ τὰ ταμεῖα τῶν θεοῦ χαρισμάτων, ἐξ ὧν οὐ μόνοις ἡμῖν, εἰ καὶ μᾶλλον,
ἀλλὰ πᾶσιν ἀνθρώποις (ὡς εἰπεῖν) ὅσαι ὧραι ποταμοὶ θαυμάτων ἐκδίδονται, γινω-
σκόμενοί τε καὶ μαρτυρούμενοι καὶ ὑπὸ πάσης μικροῦ περιᾳδόμενοι γλώσσης, ἐφ' οἷς
ἀναλόγως αἱ παρὰ πάντων τούτοις τιμαὶ καὶ τὸ τῆς θεραπείας ὡς ἔνεστι, πολυειδὲς
καὶ φιλότιμον, | ὧν ἡμεῖς οὐδενὶ τῶν ἐπ' αὐτοῖς πρεσβείων παραχωροῦμεν, οὐδ' 299[1]
ἀνεκτὸν παντάπασι κρίνομεν ἄλλους μᾶλλον ἡμῶν καθ' οἱονδήποτε τρόπον τοῖς κοινοῖς
εὐγνωμονεῖν εὐεργέταις· οὐ γὰρ εὐαγὲς οὐδὲ ὅσιον — τά τε ἄλλα, καὶ ὅτι παραδραμόντες
πάντας τοὺς ἄλλους, παρ' ἡμῖν ἠξίωσαν ἄμφω καταπαῦσαι τὸ κατὰ σάρκα, καὶ μεθ'
ἡμῶν ᾑρετίσαντο κατοικεῖν τὸ φαινόμενον. μᾶλλον δὲ καὶ πρὸ τούτων αὐτοῦ τοῦ κατὰ

12 προσεδρείαν codex. legi Stephanum VI 1889 *Lagarde* | 12 Luc 2, 37 | 12 Cant 4, 1

τόνδε τὸν τόπον συνοικισμοῦ καὶ τῆς ἡμετέρας ἐνταῦθα καὶ τροφῆς καὶ γενέσεως ὀφειλέτας ἡμᾶς διηνεκεῖς ἔχουσιν, αὐτοὶ τὸ χωρίον καὶ κτησάμενοι καὶ καθάραντες καὶ τοῖς τε προγόνοις καὶ ἡμῖν εἰς κατάσχεσιν καὶ βεβαίαν λιπόντες κληρονομίαν, οἷς ἐνδίκως τὰ χαριστήρια τοιαῦτα καρποφοροῦμεν, εὐλογοῦντες, αἰνοῦντες, εὐφημοῦντες ἀμφοτέρους πρὸς δύναμιν κοινῇ καὶ ἰδίᾳ, καὶ τὸν πάντα μὲν χρόνον, ἐν τοῖς ὡρισμένοις δὲ μάλιστα καιροῖς ἑκ[α]τέρῳ, τὰς αὐτῶν οἷς προσῆκε, μνήμας ὑπερτιμῶντες καὶ τὰς παρὰ τούτων αὖ πάλιν ἀντιλήψεις καὶ προστασίας μείζους ἔτι καὶ πλείους ἐντεῦθεν ὡς εἰκὸς ἐκκαλού|μενοι· ὧν εἴη τυγχάνειν ἑτοίμως καὶ μετέχειν πάντας ἡμᾶς ἔν τε τῇ παρούσῃ 299[a]
ζωῇ καὶ μετὰ τὴν ἐκεῖ μετάστασιν καὶ ἀνάλυσιν ἐν αὐτῷ Χριστῷ τῷ ποιητῇ καὶ θεῷ ἡμῶν σὺν πατρί τε καὶ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

189. *Τοῦ αὐτοῦ. Σάββατον τῆς μεσοπεντηκοστῆς εἰς τὴν μνήμην τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου ἤτοι τοῦ πεζοῦ.*

[1] Παρ' ἡμῖν δ' οὖν οὐ σπάνια τὰ καλά (τὸ τοῦ λόγου), ἀλλὰ καὶ λίαν πολλὰ καὶ δαψιλῆ καὶ φιλότιμα διὰ τοῦτον τὸν πλούσιον (διὰ τίνα γὰρ ἄλλον;) δοτῆρα τῶν ἀγαθῶν, ὅς τά τε ἄλλα πολύς ἐστιν, ἀφειδεῖ χειρὶ (τὸ λεγόμενον) ἐπαντλῶν καθ' ἑκάστην ἐκ τῶν τοῦ σωτηρίου πηγῶν, καὶ δὴ καὶ τόδε τὸ κάλλιστον ἁπάντων καλῶν, τὰς ἐπ' αὐτῷ φαιδρότητας λέγω ταύτας καὶ πανηγύρεις, συνεχῶς ἡμῖν οὕτω διατελεῖ χαριζόμενος· ἡμέραν γὰρ ἐξ ἡμέρας (ὡς εἰπεῖν) ἑορτάζομεν, καὶ τὴν ἀγγελικὴν καὶ οὐράνιον χορείαν ἐκείνην ἣν περὶ τὸν θρόνον αὐτοὶ τῆς μεγαλωσύνης ἀϊδίως χορεύουσι, καὶ ἡμεῖς ὅσον θέμις ἐπὶ γῆς ἐκμιμούμεθα· ἀφθονώτατος γὰρ ὁ χορηγὸς ἡμῖν καὶ φιλοτιμότατος, ὡς οὐ μόνον τῷ ὄντι φερωνύμως Θεόδωρος, | ἀλλὰ καὶ πολύδωρος οὐχ ἧττον καὶ 300[1]
μεγαλόδωρος. [2] θαυμαστὸν δὲ οὐδέν, εἰ τοσαύτης χάριτος ἔτυχεν ὑπὸ τῆς ὄντως δικαιοσύνης, ἐπεὶ καὶ αὐτὸς οὐ μικρολόγως οὐδ' ἀπὸ μέρους, ἀλλ' ὅλον ἑαυτὸν εὐψυχότατα θυσίαν ζῶσαν* ἁγίαν εὐάρεστον ἐκείνῳ παρέστησεν, οὐ μόνον φιλοθέως βιοὺς καὶ πᾶσιν ἔργοις καλοῖς εὐαρεστήσας καὶ θεραπεύσας, ἀλλ' ἔτι καὶ μᾶλλον φιλοθέως ἀποβιούς, καὶ τῷ συνδήσαντί τε καὶ λύσαντι καὶ ζωὴν ὁ γεννάδας καθιερώσας καὶ θάνατον, ὅθεν ὡς πολὺ παρασχών, καὶ πολὺ δικαίως ἀντιλαμβάνει. τί γὰρ πλέον ζητήσει τις, τί δὲ μεῖζον εὑρήσει τῶν ὁρωμένων; μᾶλλον δὲ τὰ μὲν μείζω καὶ κρείττω μειζόνων ἢ καθ' ἡμᾶς καὶ κρειττόνων ὀφθαλμῶν ἐστι θέαμα, ὧν ἐν οὐρανοῖς ὁ μακάριος κατατρυφᾷ μακαρίως, σὺν ἀγγέλοις ἤδη ταττόμενος καὶ τὴν ἐκείνων χαρὰν μετὰ τῆς ἴσης δόξης καρπούμενος, καὶ τὰ παρ' ἡμῖν δ' ὅμως ταῦτα ἡλίκα τε καὶ ὅσα καὶ οἷα; θαυμάτων ἐνέργειαι, δυνάμεις παντοδαπαί, τερατουργιῶν ἐπιδείξεις, ἰαμάτων χαρίσματα, ἀντιλήψεις, κυβερνήσεις, δωρεαί, προστασίαι, παρακλήσεις, ἐπισκέψεις, προμή|θειαι, πᾶν εἶδος 300[2]
ἁπλῶς εὐεργεσίας καὶ χάριτος, δημοσίᾳ τε καὶ ἰδίᾳ, τοῦ κοινοῦ, τοῦ καθ' ἕνα, τῶν ἐγγύς, τῶν μακράν· κύματά τις ῥᾷον θαλάσσης ἀπαριθμήσαιτο ἢ καθ' ἓν τούτων ἕκαστον ἐπελθεῖν ἐξαρκέσει· ὧν οἱ μετέχοντες οὐκ ἀνεπαισθήτως μετέχουσιν, ἀλλ' εὐγνωμονοῦσιν εἰκότως καὶ ἀνθομολογοῦνται τὴν χάριν καὶ τὸν εὐεργέτην ὡς ἔνεστιν, ἀντιτιμᾶν προθυμοῦνται.

[3] Διὰ ταῦτα γοῦν (ὡς ὁρᾶτε) πλήρεις μὲν ὁδοὶ πᾶσαι, πλήρεις δὲ στοαὶ καὶ ἀγοραὶ καὶ περίπατοι τῶν κυκλόθεν ἐνταῦθα συντρεχόντων καὶ συρρεόντων, καὶ ποταμῶν ἑκάστοτε ῥεύματα μιμεῖται τὰ πλήθη, ἃ καθ' ἅπερ εἰς ἄλλην συνεισβάλλοντα θάλασσαν

2 Rom 12, 1

τὸν εὐαγῆ τοῦτον οἶκον, τὸ μέγα παρὰ πᾶσιν ἀνθρώποις θαῦμα καὶ ὄνομα, πολυαν-
δρούσης ὄψιν αὐτῷ περιτιθέασι πόλεως. καὶ ἀτεχνῶς εἰσὶ πέλαγος τοῖς ὀφθαλμοῖς οὐχ
ὁρίζον, ὑφ' ὧν ἁπάντων ὁ μέγας ὑπερφυῶς μεγαλύνεται καὶ τῆς ἑαυτοῦ πληροῖ χάριτος
αὐτούς τε τοὺς οὕτω μεγαλοπρεπῶς τιμῶντας αὐτὸν καὶ τὸ ἅγιον τοῦτο καὶ ἱερὸν αὐτοῦ
τέμενος, πανταχοῦ μὲν ἐκλάμπων ἐπ' αὐτοῦ φαιδρὸν οἷον, καὶ τὰς τῶν ὁρώντων
ὄψεις ἐν κύκλῳ περιαυγάζων εἴδεσι παντοίοις καὶ σχήμασιν οἷς οὐκ ἀνθρωπίνῃ 301[1]
τέχνῃ τοσοῦτον ὅσον θειοτέρᾳ νεύσει μεμόρφωται*, ἐνταυθοῖ δὲ καὶ μάλιστα παρὰ τόνδε
τὸν θεῖον καὶ σεπτὸν αὐτοῦ τύπον τὰς ἑαυτοῦ πληθύνων μεγαλουργίας, καὶ ὥσπερ
ὀφθαλμὸν δαψιλέστερον τῆς ἐκ τούτων ἁπάντων μιᾶς πηγῆς τῶν θαυμάτων ἀναδιδοὺς
τὸν παρόντα, εἰς ὃν οὐκ οἶδ' ὅπως ἡ μαρτυρικὴ δοκεῖ χάρις ἀφθονωτέρα συρρεῦσαι
καὶ φιλοτιμοτέρας ἑκάστοτε χορηγεῖν ἐντεῦθεν τὰς ἐνεργείας, εἴτε διὰ τὸ μᾶλλον (ὡς
ἔοικεν) ἐμφερὲς τῆς μορφῆς τῷ ὁμοίῳ πλέον (ὃ δή φασι) χαίροντος τοῦ ὁμοίου, καὶ
διὰ τοῦτο καὶ πλέον τῶν ἑτέρων ἐκτυπωμάτων τοῦ πρωτοτύπου τοῦτο δοξάζοντος, εἴτε
καὶ τὸ σχῆμα μετὰ τῆς κλήσεως ἐπιεικῶς ἀποδεχομένου, ἐπεὶ τὴν εὐτέλειαν καὶ τὸ λιτὸν
περὶ πάντα καὶ ἀφελὲς ἐν σαρκί τε ζῶν ἔτι διαφερόντως ᾔδει τιμᾶν, καὶ ὑπὲρ τὸ σῶμα
γενόμενος, τὴν οἰκείαν ἔοικε φύσιν ἄτρεπτον σῴζειν ὥσπερ ἐν τοῖς ἄλλοις κἂν τούτῳ.
4 Διὰ τοῦτο δὴ μᾶλλον τῶν ἐφίππων ἐκείνων καὶ περιλάμπρων καὶ | κατα- 301[2]
χρύσων ὁ πεζὸς ἡμῖν οὗτος καὶ πολυτελὲς οὐδὲν ἔχων οὐδὲ σοβαρὸν οὐδ' ὑπέρογκον,
τὰς ἀγαθουργίας περιφανέστερος καὶ τοῖς φαιδροτέροις ἴσως φαιδρότερον ὁ μάρτυς
ἐμπρέπων, τῷ ταπεινῷ χάριν δίδωσιν, ἐν ἀσθενείᾳ καὶ οὗτος πρὸς τὸ ὑπόδειγμα τὴν
δύναμιν αὐτοῦ τελειῶν καὶ διὰ τῶν ἐλαττόνων τὰ μείζω κατορθοῦν εὐδοκῶν. διὰ τοῦτο
ὁ λαὸς ὁ πτωχός τε καὶ πεζὸς καὶ πολύς, ὁ πανταχόθεν γῆς ἐπειγόμενος πρὸς τὴν ἐν-
ταῦθα τοῦ μάρτυρος τιμήν τε καὶ δόξαν, ὡς οἰκειοτέρῳ μάλιστα τούτῳ τῷ θεσπεσίῳ
μορφώματι θαρρεῖ τε καὶ πρόσεισι, καὶ μέντοι κἀντεῦθεν οὐχ ἥκιστα τοῦ ποθουμένου
τυχών, ἀπραγμόνως ἄπεισιν ἕκαστος, μεγαλοφωνότατος κῆρυξ καὶ λαμπρότατος ἄγγελος
τῆς μαρτυρικῆς χρηστότητος καὶ δυνάμεως. ἤδη δὲ καὶ τῶν ἐφίππων οἱ πλείους, ἵνα
μὴ πάντες λέγω (τὸ ἀληθέστερον), πρὸς τοῦτον ἐξαιρέτως ἀποσκοποῦσι, καὶ τούτῳ τὸ
πλέον τῆς τιμῆς ἀπονείμαντες, παρὰ τούτου δή τι καὶ πλέον εὖ παθόντες ἀναχωροῦσι.
5 ταῦτα μὲν οὖν οἱ πόρρωθεν, οἱ δ' αὐθιγενεῖς | καὶ οἱ πρόσοικοι; ἀλλὰ 302[1]
τούτων οὐδείς ἐστιν ὃς οὐχ ὑπὲρ πάντα τὰ θαύματα τὸ θαῦμα τοῦτο θαυμάζει, τὸν μὲν
ὅλον ναὸν οἷα θεῖον ἀνάκτορον καὶ ἱερὸν ὄντως ἅγιον ἔνδοθέν τε καὶ ἔξωθεν προσκυ-
νοῦντες ὡς εἰκὸς καὶ σεβόμενοι, τὸν δ' εὐαγῆ τοῦτον τύπον* καὶ τὸ κεχαριτωμένον εἰκό-
νισμα ἰδιάζουσάν τινα καὶ ἐξαίρετον τιμῶντες τιμήν, ὅπουγε καὶ ὅρκον αὐτὸ διαφερόντως
πεποίηνται καὶ πρὸς τὰς ἑκάστοτε χρείας βοηθὸν ἐπικέκληνται· πολὺς γοῦν αὐτοῖς ἐστιν
ὁ πεζὸς πανταχοῦ, ἐπιβοώμενός τε καὶ διομνύμενος καὶ πρὸς πᾶσαν περίστασιν ὡσανεί
τις ἐπῳδὴ ἀλεξίκακος ὀξέως ὀνομαζόμενος.
6 *Ἀλλὰ μὴν καὶ τὸ σύνταγμα τόδε τὸ ἱερὸν οὐκ ἀνεκτὸν ἔκρινε, μὴ θεραπείαν
ἔκκριτον ἐξευρεῖν τινὰ τῷ μαρτυρικῷ τύπῳ τούτῳ καὶ τιμὴν ὑπερφέρουσαν προσνεῖμαι
καὶ ἀποτάξαι. ταύτῃ τοι καὶ ὅσοι ἐν αὐτοῖς εὐσεβέστεροι καὶ τὴν πίστιν θερμότεροι*

3 C[m] περὶ τῆς εἰκόνος τοῦ πεζοῦ | 5 τόπον C sed prius ο fortasse per rasuram in υ mutatum est *Studemund.* scripsi τύπον *Lagarde* | 6 C[m] περὶ τῆς διακονίας | 6 ὅσον ... εὐσεβέστερον ... θερμότερον apogr

καλὰς συνθέμενοι πρὸς ἀλλήλους συνθήκας καὶ χειρόγραφα γράψαντες τῆς ἐπ' ἀγαθῷ
συμφωνίας, ἰδιαιτάτην ταύτην ἐξεῦρον λει|τουργίαν αὐτῷ, εἰς ἣν ἐπιδόντες ἐθε- 302[2]
λοντὰς ἑαυτοὺς καὶ τῶν ἔξωθεν ἔτι προσεταιρισάμενοι μοῖραν οὐ φαυλοτάτην, ἱερὸν
ἄλλο δεύτερον γεγόνασι σύστημα καὶ ἐκκλησίας ἕτερον πλήρωμα καὶ λαὸς ἐκλελεγμένος
καὶ περιούσιος, ἀδελφοί τε καλούμενοι διὰ τὴν εἰς τὸ κρεῖττον ὁμόνοιαν, καὶ τὴν πρὸς
τὸν ἅγιον τοῦτον ἀρίστην διακονίαν ὥς ἀξίωμά τι λαμπρὸν ἐπιφημιζόμενοι. ἡ διακονία
δὲ ταῦτα τὰ φιλοτίμως ἐνταῦθα καὶ φιλοθέως τελούμενα· πλῆθος φώτων ἀναπτομένων
καὶ χορὸν ἀστέρων εἰκονιζόντων, ἀρωμάτων ἡδίστων καὶ καλλίστων ἀναφοραί, ὕμνων
ἀσιγήτων ᾠδαί, παμπλήθεις ἑκάστοτε συνάξεις καὶ συνελεύσεις, συνεισφοραὶ καὶ ἔρανοι
πρόθυμοι πρὸς τὰς ὑπὲρ τούτων δαπάνας, εἴ τις ἄλλη προσήκουσα τιμή τε καὶ θερα-
πεία, ὧν οὐδ' οἱ συντρέχοντες πένητες εἰς τὸ παντελὲς ἀκοινώνητοι, ἀλλ' ἐν τῷ μέρει
κἀκεῖνοι θαυμαστὴν ἀποφέρονται παραμυθίαν ἐντεῦθεν. [7] *ταῦτα κατὰ πάντα μὲν*
*ἐνεργεῖται καὶ τελεῖται καιρόν, καὶ τὰ τῆς καλῆς ὁμολογίας ἐκείνης ἣν συνωμολόγησεν**
| ἅπαξ ὁ θεοφιλὴς οὗτος σύλλογος, ἀδιάψευστα καθ' ὅλον καὶ ἀνυστέρητα δια- 303[1]
μένει πληρούμενα· τὸ δὲ νῦν ὑπεξῄρηται παρ' ἅπαντα τἄλλα· τὴν ἡμέραν γὰρ ταύτην
ὁ οὐράνιος πεζὸς ἐκλεξάμενος, εἰς τιμὴν ὑπερφέρουσαν ἑαυτῷ κατεστήσατο, μᾶλλον δὲ
τιμῆσαι διαφερόντως αὐτὴν διὰ τῆς μνήμης εὐδόκησεν, ἐπειδήπερ τοῖς σάββασιν ὁ πάντα
γενναῖος δοκεῖ πως ἥδεσθαι μάλιστα, διὰ τὸ πρῶτον ἴσως ἐκεῖνο καὶ τὴν τηνικάδε
μεγίστην τερατουργίαν, ἧς οὐδὲν γνωριμώτερον ἀνθρώποις ἢ θαυμασιώτερον.

[8] *Τοιγαροῦν ἰδοὺ πάντες ἐνταῦθα καὶ σήμερον συνδραμόντες ἀθρόοι καὶ τὸν κοινὸν*
περιστάντες καὶ κυκλώσαντες εὐεργέτην, χαριστήριον ἄγομεν ἑορτὴν τὴν παροῦσαν, καὶ
διὰ πάντων εἰς δύναμιν τὸ εἰκὸς ἐκπληροῦμεν, μηδὲν τῶν ὅσα κοσμεῖν καὶ λαμπρύνειν
ἱερὰν πανήγυριν πέφυκεν ἐλλεῖψαι φιλοτιμούμενοι, ἀλλ' ἀνενδεῶς καὶ ἀρκούντως (ὅσον
οἷόν τε) τὸ φαιδρὸν πανταχόθεν τῇ μαρτυρικῇ συνάξει συνάγοντες. ἁρμόσοι δ' ἂν ἔτι
πρὸς τοῖς ἄλλοις καθήκουσι τῷ μὲν ἁγίῳ φωνὴ χερουβικὴ καὶ θεοπρεπὴς Εὐλογη-*
μέ|νη ἡ δόξα αὐτοῦ ἀπὸ τοῦ τόπου αὐτοῦ, τοῖς δὲ λειτουργοῖς ἀδελφοῖς τὸ 303[2]
ψαλμικὸν καὶ προφητικὸν Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς*
ἐπὶ τὸ αὐτό, κἀκεῖνο δῆτα πρὸς ἔτι Αὕτη ἡ γενεὰ ζητούντων τὸν κύριον, ὃς καὶ τούτους*
εὐλόγησε καὶ τὸ τῶν χειρῶν αὐτῶν ἔργον, καὶ ἔσται καρποφορούμενον εἰς τέλος καὶ
αὐξανόμενον, ὅ φησιν ὁ θεῖος ἀπόστολος, εἰς τιμὴν μὲν τοῦ μάρτυρος ἀθάνατον καὶ*
ἀΐδιον καὶ τοῦ θεσπεσίου καὶ θείου τοῦδε τυπώματος, τῶν δὲ πρώτων ταύτην συστησα-
μένων — καὶ μέντοι καὶ τῶν ζηλούντων μετὰ ταῦτα καὶ συντηρούντων — χάριν οὐρανόθεν
καὶ ἔλεον καὶ μνήμην ἀγαθὴν καὶ ἀείμνηστον, συνεργοῦντος πρὸς ταῦτα τοῦ τιμωμένου,
καὶ τὸ πᾶν ἢ τὸ πλέον ἐκπληροῦντος καὶ κατορθοῦντος ἐν τῷ πρὸς ἅπαντα αὐτὸν
ἐνισχύοντι καὶ δυναμοῦντι Χριστῷ· ᾧ δόξα καὶ κράτος σὺν πατρί τε καὶ πνεύματι νῦν
καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

| **190.** *Τοῦ αὐτοῦ βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Δωροθέου* 304[1]
τοῦ νέου ἤτοι τοῦ ἐν τῷ Χιλιοκώμ[ῳ].

[1] *Οὐ παλαιοῖς ἄρα μόνον, ἀλλὰ καὶ καινοῖς διηγήμασιν ἔδει κοσμηθῆναι τὸν Πόντον,*
ὡς ἂν ἀμφοτέρωθεν εὖ ἔχοι δεδοξασμένος, τὰ παρόντα μὲν ἀναφέρων εἰς τὴν τῶν

7 *συνωμολόγησεν* C[2], *συνομολόγησεν* C[1] | 8 Ezech 3, 12 | 8 Psalm ρλβ 1 | 8 Psalm κγ 6 | 8 Coloss 1, 6

*προγεγονότων ὁμοίωσιν ὥσπερ εἰς προγόνων εὐγένειαν, τὸ δὲ κλέος ἐκείνων ὑπὲρ πίστιν
ἄλλως δοκοῦν διὰ τὸ παράδοξον ἐκ τῶν παρόντων πιστούμενος καὶ παρά τε τῆς ὄψεως
παρά τε τῆς ἀκοῆς τὸ πρὸς ἀρετὴν ἀνδρῶν γόνιμον καὶ πολύφορον μαρτυρούμενος,
ὧν ἅπασαν πλήρη τὴν ἑαυτοῦ περίχωρον ἔχει, ἄλλου κατ' ἄλλο μέρος αὐτῆς ἐν δια-
φόροις καιροῖς τὴν τοῦ καλοῦ κατόρθωσιν ἐπιδειξαμένου, καὶ μέντοι καὶ τὸ σῶμα
μετὰ τοὺς ἄθλους αὐτοῦ που καταλιπόντος παρὰ τὸν τόπον τῆς ἀγωνίας τοῖς περιοίκοις
ἐνέχυρον ἀσφαλὲς σωτηρίας.*

2 *Τούτων εἷς καὶ Δωρόθεος, ὁ μέγας ἐν ἀσκηταῖς· λέγω δὲ τὸν νέον καὶ καθ'
ἡμᾶς, περὶ οὗ πολὺς λόγος καὶ μακρᾶς συγγραφῆς καὶ ἱστορίας δεόμενος· ἡμῖν δ' ἀπο-
χρήσειν ἐκ πολλῶν ὀλίγα δοκῶ μοι. | ἀντὶ πολλῶν γὰρ ταῦτα, κἂν οὐ πολλά,* 304[2]
*ἐπείπερ ἱκανὰ καὶ αὐτά, τό τε ἄκρως φιλόσοφον τοῦ ἀνδρὸς παραστῆσαι καὶ τὸ πάνυ
φιλόθεον, ἔτι δὲ καὶ ὅσης ἀπήλαυσε*[sic] *τῆς χάριτος ἐπὶ τούτοις καὶ πρὶν ἐντεῦθεν ἀπα-
ναστῆναι, ἀρραβῶνα τῆς νῦν ἐκδεξαμένης δόξης αὐτὸν καὶ πρὸς θεὸν οἰκειώσεως.*

3 *Οὗτος τοιγαροῦν ὁ τοσοῦτος ἔφυ μέν ποθεν ἔνθεν, ἐξ ἐπισήμου πόλεως γείτονος,
μᾶλλον δὲ μητροπόλεως ἔθνους οὐκ ἀνωνύμου· Τραπεζούντιος γάρ· γένος δὲ τῶν εὖ
γεγονότων καὶ τῶν ἐν τέλει τὰ πρῶτα· ἐν γὰρ πατρικίοις ἐτέλουν οἱ πρὸς πατρὸς
πατέρες αὐτῷ, καὶ τούτων οὐ τοῖς ἐξ ἰδιωτῶν ἄρτι πρῶτον εἰς τοῦτο παραγγείλασι το
ἀξίωμα, ἀλλ' οἷς (ὡς ἂν εἴποι τις) κατὰ κλῆρον ἦν ἡ εὐγένεια καὶ οὓς Γενεσίους ἔτι καὶ νῦν
ὡς ἐπίσημόν τι γένους λαμπρότατον, οἷον Ἡρακλείδας τινὰς καὶ Πελοπίδας, ἐπιφημίζουσιν.*

4 *Ἐκ τοιούτων οὖν προελθών, καὶ τὰ τοῦ βίου προοίμια ὑπὸ διδασκάλοις κοσμίως
καὶ παιδαγωγοῖς διανύσας (ὡς εἰκὸς ἦν δήπου τὸν εὐγενῆ), ὅτε πρῶτον ἀνέβη δωδεκα-
έτης, ἡδίστη καθίσταται φροντὶς τοῖς πατράσι καὶ σκέψις ἐπ' αὐτῷ πα|ρὰ χρῆμα* 305[1]
*καὶ βουλὴ περισπούδαστος, γάμου καταδῆσαι δεσμοῖς τὸν ἐλεύθερον· ἔτι γὰρ ἠγ[ν]όουν
οἱ ἄνθρωποι ὡς ὁ παῖς αὐτοῖς εὐγενέστερος τὴν ψυχὴν ἢ τὸ σῶμα· ὅς γε καὶ πρὸ τῆς
σωματικῆς ἡλικίας ὑπὲρ τὸ σῶμα φρονήσας, καὶ παρὰ τὴν πρώτην εὐθὺς εἰς ὑψηλότερα
βλέψας τῶν κοινῶν καὶ νενομισμένων, σαρκὸς μὲν καὶ αἵματος* ὑπεριδεῖν δεῖν ᾠήθη,
ὅλον δὲ καὶ σῶμα καὶ πνεῦμα καθαρὸν τηρῆσαι* τῷ πνεύματι. ταύτῃ τοι, καὶ ἄλλως
οὐκ ἔχων τῆς καλῆς ἐπιθυμίας ταύτης τυχεῖν καὶ τῶν ἀνθελκόντων ἐκείνων ἐμποδίων
περιγενέσθαι, ἑαυτὸν σοφῶς ὑπεκκλέπτει. καὶ ταχὺ φυγὰς ὁ γενναῖος ἐντεῦθεν ἀπιὼν
ᾤχετο. οὐκ ὀλίγην δὲ πλανηθεὶς κατὰ ζήτησιν ἀνδρὸς παιδευτοῦ, οἷα κομιδῇ νέος καὶ
πρὸς ξενιτείαν ἄλλως ἀήθης, ἐν Ἀμισῷ ποτὲ γίνεται, κἀκεῖ τὸ ποθούμενον κατὰ θείαν
νεῦσιν εὑρίσκει. Ἰωάννης ἦν τῷ φυγάδι τὸ ζητούμενον εὕρεμα, Ἰωάννης ἐκεῖνος, ὁ τὰ
θεῖα πολύς· ἀνὴρ τά τε ἄλλα θεοφορούμενος καὶ τῷ διορατικῷ* τὴν ψυχὴν κεκοσμημένος
χαρίσματι.* 5 *οὗτος οὖν ὁ θαυμάσιος ἐτύγχανε μὲν ἄρτι τῇ κατ' αὐτὸν εὐαγεστάτῃ
μονῇ τοὺς θεμελίους καταβαλλόμενος, | ἣν οὕτω πως τῆς γέννας καλοῦσιν. ἰδὼν* 305[2]
*οὖν τὸν πρόσφυγα ξένον πλήρεσιν ἱστίοις (ὃ δή φασιν) εἰς ταύτην κατάραντα καὶ πάσῃ
σπουδῇ καὶ προθυμίᾳ χρώμενον ὥστε τῷ χορῷ συνταγῆναι τῶν ἤδη παρ' αὐτῷ τὴν
ἄσκησιν παιδοτριβουμένων, ἥδιστά τε προσδέχεται, ἀκριβὴς (ὅπερ ἔφαμεν) στοχαστὴς
τοῦ μέλλοντος ὢν διὰ τὴν τοῦ νοῦ καθαρότητα, καὶ χερσὶν ὑπτίαις παραλαμβάνει· πᾶσαν
δὲ πεῖραν πρότερον καὶ προσενεγκὼν καὶ λαβὼν τῆς τοῦ νέου γνώμης καὶ διαθέσεως —*

4 Gal 1, 16 | 4 Thess α 5, 23 | 4 Lagarde reliq gr 75 infra § 26

ὅσπερ νόμος ἀσκητικός, ὅπως μὲν πρὸς εὐπείθειαν (τὸ πάντων ἐν τούτοις κυριώτατον)
ἔχει, ὅπως δὲ πρὸς πόνους καὶ κακοπάθειαν, καὶ εἴ τι ἄλλο δοκίμιον (συνελόντα εἰπεῖν)
τοὺς εἰς τὴν μεγάλην ταύτην παλαίστραν ἀποδυομένους νενόμισται παρέχειν τοῖς προε-
στῶσιν — ἱκανῶς κἀν τούτῳ ζητήσας, ἐπεὶ τὰ πάντα συμβαίνοντα τῇ πνευματικῇ πο-
λιτείᾳ τὸν γεννάδαν ἑώρα καὶ πρὸς οὐδὲν ἀλλοτρίως τῶν καλῶν διακείμενον, τέλος
ἀποκείρει θαρρήσας καὶ τῷ ἱερῷ καταλόγῳ τὸν ἄξιον ἐγκαθίστησι.

[6] Τοῦτο μὲν Δωροθέῳ τῶν ἐφετῶν τὸ πρῶτον καὶ μέγιστον· οὕτω δὴ κατὰ τὴν
ψαλμικὴν* ἔ|λαφον ἐν δίψει δραμών, παρὰ τῇ πηγῇ τοῦ πνεύματος ταύτῃ τό τε 306[1]
δίψος κατέπαυσε καὶ τὸν πόθον ἀνέπαυσε, μᾶλλον δὲ πολλῷ πλέον ἀνῆψε καὶ διηρέθισε,
μετὰ τὴν τῆς γλυκύτητος γεῦσιν ἐπιεικῶς ἐκκαυθεὶς πρὸς τοὺς τῆς γλυκύτητος ἔρωτας,
καὶ ἀεὶ τὸ παρὸν εἰς ὑπέκκαυμα λαμβάνων τοῦ λείποντος. [7] ἐντεῦθεν τοίνυν ἀρξά-
μενος τῆς καλῆς ἐργασίας καὶ τῶν ἱερῶν ἀγώνων ἁψάμενος, ποῖον μὲν εἶδος ἀσκητικῆς
παρέλιπεν ἀρετῆς; τίνι δὲ τοῦ πρωτείου τῶν καλῶν παρεχώρησεν; ἐτάχθη μὲν γὰρ
εὐθὺς ὁ θαυμάσιος, ὡς ἐν ἀκμῇ νεότητος ὢν καὶ καταπονεῖν ἐν κόποις τὸ σῶμα πρὸς
ὑποταγὴν δεόμενος πνεύματος, διακονεῖν ταῖς χρείαις τῶν ἀδελφῶν. τοῦ δὲ κοινοῦ πατρὸς
καὶ καθηγητοῦ ἀφορμὰς ἑκάστοτε χορηγοῦντος τῇ τοῦ νέου φιλοπονίᾳ πρὸς κατορθω-
μάτων ἐπίδειξιν, οὐκ ἔστιν εἰπεῖν ἐφ' ᾧτινι πλέον ἢ ἔλαττον δοκιμώτερος οὗτος ἀπέβη
καὶ διεφάνη. ἴσα γὰρ τὰ πάντα καὶ ὅμοια καὶ ἀλλήλων ἐχόμενα καθ' ἅπερ πολύπλοκος
σειρά τις χρυσῆ — τὸ γενναῖον, τὸ πρόθυμον, τὸ λελογισμένον, τὸ περιδέξιον, τὸ θᾶττον
ἢ κελευ|σθῆναι πρὸς τὸ κελευόμενον ὑπακούειν, τὸ κρεῖττον ἐλπίδος ἐξανύειν τὸ 306[2]
ἔργον, ἐπὶ πᾶσι (τὸ πάντων ὑψηλότατόν τε καὶ μέγιστον) τὸ μηδὲν μέγα κατορθοῦν
οἴεσθαι, κἂν τὰ πάντων ἄριστα κατεπράξατο, ἀλλὰ πρὸς τὴν δεσποτικὴν ὁρᾶν ἐντολὴν
καὶ μετὰ τὴν τῶν πάντων ἐκπλήρωσιν ἀχρεῖον* ἑαυτὸν καλεῖν δοῦλον καὶ τῆς τῶν
ὑπηρετουμένων εὐχῆς καὶ εὐλογίας ἀνάξιον. [8] οὕτω δ' ἐπὶ μήκιστον χρόνον ἐν ταῖς
τοιαύταις ἐργασίαις διαγενόμενος, καὶ δεξιὸς ὡς ἄλλος οὐδεὶς τὰ πρὸς θεραπείαν ἀν-
θρώπων μαρτυρηθείς, ἐντεῦθεν ἄξιος κρίνεται καὶ θεοῦ λειτουργίας· καὶ διακονήσας
καλῶς (τὸ γὰρ ἀποστολικὸν* εἰπεῖν εὔκαιρον) βαθμὸν ἑαυτῷ καλὸν περιποιεῖται, ἐν
καθέδρᾳ πρεσβυτέρων αἰνεῖν τὸν κύριον εἰκότως ἀξιωθείς. τὸν δὲ τοιοῦτον βαθμὸν
ἐπιστεύθη μὲν εὖ μάλα κατακοσμῆσαι δι' ἔργων τῶν καθηκόντων· κατεκόσμησε δὲ
μᾶλλον ἢ ἐπιστεύθη, οὕτω μὲν φιλοπόνως περὶ τὴν ἱερὰν λειτουργίαν ταύτην διατεθείς,
ὡς ἐπὶ ὅλοις ἔτεσι δυσὶ καὶ ἑξήκοντα ἐξ ὅτου τὸν πρεσβύτερον ἀνεδέξατο, αὐτὸν καθ'
ἑκάστην τὰ τῆς εὐαγοῦς μυσταγωγίας ἐπιτελεῖν, πάσης ἄνευ προ|φάσεως καὶ ὄκνου 307[1]
δίχα παντός, οὕτω δὲ φιλοσόφως καὶ καθαρῶς, ὡς μετὰ τὴν νέαν μονὴν περὶ ἧς
αὐτίκα λελέξεται, καὶ τὴν πρὸς ταύτην μετάβασιν μήτ' ἐκτὸς τῶν ὅρων αὐτῆς τὰ τῶν
ποδῶν ἴχνη θεῖναι μήτε γυναικὶ τὸ παράπαν εἰς ὄψιν ὑπομεῖναι παραγενέσθαι, καὶ
τῶν ἀνδρῶν δὲ μόνοις ὡς ἥδιστα συνεῖναι τοῖς φιλοθέοις καὶ τὴν ἀρετὴν ἐπ' ἴσης
αὐτῷ διηνεκῆ μελέτην πεποιημένοις, τῶν δ' ἑτέρως ἐχόντων τὰς ὁμιλίας ἐκτρέπεσθαι,
ἑαυτῷ δὲ συνεῖναι καὶ θεῷ τὰ πολλά, οὐχ ἁπλῶς τὰς εὐχὰς οὐδ' ὡς ἄν τις ἄλλος
ἀφοσιούμενος, ἀλλ' ὄμβροις ἀεννάοις δακρύων καταβρέχων τὸ ἔδαφος[sic], τῷ τε θείῳ
πυρὶ τῆς θαυμαστῆς κατανύξεως εὐαγγελικῶς τὴν καρδίαν καιομένην ἔχων ἐν ἑαυτῷ καὶ

6 Psalm μα 2 | 7 Luc 17, 10 | 8 Timoth α 3, 13

τὸ πρόσωπον ὥσπερ ὁ θεόπτης τὸ πρότερον* ἐκ τῆς αὐτῆς αἰτίας καὶ οὗτος δεδοξασ-
μένον δεικνὺς καὶ μικροῦ τι κρεῖττον ὁμοίως ὄψεως ἀνθρωπίνης, οὕτως ᾔδει τιμᾶν ὁ
ἱερὸς ἐκεῖνος ἱερωσύνην, οὕτω δ' αὖ πάλιν παρ' ἐκείνης ἀντιτιμᾶσθαι· τί δὲ οὐκ ἔμελλεν
ᾧ τοσοῦτον ἐξέλαμψεν ὁ βίος ὁ μετὰ ταῦτα καὶ [ὃς] τοιαύταις τὸ θεῖον θεραπείαις ἐξῳ-
κειώ|σατο (ἵνα μὴ τὰ καθ' ἕκαστα τῶν ἄλλων ἐπιὼν διατρίβω), ὡς καὶ θεα- 307[2]
μάτων ἀπορρήτων ἀξιωθῆναι τὸν ἄνδρα καὶ μυστηρίων μεγάλων ἀποκάλυψιν δέξασθαι;
ὧν τὸ τέλος ψυχῶν οἰκονομία καὶ σωτηρία, παράδοξον μὲν τὴν ἀφορμὴν λαβοῦσα καὶ
τὴν ἀρχήν, εἰς δὲ κρεῖττον πάσης ἐλπίδος ἀποτέλεσμα λήξασα.

[9] Τίς οὖν ὁ τρόπος καὶ πόθεν; στέλλεταί ποτε κατά τινὰ χρείαν ὑπὸ τοῦ μεγάλου
πατρὸς ἐφ' ὃ δή[sic]· καὶ γὰρ οὐδὲ μετὰ τὸ τῆς ἱερωσύνης αἰδέσιμον τοῦ λειτουργεῖν
ἀπέστη τοῖς ἀδελφοῖς, μεγέθει τε ταπεινοφροσύνης καὶ προθυμίας ἀκμῇ. ἐπεὶ δὲ ἅλις
εἶχεν αὐτῷ τὰ τῆς ἀρίστης ὑποταγῆς, καὶ ἔδει τὸν ἄρχεσθαι μαθόντα καὶ πειθαρχεῖν
εἰς τοσοῦτον ἤδη καὶ αὐτὸν ἄλλων ἄρξαι, καὶ μέγαν ἀληθῶς ἐν τῇ βασιλείᾳ κληθῆναι
τῶν οὐρανῶν, μὴ μόνον ποιήσαντα τὴν ὑποταγήν, ἀλλὰ καὶ διδάξαντα*, ἐνταῦθα τὰ
σύμβολα τῆς θείας ἐπισκοπῆς, κἀντεῦθεν ἡ χάρις ἤδη τὸν ἑαυτῆς μνηστεύεται ἄξιον.

[10] Τρίτη τὸν γεννάδαν ὁδεύοντα τῆς ἡμέρας ὥρα καταλαμβάνει. ὁ δὲ πρός τινὰ
τῶν παροδίων ναῶν εὐχῆς εἰσέδραμε χάριν· τοῦτο γὰρ | ἦν ἔθος αὐτῷ, κἂν τὰ 308[1]
πάντων ἤπειγε σπουδαιότατα. ὁ ναὸς δὲ Ἄννης, ὡς λόγος, τῆς ἁγίας προμήτορος τοῦ
σωτῆρος ημῶν. παρελθὼν τοίνυν εἴσω καὶ δοὺς τῷ μὲν ἐδάφει[sic] τὰ γόνατα, πρὸς οὐ-
ρανὸν δὲ χεῖρας καὶ ὄμματα καὶ νοῦν ἀνυψώσας, ἐν ἐκστάσει γέγονεν ὅλος καὶ σὺν
χρόνῳ μόλις ἐπανελθών, τρὶς ἑξῆς ἀνεφθέγξατο Τριὰς ἁγία, δόξα σοι. [11] τότε μὲν
οὖν οὐδὲν ἴσως πλέον ἐπισημήναντος τοῦ ὀφθέντος, ἄλλως τε αὐτῷ τὴν φωνὴν ταύτην
ἐπελθεῖν ᾤετο, καὶ σιγῇ παρ' ἑαυτῷ κατέσχε τὸ θαῦμα, διαπορούμενος ἅμα καὶ περι-
σκοπῶν πανταχόθεν τοῦ μυστηρίου τὴν δύναμιν. [12] οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ πάλιν
ἐπί τινὰ σταλεὶς λειτουργίαν, τελεώτερον εὐθὺς καὶ τρανότερον διδάσκεται τὸ ἀπόρρητον·
διδάσκεται δέ*. παρὰ τοὺς πρόποδας ἰόντι τοῦ βουνοῦ τοῦδε, ὃς τὴν ἱερὰν ἐκείνου ταύτην
μονὴν ὑπὲρ ἑαυτοῦ νυνὶ φέρει, θειοτέρα τις ὄψις αὐτῷ ἐν μοναχοῦ συνήντησε σχήματι·
καὶ ὁ μοναχὸς πολιός, ἱεροπρεπὴς τὴν στολήν, θεοειδὴς τὴν μορφήν. οὗτος τοίνυν τὸν
ὅσιον ὀνομαστὶ προσειπὼν Ὁρᾷς, ἔφη, τέκνον Δωρόθεε, τὸ | ὑπερκείμενον τοῦτο; 308[2]
καὶ ἅμα τὸν λόφον τῇ χειρὶ παρεδείκνυ. τοῦτο, εἶπεν, ἦν ὅτε πολλῶν μεγάλων ἀνδρῶν
κατοικητήριον ἦν, ἱερὸν ἔχον ἅγιον, τῇ ἐπικλήσει τιμώμενον τῆς ὑπερθέου τριάδος, τὸ νῦν
ἐν ἐρειπίοις μόνον ὁρώμενον, ὅπερ αὖθις ἀναστῆναι δεῖ παρὰ σοῦ μεγαλοπρεπέστερον
καὶ τὸν τόπον οἰκισθῆναι φιλοτιμότερον ἐπὶ τιμῇ τῆς τριάδος· τοῦτο γὰρ αὐτῆς ἐστὶ
θέλημα· σὺ δὲ — ἀλλ' ὅπως μοι τούτων ἐν καιρῷ μνημονεύσεις καὶ μηδὲν σκηψάμενος
ὑπακούσεις· τἄλλα δ' εὔελπις ἔσο· τῇ γὰρ τριάδι πάντα μελήσει. [13] ὁ μὲν οὖν φανεὶς
ταῦτ' εἰπὼν ἐξ ὀφθαλμῶν εὐθὺς ἦν, τὸν ἰδόντα δὲ καὶ ἀκούσαντα φόβος ἅμα κατέσχε
καὶ χαρὰ λόγου κρείττων*, τῷ μὲν παραδόξῳ τῆς ὄψεως ἐκπεπληγμένον ὥσπερ εἰκὸς
καὶ θορύβου τὴν ψυχὴν πεπλησμένον, χαίροντα δ' ὅμως τῇ τοῦ πρὶν ἀπορρήτου δηλώσει
καὶ σαφηνείᾳ, καὶ ὅτι μὴ μάτην αὐτῷ κατὰ τὴν θεωρίαν ἐκείνην ἡ τριὰς ὅλῃ γλώσσῃ
τὸ τρίτον ἐξεφωνήθη. [14] οὔπω δ' οὖν εἶχε συνιδεῖν τι πέρας τοῦ πράγματος, ἀλλ' ἦν

8 Exod 34, 29 | 9 Matth 5, 19 | 12 videtur *οὕτως* deesse *Lagarde* | 13 *κρείττων* C[2], *κρεῖττον* C[1]

ἡ τῆς προτέρας λύσις (ὡς ἔοικε)· δευτέρας ἀπορίας ἀρχή, τοῦτο μέν, τὴν τάξιν ἐνθυ-
μουμέ|νῳ καὶ ὡς οὐκ ἐξὸν αὐτῷ ὑπὸ ἐντολὴν τε ἔτι κειμένῳ καὶ τὴν ὑπακοὴν 309¹
διανύοντι μέγα τι ποιεῖν ἢ μικρὸν παρὰ τὴν τοῦ ἄγοντος βούλησιν, τοῦτο δέ, καὶ τὸ ἴδιον
μέτρον εὐσυνέτως σκοποῦντι καὶ μήτε πρὸς ποιμαντικὴν ἐπιστήμην μήτε πρὸς δαπάνην
ἢ μέριμναν ἔργου τηλικούτου καὶ πράγματος ἱκανῶς ἔχειν ὅλως λογιζομένῳ. ἄλλως τε
καὶ πόθος αὐτὸν ἄρρητος οἷος τῶν ἀφύκτων σειρήνων τοῦ διδασκάλου κατεῖχε, καὶ πάντα
μᾶλλον παθεῖν ἢ ζημιωθῆναι τούτου ὑπέμενεν. [15] ὁ μὲν οὖν ἐν τούτοις ἦν, καὶ
τοιούτοις λογισμοῖς προσεπάλαιεν· οὐκ ἦν δὲ ἄρα ταῦτα λαθεῖν τὸν βλέποντα, ὅστις
οὐκ ἄλλος, ἀλλ' αὐτὸς ἦν ἐκεῖνος ὁ τοῦ θεσπεσίου τοῦδε πατρὸς καθηγητὴς καὶ διδάσ-
καλος, ᾧ καὶ νῦν ὡς ἀεὶ πάντα γνώριμα τίθησι, καίτοι γε μακρὰν ἀφεστῶτι, ὁ ἀνακα-
λύπτων βαθέα καὶ ἀπογυμνῶν κεκρυμμένα. ὑποστρέψαντα γοῦν μετὰ τὴν τῆς διακονίας
ἐκπλήρωσιν μικρὸν ἐπισχών, μετακαλεῖται τὸν ὅσιον καὶ Τί, φησί, μέλλεις, ὦ Δωρόθεε
τέκνον; ἢ μήτι που σύ γε λήθην ἔσχες τοῦ χρηματίσαντος καὶ ὧν ἐκεῖνος ἐπέσκηψεν;
εἶπε, καὶ διατα|ραχθέντα τὸν ὅσιον ἀθρόως ἰδὼν πρὸς τὸ τοῦ λόγου παράδοξον 309²
καὶ καθ' ἅπερ ὑπό τινος βροντῆς ἐκτεθαμβημένον, ἀνελάμβανέ τε κατὰ μικρὸν καὶ
ἀνεκαλεῖτο σὺν εὐμενείᾳ καὶ τέλος τὰς χεῖρας ἐπιθεὶς ἐπανήγαγεν. ὁ δ' ἑαυτοῦ τε ἅμα
καὶ τῶν πατρικῶν ἰχνῶν γεγονὼς ἱκέτευεν, ἠντιβόλει, κατελιπάρει, φιλήμασι, δάκρυσι,
χειρῶν ἐμπλοκαῖς τοὺς ὡραίους ἐκείνους πόδας* ἐξεθεράπευε. τί γὰρ οὐκ ἔλεγε, τί δὲ
οὐκ ἐποίει τῶν εἰς οἶκτον ἱκανῶν ἐπισπάσασθαι ψυχὴν φιλοικτίρμονα; δι' ὧν ἁπάντων
ἓν τοῦτο παρῃτεῖτο καὶ μόνον, τὴν ἀπ' ἐκείνου διάστασιν, χωρισμὸν θεοῦ ἄντικρυς καὶ
ζημίαν ψυχῆς τὸ πρᾶγμα καλῶν καὶ κατωδύνως ἔχειν πρὸς τοῦτο καὶ λίαν ἀφορήτως
διατεινόμενος. [16] ἀλλ' ὁ μέγας αὖθις παρηγορῶν Οὐκ ἔστιν, εἶπεν, ὦ τέκνον, οὐκ
ἔστιν ἄλλως γενέσθαι· οἶσθα γὰρ ὅτι θεῖον, οὐκ ἀνθρώπινον, τὸ ἐπίταγμα· ἃ δὲ ὁ θεὸς
ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει, καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει*;
οὐ θέμις οὖν ἀπειθεῖν ταῖς θειοτέραις οἰκονομίαις· τοῦτο γὰρ οὐ μόνον ἀσύμφορον,
ἀλλὰ τῷ παντὶ καὶ ἀδύνατον· ἡμᾶς δ' ἂν ᾖ θέλημα, κω|λύσει πάντως οὐδὲν 310¹
ἐπισκέπτεσθαί σε καὶ πάλιν, κἂν ἐν ἐσχάτοις γῆς διατρίβῃς, καὶ τὰ συνήθη γνωμοδο-
τεῖν καὶ καταρτίζειν ἐν τοῖς τοῦ πνεύματος. ὅπερ οὖν ὡς ἐπήγγελτο, καὶ ποιῶν οὐκ
ἔληγεν ὕστερον ὁ ἀψευδὴς θεράπων τῆς ἀληθείας. [17] τότε δ' ἐπειδὴ τούτων ἤκουσε
παρ' ἐλπίδα καὶ γνώμην ὁ ταχὺς τὴν εὐπείθειαν ἐκεῖνος καὶ ἀπροφάσιστος, τὸ τῆς
ὑπακοῆς ὄντως τέκνον*, οὐκ ἀντιτείνων ἦν ἔτι, οὐκ ἀπειθῶν, οὐ προσβιαζόμενος, ἀλλ'
ὅλον ἑαυτὸν τῇ χάριτι παραδοὺς καὶ τῆς τοῦ κρείττονος γενόμενος εὐδοκίας, ἄπεισιν
εὐθὺς ὡς προστέτακτο παρὰ τὸν ὑποδειχθέντα τόπον ὑπὸ τῆς ὄψεως, μᾶλλον δὲ πρόσεισιν.

[18] Οὗτος γὰρ ἐκεῖνος ὁ τόπος, οὗτος αὐτός, ὁ ἐν γειτόνων ὁρώμενος καὶ τοσαύτην
ἀγέλην νῦν μοναστῶν ἐπ' ἐλπίδι κατοικοῦσαν (ὡς γέγραπται*) ἐκ τοῦ πρὶν ἀοικήτου
φέρων καὶ τρέφων τῇ σωματικῇ τε τροφῇ καὶ πολλῷ γε μᾶλλον τῇ ψυχικῇ, ἧς αὐτοῖς
ὁ πᾶς λόγος, καὶ ὑπὲρ ἧς οἱ ἀγῶνες οἱ πνευματικοὶ καὶ σωτήριοι. [19] πρὸς τοῦτον
ἐκεῖνος ὑπὸ θεοῦ τε πεμφθεὶς καὶ τοῦ μεγάλου πατρὸς ἐκείνου καὶ παιδευτοῦ, μηδεμιᾷ
μελλήσει τὸ πρᾶγμα μηδὲ διστάγμῷ τινὶ δούς, ἔργου εἴχετο, καὶ πόνοις | πόνους 310²
συνῆπτε καὶ ἱδρῶσιν ἱδρῶτας, ἐκκαθαίρων, ἐκφορῶν, ὁμαλίζων ταῖς ἑαυτοῦ χερσὶν ὁ

15 Isaias 52, 7 | 16 Isaias 14, 27 | 17 Petr α 1, 14 | 18 Psalm 4, 9

γενναῖος· μεστὸς γὰρ ὁ τόπος ὕλης ἀγρίας, μεστὸς συμπιωμάτων καὶ παντοδαποῦ φο-
ρυτοῦ. παρὰ τὴν πρώτην μὲν οὖν ἀνήνυτά τε κάμνειν ἐῴκει καὶ ἀδυνάτοις προδήλως
ἐπιχειρεῖν, οἰκοδομὴν ἐκκλησίας καὶ μονῆς σύστασιν ἐν ἐρήμῳ γῇ καὶ ἀβάτῳ διανοού-
μενος καταστήσασθαι, καὶ ταῦτα ξένος ἐν ξένοις, πένης, ἄοικος, ἄγνωστος, ἔρημος ἁπάσης
βοηθείας καὶ συγκροτήσεως, ἐπειδὴ καὶ μονώτατος ὅτι μὴ ἑνὶ συνεργῷ Βασιλείῳ τῷ
καλῷ χρώμενος, ὅν τοῦ κατ' αὐτὸν ὄντα κύκλου συνέκδημον εἰλήφει καὶ σύναθλον,
παρὰ τοῦ πατρὸς αἰτησάμενος, μεθ' οὗ πονῶν κατ' ἀρχὰς καὶ πρὸς τηλικοῦτον ἆθλον
παραβαλλόμενος. [20] οὐκ εἰς τέλος ἔμελλεν ἄρα παρὰ τῆς θείας ἐγκαταλειφθῆναι
προνοίας, ἀλλὰ ταχὺ τὰ τοῦ πράγματος οἱ περίοικοι συναισθόμενοι καὶ μὴ ἂν ἀθεεῖ*
ταῦτα γίνεσθαι εὖ μάλα σοφῶς παρ' ἑαυτοῖς κρίναντες, ὅλῃ καὶ σπουδῇ καὶ χειρὶ συνε-
φάπτονται τῶν ἔργων αὐτοῖς, χρήμασί τε καὶ σώμασι καὶ πᾶσι τρόποις ἐκθύμως τὰ
| τῆς συνεργίας ἐπιδεικνύμενοι, ἐξ ὧν (ἵνα συνέλω τὸ πᾶν) τό τε ἱερὸν ἐν ὀλίγῳ 311¹
καὶ ἡ μονὴ μετ' ὀλίγον εἰς ὃ νῦν ὁρῶνται, συναπαρτίζονται σχῆμα, δηλαδὴ καὶ τοῦ χρό-
νου βραχεῖάν τινα προσθήκην (ἐπεὶ καὶ βραχύς) τοῖς ἐξειργασμένοις τότε συνεισενέγκαντος.

[21] Αὕτη μὲν ἡ αἰτία καὶ οὗτος ὁ λόγος τῆς εἰς τόνδε τὸν τόπον τοῦ ἀνδρὸς ἐνδη-
μίας, τοῦτο δὲ καὶ τὸ ἔργον καὶ οὗτος ὁ τρόπος τῆς ἐνταῦθα παροικίας αὐτοῦ καὶ
φιλοπονίας· μᾶλλον δὲ τὸ ἔργον οὐ τοῦτο, ἀλλ' οἷόν τις ἀφορμὴ καὶ καταβολὴ τοῦ ἀλη-
θῶς ἔργου, πρὸς ὃ ταῦτα πάντα συντείνει καὶ φέρει, τὴν ἐργασίαν λέγω τοῦ ἀγαθοῦ καὶ
τὴν τῆς ἀγγελικῆς πολιτείας ἄσκησιν καὶ κατόρθωσιν, ἧς ἐκεῖνος κατῆρξε καὶ ἣν τοῖς
μετ' ἐκεῖνον κατέλιπε, τὰς πρώτας μὲν ὑποθέσεις παρὰ τοῦ μεγάλου πατρὸς ὡσανεί
τινα στοιχεῖα παρειληφὼς πρὸς τὸν τῆς ἀκριβείας τοῦτον κανόνα, ὧν τοὺς τύπους ἐγγρά-
φους ἐκ τῶν Ἀρσενίου τοῦ πάνυ διαταγμάτων ὥσπερ ἄλλος Μωσῆς θεοχαράκτους πλάκας
ἐδέξατο. [22] ἦν δὲ οὗτος Ἀρσένιος, ὁ τὴν ἀρετὴν περιβόητος ἐκεῖνος ἐν μονασταῖς, ὃς
καὶ τῆς χρυσῆς καλουμένης πέτρας (οὐδ' ἐκεί|νη δὲ πόρρω) ἄριστα πάντων ἦρξε 311²
καὶ ἀφηγήσατο, καὶ αὐτὸς* πολλὰ προσεξευρὼν οἴκοθεν καὶ τῷ πολυπλόκῳ τούτῳ στε-
φάνῳ τῆς ἀσκητικῆς εὐπρεπείας συγκαταπλέξας, ἅμα μὲν εἰς κάλλους περιουσίαν, ἅμα
δὲ καὶ πρὸς μείζονος ὠφελείας ὑπόθεσιν. [23] τί γὰρ τῶν καλῶν παρ' αὐτοῖς οὐ φι-
λοσοφεῖται; οὐ μακροθυμία; οὐκ ἐπιείκεια; οὐχὶ τῶν παρόντων ὑπεροψία; οὐχὶ τῶν
μελλόντων ἐπιθυμία; οὐ πρᾳότης; οὐ καθαρότης; οὐχ ἡ κατὰ πνεῦμα πτωχεία; οὐχ
ὅσα τῶν μακαριζομένων ἢ καὶ ἄλλως ἐπαινουμένων; ἡ ἀκτησία δέ, ἡ δ' εὐτέλεια,
τὸ δ' ἐγκρατὲς περὶ πάντα, τὸ πρὸς ἀγρυπνίαν φιλόπονον, τὸ περὶ τὸ ψάλλειν ἀκό-
ρεστον, ἡ ἐν προσευχαῖς εὐτονία, ἡ τῶν θείων μελέτη, τὸ φιλόξενον, τὸ φιλόπτωχον
ὅσον ἐκ τῶν παρόντων, τὸ μηδὲν ἁπλῶς τῶν σωματικῶν, μόνα δὲ τὰ τοῦ πνεύματος
ζητεῖν τε καὶ πραγματεύεσθαι ὅτι μὴ πᾶσα ἀνάγκη καὶ ὧν χωρὶς δῆλον ὅτι τὸν πρὸς
τὸ σῶμα δεσμὸν τῇ ψυχῇ διαμένειν ὅλως ἀμήχανον, καὶ τοῦτο δὲ τῶν ἄλλων οὐχ ἧττον
πνευματικόν τε καὶ ἀποστολικόν*, μὴ φορτικούς τισιν εἶναι, τὰ πρὸς χρείαν αἰτοῦντας
| μηδ' ἐγκοπὴν διδόναι τινὰ τῇ τοῦ ἀγαθοῦ κατορθώσει ἐκ τοῦ περὶ ταῦτα κα- 312¹
ταναρκᾶν ἔστιν ὧν, ἀλλὰ ταῖς ἰδίαις ἐργάζεσθαι χερσὶν ὅτε δεῖ, καὶ βοηθεῖν ἑαυτοῖς
δι' ἑαυτῶν εἰς τὰ ἀναγκαῖα, τῆς ἔξωθεν δὲ περιφορᾶς ταύτης, ἣν πολλοὶ τῶν ἁπλου-
στέρων ἐπιτηδεύουσιν εἰς ἐρανισμὸν τῶν κατὰ χρείαν τοῖς ἀσκουμένοις παρὰ τῶν ἑτοίμων

20 ἀθεεὶ codex | 22 addit δὲ codex, quod delevi *Lagarde* | 23 Thess α 2, 9

μεταδιδόναι, φείδεσθαί τε καθ' ὅλον καὶ τὸ σύμπαν ἀπέχεσθαι, ἵν' ἀπρόσκοπον αὐτοῖς
πανταχόθεν τῆς δικαιοσύνης μένοι τὸ ἔργον, καὶ μηδενὸς τῶν πάντων συνείδησις ἐπί τινι
πλήττοιτο τῶν ὑπ' αὐτῶν πραττομένων· μᾶλλον μὲν οὖν, εἴ τις δύναμις, αὐτοὺς τῶν
ἰδίων πόνων κοινωνεῖν ἑτέροις προθύμως, ἵνα κἀντεῦθεν ᾖ μεῖζον τὸ θαῦμα τῆς ἀρετῆς,
μετὰ τῆς φιλοσόφου πενίας πλουτούσης καὶ τὴν μετάδοσιν, ἐπεὶ καὶ Παῦλος* τὰς χεῖρας
οὐ ταῖς ἑαυτοῦ χρείαις μόνον, ἀλλὰ καὶ τοῖς οὖσι μετ' αὐτοῦ διακόνοις* ἀνακηρύττει,
πρὸς ὃ παράδειγμα βλέπων ὁ ἀποστολικὸς ἐκεῖνος ἀνὴρ (οὐ πολὺ δὲ ἴσως εἰπεῖν ὅτι
καὶ ἀπόστολος) ἑαυτόν τε πρὸς τοῦτο κάλλιστα ἤσκει καὶ τοὺς ἑαυτοῦ ἐξεπαίδευε, καὶ
νῦν ἔστιν ἰδεῖν μετὰ τῶν ἄλλων καλῶν καὶ τοῦτο | παρ' αὐτοῖς σπουδαζόμενον, 312[2]
τὴν τῶν χειρῶν ἐργασίαν, ὅσον μόνον ταύτην μὲν εἶναι πάρεργον, τὸ δ' ἀληθὲς ἔργον
ἕτερον, τὴν διὰ πάσης ἰδέας λειτουργίαν τοῦ θείου καὶ θεραπείαν, οὐκ οἶδ' εἴ που ἄλλοθι
μᾶλλον ἢ ἐνταῦθα κατορθουμένην, ὡς ἂν αὐτοῖς ἄρτιον καὶ πανταχόθεν πλῆρες καὶ
τέλειον τὸ ἀγαθὸν ᾖ, ἔκ τε τῶν σωματικῶν ἱκανῶς ἔκ τε τῶν πνευματικῶν δαψιλῶς
εἰς τὸν ἀπαρτισμὸν συμπληρούμενον. [24] τοιαύτη μὲν οὖν ἡ θαυμαστὴ τοῦ μεγάλου
νομοθεσία καὶ πολιτεία, τοιοῦτος δὲ καὶ ὁ νομοθέτης ὁ τὸ μέγα τοῦτο καὶ θεῖον πολί-
τευμα συστησάμενος καὶ κοινὴν ἐμπορίαν τοῖς εἰς ψυχὴν κερδαίνειν ἐπειγομένοις κατα-
λιπεῖν αὐτὸ φιλοτιμησάμενος, ὃ καὶ μόνον ἂν ἤρκεσεν ἱκανὸν γενέσθαι τεκμήριον τῆς
τοῦ ἀνδρὸς ἀρετῆς, καὶ ὅπως μὲν αὐτῷ θεὸς ἔμελεν, ὅπως δὲ αὐτὸς θεῷ πάλιν, τῷ
δοξάζοντι τοὺς δοξάζοντας* καὶ τοὺς τιμῶντας οὕτως ἀντιτιμῶντι.

[25] οὐ μὴν ἀλλ' ἐπεὶ καὶ τῶν ἐπ' αὐτὸν ἐκεῖθεν ῥυέντων χαρισμάτων τὸ πλῆθος
ἀνὰ στόμα τοῖς πολλοῖς περιφέρεται, οἷς καὶ μᾶλλον φιλεῖ πως ἐγείρεσθαι τὰ ὦτα τοῖς
φιληκόοις, πρὸς τὴν τῶν καινοτέρων ἀ|κρόασιν ἐπιεικῶς λιχνευόμενα, φέρε καὶ 313[1]
ἡμεῖς νῦν ὀλίγα τῶν τοῦ ἀνδρὸς θαυμασίων εἰς τὴν κατ' αὐτὸν διήγησιν παραλάβωμεν,
καὶ ταῦτα διὰ βραχέων ὡς μάλιστα, ἵνα μὴ τῷ τῶν ἀκροατῶν φιλοκαίνῳ ζητοῦντες
χαρίσασθαι, λάθωμεν αὐτοὺς ἀποκναίσαντες τῷ μήκει τοῦ λόγου. [26] ἔστι δὲ τὸ πρῶτον
καὶ μέγιστον ἐν ἐκείνοις ἡ περὶ τὸ διορατικὸν (εἴτουν θεωρητικόν, ὡς ἂν εἴποι τις) ἕξις
αὐτοῦ καὶ τελείωσις, ᾧ τὸ πρακτικὸν ἐπεσφράγισε, δαψιλεστέραν τὴν ἄνωθεν ἔλλαμψιν*
εἰκότως πλουτήσας διὰ τὴν τῆς ψυχῆς καθαρότητα καὶ τὰ παραδείγματα τούτου.

[27] Θέρους ἦν ὥρα, καὶ μεσημβρινὸς ὁ καιρός· προέφθασαν οὖν οἱ ὀφθαλμοὶ τοῦ
ὁρῶντος, προέφθασε δὲ καὶ αὐτὸς εὐθὺς καὶ ἐκέκραξεν ἐν ἀωρίᾳ τοιαύτῃ ἐκκλησίαν
κηρύττων τοῖς ἀδελφοῖς. ἐπεὶ δὲ συνέδραμον (ὡς εἰκός) ταχὺ σὺν ἐκπλήξει πρὸς τὸ πα-
ράλογον (οὔπω γὰρ δὴ καιρὸς τῶν ἑσπερινῶν ὕμνων ἦν), Δῶμεν, ὦ τέκνα καὶ ἀδελφοί,
φησί, δῶμεν ἅμα δόξαν θεῷ, τῷ παρὰ πᾶσαν ἐλπίδα σώσαντι νῦν ἐκ βυθοῦ θαλάσσης
τὸν δεῖνα, προστεθεικὼς καὶ τὸ ὄνομα. | [28] ταῦτ' εἰπών, οὐδὲν ἄλλο, πλὴν ἢ 313[2]
μόνον θαυμάζοντας ἐπὶ τὴν σύναξιν ἦγεν. οὐ πολλαὶ τὸ μέσον ἡμέραι, κἀκεῖνος ἐλαύνων
εἰς τὴν μονὴν ἐξαίφνης εἰσέπεσε, τὸν σωτῆρα, τὸν ῥύστην, τὸν ζωοδότην λαμπρᾷ βοῶν
τῇ φωνῇ καὶ τῶν ἱερῶν ἐκείνων ποδῶν ἀμφοτέραις ὡς εἶχε θερμότητος καὶ τάχους,
ἐπειλημμένος, οὐ πρὶν ἀνῆκεν οὐδ' ἐξανέστη, καίτοι παρὰ πάντων ἐκβιαζόμενος, ἕως
δάκρυσιν ἅμα πᾶν τὸ κατ' αὐτὸν δρᾶμα τοῖς παροῦσιν ἐξετραγῴδησεν, ὅπως τε κατὰ

23 Corinth α 4, 12 | 23 διακόνοις C[1], διακόνους fortasse voluit C[2] *Studemund* | 25 Regn α 2, 30 |
26 ἔλλαμψιν C[2], ἔλαμψιν C[1]

πρόσταγμα βασιλικὸν τὸν ἀστακηνὸν πλέοι κόλπον καὶ ὡς κλύδωνι δεινῷ περιπέσοι, ὑφ' οὗ τῇ νηῒ συγκαταβαπτισθεὶς μετὰ τῶν συμπλόων καὶ γεγονὼς ὑποβρύχιος, ἤδη δὲ καὶ δόξας βιαίως ἐναποπνεῦσαι τοῖς ὕδασιν, ὄψιν ἴδοι γλυκεῖαν καὶ φωνῆς ἀκούσοι ποθεινοτάτης, θαρρεῖν τε κελεύοντος αὐτῷ τοῦ πατρὸς καὶ χεῖρα σωτήριον ὀρέγοντος ἅμα, ἧς καθ' ἅπερ ἀγκύρας ἱερᾶς ἐξεχόμενος, Πέρα πίστεως, ἔφη, πέρα προσδοκίας ἁπάσης, παντὸς λόγου κρείττονι τρόπῳ κακῶν ἀπαθὴς ἐπὶ τὸ ξηρὸν ἐξεβράσθην. καὶ ἰδοὺ τὰ σῷστρα καὶ χαριστήρια | σοὶ τῷ σώσαντι, πάτερ, ἀποδώσων πάρειμι νῦν. 314[1]
[29] παρεσημάνθη δὴ τοῦ συμπτώματος ὁ καιρὸς πρὸς τὸν τῆς προρρήσεως, καὶ ὁ αὐτὸς εὑρεθείς, τῷ πεπονθότι τε καὶ τοῖς προακούσασι τὴν ἴσην ἔκπληξιν ἐνεποίει.

[30] τοιοῦτον μὲν ἓν τῶν τοῦ μεγάλου θαυμάτων, εἴγε καὶ ἕν, ἐπειδὴ καὶ πρόγνωσιν ἔχει καὶ προαγόρευσιν καὶ τὴν πρὸς ἀνέλπιστον σωτηρίαν ἀνθρώπων ὑπεράνθρωπον* δύναμιν· ἕτερον δέ, μᾶλλον δὲ ἕτερα· δεῖ γὰρ ἤδη συντέμνειν, καὶ ὡς ἓν διηγεῖσθαι τὰ πολλά τε καὶ παραπλήσια, κἂν ἐν διαφόροις ἕκαστον αὐτῶν γεγόνει καιροῖς.

[31] Ἀδελφοὶ τῆς ἱερᾶς ἀγέλης ἐκείνης ἀποφοιτῶντες, ἔνιοί τε κατ' ἰδιάζουσάν τινα χρείαν ὀκνηρότερον εἶχον πρὸς τὴν ἐπάνοδον. ἐπεὶ δὲ ὁ μὲν ποιμὴν πολλάκις ἀνεκαλεῖτο καὶ διαμέλλοντας ἤπειγεν, οὐκ εὐπρεπὲς τὸ πρᾶγμα καλῶν οὐδὲ συμφέρον τοῖς οὕτως ὑπὲρ τὸ δέον λειποτακτοῦσιν, οἱ δὲ προφάσεις ἄλλοτε ἄλλας ἐν ἁμαρτίαις προφασιζόμενοι τὴν ὑποστροφὴν ἀνεβάλλοντο, οὐκ ἐν παροιμίαις ἔτι ὁ ὅσιος, ἀλλὰ διαρρήδην αὐτοῖς τὴν τελευτὴν τοῦ βίου προυσήμαινεν, εἰ μὴ θᾶττον ὡς ἔχουσι, πρὸς ἤθη τὰ ἑαυτῶν ἐπα|νέλθοιεν. [32] οὐκ ἔπειθε προλέγων, ἀλλ' ἔπειθε δεικνὺς τὰς 314[2]
προρρήσεις ἀποβαινούσας· πάνυ γὰρ βραχὺ τὸ ἐντεῦθεν, καὶ ὡς ὁ μέγας ἠπείλει, οἰκτρότατα κατέστρεφεν ἕκαστος, τῆς ἀπειθείας ἐπίχειρα τὸν ἔξω τῆς αὐλῆς κυρίου εὑρίσκων ἐπονείδιστον θάνατον. τοιοῦτος μὲν οὖν ὁ βλέπων, ὁ δυνατὸς δὲ πηλίκος;

[33] Περὶ τινὰς εἶχον οἱ τῆς μονῆς ἀναγκαίας οἰκοδομάς. λίθος οὖν ὑπὸ μηχανήματος κινούμενος παμμεγέθης, ἐπεὶ τὸ μηχάνημα τῷ βάρει συνέτριψε, μετ' ὀξείας* ῥύμης ἐφέρετο λυθεὶς κατὰ τοῦ πρανοῦς καὶ ὑπὲρ κεφαλῆς ὅσον οὔπω τοῖς οἰκοδόμοις ἔμελλεν ἐμπεσεῖσθαι. μέγιστος δὴ φόβος αὐτίκα πρὸς τὸ δεινόν, καὶ κραυγὴ παρὰ πάντων σὺν ἀπορίᾳ, ἀλλ' ὁ πατὴρ παρὼν οὐκ ἠπόρει. χεῖρες γὰρ εὐθὺς ἐπὶ θεὸν ἐκτενεῖς, χεῖρες καθαραί τε καὶ ἅγιαι, καὶ δάκρυσι σύγκρατος ὁσία εὐχή, ἐπίκλησιν ἔχουσα τῆς ἁγίας τριάδος, καὶ τὸ κακὸν — ὢ τοῦ θαύματος! ὢ τῆς πάντα δυναμένης εὐχερῶς ἀρετῆς! — ἔστη τε παρὰ χρῆμα, καὶ τὸν στήσαντα τρανῶς διεσήμανεν· ὁ γὰρ λίθος καθ' ἅπερ εὐλαβηθεὶς τὸν ἀνείργοντα εἰς τοὐπίσω τε ἀνε|κρούσθη καὶ τῆς φορᾶς παυσά- 315[1]
μενος ἔστη, μαρτυρῶν εἰς ἔτι καὶ νῦν τὴν θαυματουργήσασαν δύναμιν, ἐπεὶ φοβερός ἐστι καὶ ἔτι τοῖς ὁρῶσιν οὐχ ἧττον, ἐν ὀλισθηρῷ καὶ ἀποκρήμνῳ παντάπασιν οὐ κεῖσθαι δοκῶν, ἀλλ' οἷον ἀπῃωρῆσθαι καὶ τοῖς κάτω βαδίζουσιν ὕπερθεν ἐπικρέμασθαι καθ' ἅπερ ἄλλος τις μυθικὸς καὶ ταντάλειος.

[34] ὅσης δὲ μετεῖχεν αὐτῷ καὶ αὐτὰ τὰ πάρεργα τῶν χειρῶν εὐλογίας!

[35] Ἀμπελῶνος ἦν ἐπιμέλεια τοῖς εἰς τοῦτο τεταγμένοις τῶν μοναχῶν· καὶ οἱ μὲν εἰργάζοντο φιλοπόνως, ὁ δ' αὐτοῖς ἐφεστὼς καὶ παρεπόμενος ἅμα, κόκκους λεληθότως ὀσπρίων ἐρρίπτει κατὰ τῆς γῆς, τοῖς ποσὶν ἠρέμα καταχωννύων. τὸ καταβληθὲν μὲν

30 ὑπὲρ ἄνθρωπον codex | 33 ὀξείας C[2], ὀξίας C[1]

οὖν οὐδ' εἰς δέκατον ἐξικνεῖτο μέρος μεδίμνου, τὸ δ' ἀποδοθὲν ἐν καιρῷ — τίς, θεὲ
τῶν δικαίων, λαλήσει τὰς δυναστείας σου*; — εἰς ὅλους τριάκοντα μεδίμνους συνεποσοῦτο.

[36] Τοιαῦτα πολλὰ τῶν τοῦ ἀνδρὸς τεραστίων κατὰ σχολὴν ἄν τις ἔχοι φιλαλήθως
ἀπαριθμεῖσθαι, οὐκ ἐξ ἀκοῆς ἀναλέγων, ἀλλ' αὐτοὺς ἐκείνους τοὺς ἕκαστα τούτων ὄψει
παραλαβόντας εἰς ἀκριβεστά|την βεβαίωσιν παράγων τῶν λεγομένων, ἐπειδήπερ 315²
καὶ μέχρι βασιλέων αὐτῶν ἡ περὶ τούτων ἔφθασε φήμη, λαμπρυνούσης τὸν ἐργάτην τῆς
ἀρετῆς καὶ (ὥσπερ νόμος αὐτῇ) ἐπὶ μέγα δόξης αἰρούσης. [37] οἷς τοσαύτην αἰδῶ καὶ
τιμὴν περὶ τὸν ἅγιον ἐνεποίησεν, ὡς τά τε ἄλλα κρείττονα τούτοις ἢ κατὰ ἄνθρωπον
νομισθῆναι τὸν ἄνδρα, καὶ τὸ θεῖον ἔργον αὐτοῦ, τὸ καινὸν τοῦτο λέγω καὶ σεπτὸν
φροντιστήριον, βασιλικῆς προνοίας τυχεῖν, πρός τε τὴν δαπάνην συναιρομένης καὶ ἀπο-
τροπὴν αὐτῷ βραβευούσης βάρους παντός, δηλαδὴ τῶν ἔξωθεν τούτων, οἷς ἀεὶ καὶ νῦν
μάλιστα τὰ πάντα δονεῖται καὶ δι' ὧν ἡ ἀνθρωπίνη ζωὴ παρὰ τῆς ἐπηρείας λυμαί-
νεται. [38] εἰς τοσοῦτον μεγέθους ἤρθη καὶ θαύματος ἡ δόξα τῶν τοῦ μεγάλου κατορ-
θωμάτων, καὶ οὕτως ὁ βίος αὐτῷ εἰς πᾶσαν μικροῦ τὴν οἰκουμένην ἐξέλαμψεν.

[39] Οἷος δὲ καὶ ὁ θάνατος (τί γὰρ ἂν παρατείνοιμεν ἐπὶ πλέον τὸν λόγον;), ὡς θαυ-
μαστὸς τῷ ὄντι κἀκεῖνος, καὶ τοιαύτης ζωῆς ὡς ἀληθῶς ἄξιος· ἐνεργὸν κἀνταῦθα τὸ χάρισμα
τῇ κεχαριτωμένῃ ψυχῇ, μήπω γοῦν τινὸς | ἀνωμάλου τὸ σῶμα παρενοχλοῦντος μηδ' 316¹
ἴχνους μαλακίας ὑποφανέντος, αὐτὸς ὅσον οὔπω τὴν τελευτὴν αὐτῷ προεῖπεν ἐγγίζειν·
ἠξίου δὴ καὶ αὐτὸς τὸ ἐπιβάλλον μέρος, εἴπερ τι, τῶν τῇ μονῇ προσόντων μεταλαβεῖν,
ἵν' ἐφόδιον (φησίν) ἔχοιμι πρὸς τὴν ἐκεῖ μετοικίαν. ταχὺ δὲ τῶν πενήτων ἐκείνων
πλουσίων εἰς μέσον τὰ πάντα προθύμως συνενεγκάντων (οὕτω γὰρ πρὸς εὐπείθειαν
ἦσαν ὑπ' ἐκείνου πάλαι γεγυμνασμένοι), διεδόθη κατὰ σπουδὴν τοῖς περιοίκοις τὰ πρὸς
ἡμίσειαν. εὐτελέστατα δ' ἦσαν οἷα εἰκὸς καὶ φαυλότατα πάντη σκεπάσματα καὶ σκευάρια,
κἀκεῖνα πρὸς ὑποδοχὴν καὶ θεραπείαν ξένων ἀφωρισμένα. ἔτι δὲ καὶ ὅσα τῶν ἀναγ-
καίων εἰς ἀποτροφὴν αὐτοῖς προαπέκειτο· καὶ ὁ φιλόπτωχος ὅμως οὐδὲ τούτων ἀπῆλθε
πρὸς ἔλεον ἀκοινώνητος. [40] τρεῖς ἐντεῦθεν ἡμέραι, καὶ ἀναστὰς πρωϊαίτερον, τοὺς
οἰκίσκους περιῄει τῶν ἀδελφῶν, ὁμοῦ τε καὶ* κατ' ἰδίαν ἐντυγχάνων αὐτοῖς καὶ παρὰ
τοὺς πόδας ἑκάστῳ προκυλινδούμενος ὁ τύπος | τῆς ὄντως ὑψοποιοῦ ταπεινώσεως 316²
εὐχὴν παρὰ πάντων καὶ συγγνώμην ᾔτει τῶν ἐπταισμένων. τῶν δὲ σὺν αἰδοῖ τῇ προση-
κούσῃ καὶ εὐλαβείᾳ τὸν πατέρα περιεπόντων ἀσπασμοῖς τε καὶ δάκρυσι καὶ ταῖς εἰς
ἔδαφος[sic] ἀντικατακλίσεσι τὸ εἰκὸς ἐκπληρούντων, ἡ μεσημβρία παρῆλθεν. [41] ἔνθα
δὴ μάλιστα πολύς τις ὁ φιλόστοργος ἦν, τροφῆς μετασχεῖν παρακαλῶν ἕκαστον, καὶ
ἀξιῶν μὴ συγκάμνειν ἐπὶ πλέον αὐτῷ ὡς οὐκ ἔτι περὶ τὰ κοινὰ πονουμένῳ κατὰ τὸ
ἔθος, ἀλλὰ νῦν γε περὶ τὸ ἴδιον ἀναγκαίως ἀσχολουμένῳ καὶ μὴ διοχλεῖν βουλομένῳ
τοὺς οἰκείους εἰς τὰ οἰκεῖα. [42] οἱ μὲν οὖν ἀντεῖχον δυσφοροῦντες ἐπὶ πολύ, ὁ δ'
ἐνέκειτο πλέον ἐκβιαζόμενος, ἕως πάντα ποιοῦντι μικρόν τι παραχωρήσαντες συνέδραμον
αὖθις μετὰ σπουδῆς παρὰ χρῆμα καὶ καταλαβόντες τὸν ἅγιον ἐκτενέστερον προσευχόμενον
διατραπέντες ὑπέστησαν, ἄχρις ὅτου ποτὲ τῆς εὐχῆς ἐκεῖνος παυσάμενος, τοὺς μὲν ἐπέτρεπε
ψάλλειν, αὐτὸς δ' ἀνακλιθεὶς πῶς ἂν εἴποι τις ἠρέμα καὶ προσηνῶς καὶ τοὺς πόδας
ἐξάρας, ἐν εἰρήνῃ κατὰ τὸ γεγραμμένον* ἐκοιμήθη καὶ ὕ|πνωσεν, ὕπνον ὄντως, 317¹

35 Psalm ρε 2 | 40 καὶ om C[1], add C[2] | 42 Genes 49, 33

οὐ θάνατον, ὕπνον, τὸν πρέποντα δικαίοις ὡς ἀληθῶς. καὶ προσετέθη τούτῳ τῷ τρόπῳ πρὸς τοὺς πατέρας αὐτοῦ ὁ ἡμέτερος οὗτος ἐν ἁγίοις πατὴρ καὶ υἱὸς τῆς τοῦ θεοῦ βασιλείας, πρὸς ἣν οὕτως ἵλεως ἐξεδήμησεν, ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως* σπεύσας καὶ πρὸς τὴν ἐκεῖθεν ἀνάπαυσιν ὑπερφυῶς μεταβὰς ἐκ τῆς ἐνταῦθα κακοπαθείας, ὡς οὐχ ἧττον εἶναι τὸ τέλος αὐτῷ ἢ τὸν βίον ἀξιοθαύμαστον.*

[43] *Τοιαύτη μὲν Δωροθέῳ ἡ ἐπὶ γῆς παροικία, οὕτως αἱ πράξεις καὶ τὰ ἔργα θεοφιλῆ, οὕτω δαψιλῆ τὰ χαρίσματα, τοιαύτη δὲ πάλιν καὶ ἡ ἐντεῦθεν μετάστασις ἐπιεικῶς ἀξία καὶ πρέπουσα καὶ οἷον κορωνίς τις χρυσῆ τῇ τοῦ ἀνδρὸς πολιτείᾳ κατὰ λόγον ἐπιτεθεῖσα· οὗ ταῖς πρὸς τὸ θεῖον πρεσβείαις, ᾧ καλῶς εὐηρέστησεν, εὐαρεστεῖν εὐχόμεθα καὶ αὐτοί, κατά γε δηλαδὴ τὸ ἡμέτερον καὶ τὴν καθ' ἡμᾶς λέγω δύναμιν, ἐπεὶ καὶ τοῖς ἐλαχίστοις οἶδεν ἡ ἀγαθότης χαίρειν ὑπὸ φιλανθρωπίας καὶ χεῖρα παρέχειν πρὸς τὰ κρείττω ταῖς προθυμίαις. δυνατὸς δὲ ὁ ἅγιος τὸ λεῖπον | ἀποπληροῦν, ἐπεὶ* 317[2]
κἀνταῦθα χρηστότης αὐτῷ τῶν ἀγαθῶν τὸ κεφάλαιον. [44] *κἀκεῖσε νῦν πάλιν οὐκ ἀπιστοῦμεν ὡς παραμένει μετά τινος (εὖ οἶδα) προσθήκης οὐκ ἀγεννοῦς, ὅσῳ καὶ μάλιστα τῇ τῶν καλῶν πηγῇ νυνὶ πεπλησίακε, παρ' ἧς τὸ χρηστὸν ἀρυσάμενος πλουσίως καὶ δαψιλῶς, εὖ τε δεδούλευκεν ἤδη πολλοῖς καὶ πεποίηκεν, ἔνθεν εἰς τοσοῦτον καὶ δεδικαίωται, καὶ ἔτι μᾶλλον ποιήσει καὶ τὸ φιλάγαθον ἐπιδείξεται περὶ πάντας ἡμᾶς τοὺς περιλοίπους ἔτι καὶ ζῶντας καὶ τῷ τόπῳ τούτῳ τῆς βασάνου τέως ἐνδιατρίβοντας, ἕως καὶ ἡμᾶς ὁ ἐκείνου μισθαποδότης πρὸς τὴν ἐκεῖ καλέσει κατάπαυσιν — εἴη δὲ εἰπεῖν καὶ ἀνάπαυσιν —, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

42 Matth 13, 38 | 42 Philipp 3, 14

Petri Lambecii Commentarii de Bibliotheca Vindobonensi. Ed. altera studio et opera Adam. Franc. Kollarii. Tom. V. Vindob. 1778. Fol.

66—74.

| 66 | CCXI.

Ducentesimus undecimus Codex manuscriptus *Theologicus Graecus* est *chartaceus* mediocriter antiquus in folio, scriptus manu [2]*Andreae Darmarii Epidauriotae*, constatque foliis *quadraginta sex* et ad V. Cl. *Sebastianum Tengnagelium*, ut ipse solita propriae manus inscriptione testatur, olim pertinuit. Continentur eo *Ioannis Metropolitae Euchaitorum Poëmata sacra Jambica*, quorum *Titulus generalis*, cum annexa Vitae ipsius Epitome, est talis: *Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν ΙΩΑΝΝΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΥΧΑΙΤΩΝ Ὑπόμνημα. Ὁ Βίος. Οὗτος ἦν ἐπὶ τοῦ Βασιλέως Ῥωμαίων Κωνσταντίνου τοῦ Μονομάχου καὶ Ζωῆς τῆς Βασιλίσσης. ἔτη δὲ τὸ ἀπὸ τότε συντείνει ἑξήκοντα τέσσαρα πρὸς τοῖς πεντακοσίοις. ἀνὴρ δὲ σοφώτατος καὶ ἁγιώτατος ὢν ξυνέγραψε πλείους τῶν λόγων, καὶ ἐπιστολὰς, καὶ στίχους* | 67 | *ἰαμβικοὺς, καὶ ἄλλα πολλὰ λόγου καὶ χάριτος ἄξια, καὶ πολλοὺς τῶν ἀνθρώπων ἐξεπαίδευσε, πεπληρωμένος ὢν τῆς τοῦ παναγίου πνεύματος χάριτος.* Sequitur deinde *Prooemium Jambicum totius Libri* hoc modo: *Πρόγραμμα εἰς τὴν ὅλην βίβλον: στίχοι ἰαμβικοί.*

Πάλαι διδαχθεὶς ὡς ἄριστον πᾶν μέτρον,
Τὰ τ' ἄλλα πάντα μετριάζω καὶ λόγους· etc.

2 *Vide Lib. IV. horum Commentarior. pag.* 401. *et* 479.

Ipsorum autem *Poëmatum Inscriptiones et principia* sunt haec: I. Ἐις πίνακας μεγάλους τῶν ἑορτῶν ὡς ἐν τύπῳ ἐκφράσεως. Ἐις τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν [sic]; Τὶ τοῦτο; φῶς ἤστραψεν ὡς ἐξ αἰθέρος, etc. II. Ἐις τὴν ἁγίαν τοῦ Χριστοῦ βάπτησιν [sic]. Ἀνὴρ κομήτης, αὐχμὸν ἄγριον τρέφων, etc. III. Ἐις τὴν ἁγίαν τοῦ Χριστοῦ μεταμόρφωσιν. Φρίξον, ὁράτα, τὴν ὁρωμένην θέαν, etc. IV. Ἐις τὴν ἔγερσιν τοῦ ἁγίου Λαζάρου. Ὁ τῆς γραφῆς νοῦς, ἀλλ' ἄκουε καὶ βλέπε, etc. V. Ἐις τὰ βάια. Ἄνοιγε τὰς σὰς, ὦ θεοῦ πόλις, πύλας etc. VI. Ἐις τὴν ἁγίαν τοῦ Χριστοῦ σταύρωσιν. Νὺξ ταύτα, καὶ γὰρ ἥλιον κρύπτει σκότος. VII. Ἐις τὴν Θεοτόκον δακρύουσαν. Ὦ τοῦ πάθους Δέσποινα, καὶ σὺ δακρύεις; etc. VIII. Ἕτεροι. Τῶν ματαίων καὶ κενῶν φρονημάτων etc. IX. Ἐις τὴν εἰκόνα τῶν τριῶν ἁγίων, ἣν ἐδωρήσατο τῷ ἁγίῳ Γρηγορίῳ. Ἐμοὶ τί μεῖζον τῶν ἐμῶν διδασκάλων, etc. X. Ἐις τὴν εἰκόνα τοῦ Βασιλέως καὶ τοῦ Πατριάρχου. Οἱ προκριθέντες τῇ σοφῇ Θεοῦ κρίσει, etc. XI. Ἐις τὸν προφήτην Δανιήλ. Θῆρες λέοντες ἦσαν ἐχθροί σοι πάλαι, etc. XII. Ὑπὲρ ἑαυτοῦ πρὸς Χριστόν. Πολλὴ χάρις σοι τῶν | 68 | λόγων, Θεοῦ Λόγε etc. XIII. Ἄλλοι περὶ ἑαυτοῦ πρὸς τὸν Χριστόν. Πολλὴ χάρις σοι τῶν λόγων, Θεοῦ Λόγε etc. XIV. Ἀμοιβαῖοι εἰς τὸν ἀσώματον. Τίς τὴν ἄμορφον ἐξεμόρφωσε φύσιν; etc. XV. Ἕτεροι εἰς τὸν αὐτόν. Ἔχουσα θερμὸν προστάτην ἐνταῦθα σε etc. XVI. Ἐις τὴν δέησιν ὑπὸ τοὺς πόδας τοῦ Χριστοῦ κειμένου τοῦ Βασιλέως· ὡς ἐκ τοῦ Βασιλέως. Σὺ δεσπότην με τῶν σεαυτοῦ κτισμάτων etc. XVII. Ὡς ἐκ τῆς θεοτόκου. Μῆτερ σε τέκνον ἱκετεύει παρθένος etc. XVIII. Ὡς ἐκ τοῦ Προδρόμου· Ἄνθρωπος ἦν εὐσπλαγχνε, συγγνώμην ἔχε etc. XIX. Ὡς ἐκ τοῦ Χριστοῦ. Αἰδώς τε μητρὸς καὶ παράκλησις φίλου etc. XX. Ἄλλοι εἰς τὸν Σωτῆρα ὡς ἐκ τοῦ Βασιλέως. Τῶν ἀστάτων μὲν οὐδὲν αἰτήσαντί μοι etc. XXI. Ἐις Βασιλεῖς στεφανοῦντας ὑπὸ Χριστοῦ· Μη χεὶρ κραταιὰ τοὺς κραταιοὺς δεσπότας etc. XXII. Ἐις τὸν τοῦ Βασιλέως τάφον ἐπιτύμβιοι. Ὄναρ τὰ θνητὰ πάντα καὶ μαθαιότης [sic] etc. XXIII. Ἕτεροι ὡς ἐκ τοῦ Βασιλέως. Ἔδει με, Χριστὲ, μηδὲ φῶς ἰδεῖν βίου etc. XXIV. Ἕτεροι. Οἴμοι τὸ κέρδος τοῦ ταλαιπώρου βίου etc. XXV. Ἕτεροι. Σὺ Βασιλεὺς ὕψιστε καὶ σὺ Δεσπότης etc. XXVI. Ἄλλοι. Δαβὶδ μελωδῶν εὐσεβῆ νόμον γράφει; XXVII. Ἐις χρυσόβουλον τῆς λαύρας. Χρυσοῖς γραφῆναι γραμμάτων ἔδει τύποις etc. XXVIII. Ἐις τὴν ἑαυτοῦ οἰκίαν, ὅτε διαπράσας ταύτην ἀπέλιπεν. Μὴ δυσχέραινε συ πρὸς ἡμᾶς οἰκία etc. XXIX. Ὅτε τὴν οἰκίαν μετέλαβεν. Ἔχω πάλιν σε καὶ βλέπω τὴν φιλτάτην etc. XXX. Ἐις τοὺς ἁγίους Πατέρας ἱστορημένους, ἐν οἷς ἦν καὶ Θεοδώρητος. Ἀνιστορή | 69 | σας τοὺς σοφοὺς διδασκάλους etc. XXXI. Ἐις τὸ τυπικὸν τῆς λαύρας. Δέδοικα μήπως δεσπίσας [sic] ἄλλοις τάδε etc. XXXII. Ἐις τὸν διαῤῥήξαντα τὸ οἰκεῖον χειρόγραφον. Τὴν πάρδαλιν μὲν δυσεμενῶς [sic] ἔχειν λόγος, etc. XXXIII. Ἐις τὸ αὐτὸ χειρόγραφον συγκοληθὲν [sic] πάλιν. Πιστευέτω πᾶς τῇ νεκρῶν ἀναστάσει, etc. XXXIV. Ἐις τὰς ἐγγράφους λοιδορίας τὰς κατὰ τοῦ Βασιλέως καὶ τοῦ Πατριάρχου. Ἄνθρωπε ῥίψον, ἃ κρατεῖς τε καὶ βλέπεις, etc. XXXV. Ὅτε πρῶτον ἐγνωρίσθη τοῖς Βασιλεῦσι. Πάλαι μὲν ἦν μοι Δέσποτα στεφηφόρε etc. XXXVI. Ἐις σταύρωσιν χρυσῆν. Κἀνταῦθα Χριστὸς ἐστὶν ὑπνῶν ἐν ξύλῳ, etc. XXXVII. Πρὸς τὸν ἐπιλαβόμενον τοῦ ἰάμβου, ὡς τῆς προθέσεως οὐ καλῶς προσκειμένης. Ἐι Χριστὸν ἐχθροῖς ὤνιον μιαιφόνοις etc. XXXVIII. Πρὸς τοὺς ἀκαίρως στιχίζοντας. Ἄριστον εἶναι πᾶν μέτρον προεῖπέ τις etc. XXXIX. Ἐπιτύμβιοι εἰς τὸν φίλον Μιχαὴλ τὸν Διάκονον. Ἡ τῆς μεγίστης ἡδύτης ἐκκλησίας etc. XL. Ἐπιτύμβιοι εἰς τὸν πρωτεύοντα. Ἓν ἦν τὸ κοσμοῦν τὸν ταλαίπωρον βίον etc. XLI. Ἐπιτύμβιοι εἰς τὸν χαρτοφύλακα. Πένθους ὁ καιρὸς, συμφορᾶς τὸ χωρίων [sic], etc. XLII. Ἐις τὸν βεστάρχην Ἀνδρόνικον ἐπιτύμβιοι. Ἐκεῖνος οὗτος ὁ χθὲς ἐν βίῳ μέγας etc. XLIII. Ἕτεροι εἰς τὸν αὐτόν. Ἐι καὶ σοφοὶ θνήσκουσιν, τίς λόγων λόγος; etc. XLIV. Ἐις τὸν ἑαυτοῦ τάφον. Θαύμαζε μηδὲν, ἀλλὰ φρίσσε τὴν θέαν, etc. XLV. Ἕτεροι. Ζωῆς ἀπελθὼν φάσμα, καὶ χθὲς ἡμέρα etc. XLVI. Ἐις πολυάνδριον. Ἄστοργε μῆτερ, ὦ πικρᾶς ἀσπλαγχνίας etc. XLVII. Ἐπίγραμμα εἰς | 70 | τὸν Πλάτωνα καὶ τὸν Πλούταρχον. Ἐιπέρ τινας βούλοιο τῶν ἀλλοτρίων etc. XLVIII. Ἐις τὴν καθημερινὴν λειτουργίαν τῆς ἁγίας Σοφίας. Οὐκ ἦν δίκαιον, τὴν σκιὰν μὲν τοῦ νόμου etc. XLIX. Ἐις τοὺς ἁγίους Ἀναργύρους. Ἰδοὺ τί τερπνὸν etc. L. Ἐις τὴν κηδίαν τοῦ Χρυσοστόμου καὶ τὴν κατὰ τὸν ἀδελφὸν ἱστορίαν. Τὸν ἄγγελον μὲν ἐν βροτοῖς ὁ πρεσβύτης etc. LI. Ἐις τὸν ἀρχάγγελον Μιχαήλ. Φῶς, πνεῦμα καὶ πῦρ οἴδαμεν τοὺς ἀγγέλους, etc. LII. Ἐις τὸν ἀσπασμὸν Πετροῦ [sic] καὶ Παύλου. Ἐξιστόρει μοι Παῦλε, τὸν μέγαν Πέτρον etc. LIII. Ἐις τὸν Σωτῆρα Χριστόν. Τοὺς οὐρανοὺς ἔχοντα Δέσποτα θρόνον, etc. LIV. Ἐις τὸν ἅγιον Παῦλον ὑπαγορεύοντα, καὶ Λουκᾶν καὶ Τιμόθεον παρεστῶτας καὶ γράφοντας. Ὁ ζῶντα Χριστὸν ἐν μέσῃ ψυχῇ φέρων

etc. LV. Πρόγραμμα ἐις τὸν τῆς κοιμήσεως λόγον. Σοὶ τοῦτο πλεκτὸν ἐξ ἀκηράτου στέφος etc. LVI. Πρόγραμμα ἐις τὸν περὶ τῶν ἀγγέλων λόγον. Κᾂν ἄλλο μεῖζον ἐυποροῦντι προσφέρειν etc. LVII. Ἐις τοὺς λόγους τοῦ Θεολόγου, τοὺς μὴ ἀναγινωσκομένους. Τίς ὁ θρασυνθεὶς πρῶτος ἐιπεῖν τοὺς λόγους etc. LVIII. Πρόγραμμα ἐις τοὺς νόμους. Ὦ κόσμε, κόσμε, τῶν κακῶν τὸ χωρίον, etc. LIX. Ἐις λιτὸν ἐυαγγέλιον ἐνίστορον. Ὦ τῶν ἀπίστων καὶ ξένων θεαμάτων, etc. LX. Ἐις τὴν ἁγίαν τοῦ Χριστοῦ καὶ ζωηφόρον ἀνάστασιν. Σκόπει, σκόπει τὸ θαῦμα τοῦ τεθαμμένου, etc. LXI. Ἐις τὴν ψηλάφησιν. Χριστὸς μαθηταὶ, Χριστὸς ἐστι καὶ πάλιν, etc. LXII. Ἐις τὴν ἁγίαν τοῦ Χριστοῦ καὶ σωτήριον ἀνάληψιν. Ὀυκ ἦν ὁ Χριστὸς σαρκικῶν ἐκ σπερμάτων etc. LXIII. Ἐις τὴν ἁγίαν Πεντικοστήν[sic]. Τὴν ἐσχάτην | 71 | τε καὶ μεγίστην ἡμέραν etc. LXIV. Ἐις τὸν Ἡλίαν τρεφόμενον ἀπὸ κόρακος. Ζηλωτὰ παιδεύθητι μακροθυμίαν, etc. LXV. Ἐις τὴν κατὰ τὸν ἅγιον Παῦλον καὶ τὸν Χρυσόστομον ἱστορίαν. Σίγα[sic] θεατά, καὶ βραχὺν μεῖνον χρόνον, etc. LXVI. Ἐις τὸν ἅγιον Ἰωάννην τὸν Χρυσόστομον. Ἢ γλῶσσαν ἐυρὼν πῦρ πνέουσαν ζωγράφε, etc. LXVII. Ἐις τὸν ἅγιον Γρηγόριον τὸν Θεολόγον. Τί σοι τὸ σύνουν[sic] βλέμμα βούλεται πάτερ etc. LXVIII. Ἐις τὸν μέγαν Βασίλειον. Ἐπιπρέπει τις σεμνοποιὸς ὠχρότης etc. LXIX. Ἐις τοὺς τρεῖς ἅμα. Τριὰς μὲν ἐυρεν ἰσαρίθμους συμμάχους, etc. LXX. Ἐις τὸν ἅγιον Νικόλαον. Ἀυτὸν Πάτερ σε προσκυνῶ τε καὶ βλέπω, etc. LXXI. Ἐις τὸν ἅγιον Κωνσταντῖνον τὸν ἐν τῷ καμήλῳ. Κόσμῳ νεκρωθεὶς καὶ Θεῷ ζήσας πάτερ etc. LXXII. Ἐις τὰς Δεσπόινας. Δίσσαις Ἀνάσσαις ἀυταδέλφαις Ἀυγούσταις. LXXIII. Ἐν τῇ μνήμῃ τῶν Σεργίου καὶ Βάκχου, ὅτε καὶ δῶρα ἔπεμψεν. Ὁι γειτονοῦντες μάρτυρες τοῖς δεσπόταις etc. LXXIV. Ἐις τὴν ἐν Ἐυχαΐτοις ἐικόνα τοῦ Βασιλέως. Καὶ τὸν κραταιὸν Δεσπότην ΚΩΝΣΤΑΝΤΙΝΟΝ, τῆς γῆς τὸ θαῦμα, τον μέγαν ΜΟΝΟΜΑΧΟΝ, etc. LXXV. Ἐις τὴν θήκην τοῦ τιμίου ξύλου τοῦ Βασιλέως Χριστοῦ. Σταυροῦ πάλιν φώς, καὶ πάλιν Κωνσταντῖνος etc. LXXVI. Ἐις τὸν ἅγιον Θεοφύλακτον. Θεὸς φύλαξ σοι· τοῦτο γὰρ κλῆσιν φέρεις· etc. LXXVII. Ἄινιγμα ἐις πλοῖον ὡς ἐξ ἑτέρου. ζῶον τι πεζὸν, ἀλλὰ νηκτὸν ἐυρέθη etc. LXXVIII. | 72 | Ἐις τὸν τὸ αὐτό δ' ἑτέρως ὡς ἕτερόν τι προβάλλοντα. Ἐδεξάμην σε καινὸν οὐ φέροντά τι etc. LXXIX. Ἐις τὸ δεσποτικὸν ἆιμα, Ἐν ὀυρανοῖς μὲν προσκυνητὰς ἀγγέλους etc. LXXX. Ἐις τὴν Θεοτόκον, ὡς ἐκ[sic] ὕπνῳ ἀπεκαλύφθη. Ὀυκ ἦν καθεύδειν τὴν φιλάνθρωπον κόρην etc. LXXXI. Ἐις τὴν ἀυτήν. Δραμοῦσα τὸ πρὶν ἐξ ἑῴας ἐις δύσιν etc. LXXXII. Ἐις τοὺς δύο ἁγίους Θεοδώρους. Ὡς ἀγχίνους ἦν ὁ γραφεὺς τῶν ἐικόνων etc. LXXXIII. Ἐις τινὰ τιμηθέντα ἐξάιφνης. Μυστογράφος χθὲς ἐυγενὴς νεανίας etc. LXXXIV. Ἐις τάφον. Κοινὸς τριῶν ἐις φιλτάτων ὄντος τάφος etc. LXXXV. Ἐις τοὺς μ' μάρτυρας. Τεσσαράκοντα συμμάχους θείους ἔχω etc. LXXXVI. Ἐις ὕδωρ ῥέον ἐκ τινος πέτρας. Ἔβλυζε καὶ πρὶν ναματῷ[sic] λαφῷ πέτρα etc. LXXXVII. [1]Ἐις τὴν δίκην ναβάρεως χαραγὴν τῶν σχεδόνων. Η Δεσπότου χεὶρ τοῦ σοφοῦ ΜΟΝΟΜΑΧΟΥ etc. LXXXVIII. [2]*ad Imperatorem Constantinum Monomachum.* Πιστὸς Βασιλεὺς, ἐυσεβὴς Ἀυτοκράτωρ, Σεβαστὸς, ὀρθόδοξος ὁ ΜΟΝΟΜΑΧΟΣ· τὸ πρὸς σε φίλτρον οἷον ἐν ψυχῇ φέρω etc. LXXXIX. Ἐις τὸν ἀυτόν. Ἄλλων Βασιλεὺς, σὸς σὲ πιστὸς ὀικέτης, etc. XC. Ἐις ἑαυτόν. Πλουτοῦσι πολλοὶ etc. XCI. Ἐις ἑαυτόν· Ἕλκουσι βαθμοὶ etc. XCII. Παλινωδία πρὸς ταῦτα μετὰ τὴν χειροτονίαν. Ὀυκ ἔστιν ἡμῖν ἀτρεκὴς ὄυτος λόγος etc. XCIII. Ἐις τὴν τοῦ νομοφύλακος νεαράν. Ἀυτὸς σκοπήσας πρᾶγμα κοινῇ συμφέρον etc. | 73 | XCIV. Ἐις τὸν δέυτερον λόγον, τὸν ἐις τὸν προπαιοφόρον[sic]. Μιᾶς ὁ μικρὸς ἔργον ἑσπέρας λόγος etc. XCV. Ὅτε ἀπέστη τῆς συγγραφῆς τοῦ χρονογράφου. Ὁ συγγραφεὺς ψεῦδος μὲν οὐκ ἐιρηκέ πω etc. XCVI. Ἐις τὰ δωρηθέντα, Μηναῖα ἐις Ἐυχαΐτα. Ὕμνων ἐπελθὼν ἡμερησίων βίβλους etc. XCVII. Ἐις τὰ ἀυτά. Ὀυ πολλὰ μὲν, κράτιστα πάντα δ' ἐνθάδε, etc. XCVIII. Ἐις τὰ διορθωτέντα[sic] βιβλία. Καλὴν δεδωκὼς ταῖς βίβλοις ὑπουργίαν etc. XCIX. Ἐις τοὺς ιβ' Ἀποστόλους. Σταυροῖ Πέτρον κύμβαχον ἐν Ῥώμῃ Νέρων etc. C. Ἐις τὸν Ἄγγελον τὸν ἱστάμενον ἔξω τῆς πύλης. Ὀυρανοβάμων πῶς [1]πυραυλεῖς ἐνθάδε etc. CI. Ἐις τὴν βάπτησιν[sic] τοῦ Χριστοῦ στίχοι ἡρωικόι. Μίγνυται ὧδε φύσις etc. CII. Ἐις τινὰ μοναχὸν σιωπῶντα δῆθεν. Σιγᾶς πάτερ etc. Hucusque *Inscriptiones et principia Poëmatum sacrorum Ioannis Metropolitae Euchaitensis.* Quod autem ille sub *Imp. Constantino Monomacho,* ab A. C. 1042. usque ad annum 1054. imperante, floruerit, manifeste apparet

1 *De vera hujus Inscriptionis lectione et interpretatione nondum mihi satis liquet.*
2 *Deest ibi Inscriptio graeca hujus Poëmatii.*
1 *In margine ibidem adscriptum est:* Ἴσως τυραυλεῖς.

non solum ex *Vitae* ipsius supra exhibita brevi *Epitome*, verum etiam ex ipsis illis *Poëmatibus*, utpote in quibus jam memorati *Imperatoris Constantini Monomachi*, | 74 | tanquam synchroni, aliquoties nominatim fit mentio; ideoque supplenda est R. P. *Hippolyti Maraccii Lucensis Bibliotheca Mariana*, ubi de ejusdem Autoris aetate, quasi de re incerta, agitur his verbis: *IOANNES* [2] *EUCHAITARVM Episcopus, natione Graecus, inter Hymnographos Menaeorum insignis: de cujus aetate aut vita R. P. Simon Wangnereck in sua Pietate Mariana Graecorum, Part. I. in Prolegomenis num.* 25. *se nondum quidquam invenisse scribit, quod Viris doctis probare se posse confideret: studium suum erga B. Virginem declaravit scribendo graece In dormitionem Sanctissimae Deiparae Orationem unam, quae manuscripta exstat in Bibliotheca Vaticana: Canones item octo deprecutorios ad Sanctissimam Deiparam secundum octo Echos Graecorum, qui manuscripti exstant ibidem.* Haec *Maraccius*. Caeterum nec silentio praetereundum est, supra enumerata *Poëmata sacra a Ioanne Meursio* sexies citari in *Glossario Graeco-Barbaro*, et quidem velut *jam edita*. Quo autem tempore et loco, cujusque cura et studio editio illa in lucem prodierit, nondum potui indagare (A).

560—564.

| 560 | CCXCIX.

Ducentesimus nonagesimus nonus [2] Codex manuscriptus *Theologicus Graecus* est *membranaceus* pervetustus, perelegans et optimae notae in *folio*, constatque nunc foliis *trecentis septuaginta uno*, et ab *Augerio Busbeckio*, ut ipse solita propriae manus inscriptione testatur, olim fuit comparatus *Constantinopoli*. Continentur eo haec:

Primo, et quidem a fol. 1. pag. 1. usque a fol. 77. pag. 2. [3] *Ioannis* cognomine [4] *Mauropodis* sive *Nigripedis*, primum *Monachi*, deinde autem *Metropolitae* [5] *Euchaitorum*, *Canones paracletici* sive *Cantica consolatoria viginti quatuor ad Christum Servatorem*; quorum unumquodque peculiarem suam habet *Acrostichidem*, quae itidem, ut quaelibet *Ode nona*, nomine *Ioannis* insignita est. *Primus* illorum *Canonum* inscribitur atque incipit hoc modo: *Κανόνες παρακλητικοὶ ἐις τὸν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦ Χριστόν. ποίημα Ἰωάννου μοναχοῦ τὸ ἐπίκλην Μαυρόποδος, ὂυ τὸ ὄνομα ἐντέτακται ἑκάστῃ ἐννάτῃ ᾠδῇ. Κανὼν πρῶτος, οὗ ἡ ἀκροστιχὶς ἄυτη. Ἀπάρχομαί σοι τῶν ἐμῶν, Σῶτερ, λόγων ὁ τάλας Ἰωάννης. Ὠδὴ ά. Ἅπας ὁ πιστέυων ἐς ἐμὲ, Χριστὲ προέφης ἡ ἀυτοαλήθεια* etc.

| 561 | *Secundo*, et quidem a fol. 77. pag. 2. usque ad fol. 83. pag. 1. *alia duo Cantica ad Christum Servatorem sine Acrostichide et nomine Autoris*; quorum *primum* inscribitur atque incipit his verbis: *Κανὼν ἐις τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παρακλητικὸς ἅμα καὶ κατανυκτικός. Ὠδὴ ά. Ὤιμοι, τί κλαύσω,* etc. *secundum* autem hoc modo: *Ἀκολουθία ἐις τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν*

2 *Malim* Euchaitorum *a nominativo plurali neutrius generis τὰ Ἐυχάϊτα. Vide* Niceph Callist. *Hist. Eccles. lib.* 7. *cap.* 44. *et lib.* 16. *cap.* 26. *item Ius Graeco-Romanum Tom. I. pag.* 88.

(A) JOANNES MAVROPVS *Monachus atque inde Metropolita Euchaitensis, seu Euchaniae urbis in Asia minori, percelebris est inter Melodos Graecos, atque in Ecclesiasticis Graecorum libris ingenii ejus ac pietatis monumenta occurrunt. Hujus* JOANNIS, *inquit* FABRICIVS, *Epigrammata jambica carminaque in praecipuorum festorum Patrum pietas*[sic] *in tabulis imagines et historias, ac de aliis* | 75 | *varii generis argumentis prodierunt brevi, paginarum* 73. *libello graece cura* MATTHAEI BVSTI *Etonensis, qui versionem nullam addidit, sed paucas, nec indoctas notas ad calcem voluminis adjunxit. Etonae* 1610. 4. *iisdem typis, quibus* SAVILII CHRYSOSTOMVS *sub idem tempus deinde fuit expressus. Ordinem, quem in MSto Codice reperit, subinde immutasse se* BVSTVS *non diffitetur, quamquam cum* BVSTI *conspirat quoque Vindobonensis, de quo* LAMBECIVS *Lib. V pag.* 29. *cui Etonensis editio fuit ignota. Vide* FABRICII *Bibl. Gr. Vol. VII pag.* 719.

2 *Fuit is olim inter Codices MStos Theologicos Graecos* centesimus quadragesimus primus.

3 *De hujus* Joannis Mauropodis *aetate, vita et scriptis vide plura supra a pag.* 66. *usque ad pag.* 73. *Not. A.*

4 *De significatione hujus cognominis, vide plura Lib.* 1. *horum Commentariorum pag.* 272.

5 *Ita hoc nomen scribendum, nempe* Euchaitorum, *non autem, ut vulgo fit,* Euchaitarum. *Qua de re vide plura supra pag.* 73. *in margine. Similiter etiam Lib.* 1. *horum Commentariorum pag.* 272. *pro* Euchaitarum *legendum est* Euchaitorum.

περὶ νήψεως. Ἰησοῦ γλυκύτατε, ψυχῆς ἐμῆς θυμηδία, etc. *Κανὼν ἤχους β', Ὠδὴ ά. Ἰησοῦ γλυκύτατε Χριστὲ, Ἰησοῦ μακρόθυμε* etc. *Tertio*, et quidem a fol. 83. pag. 1. usque ad fol. 87. pag. 1. *Ioannis Mauropodis*, *Metropolitae Euchaitorum*, *Canon* sive *Canticum ad S. Angelum Custodem*; cujus titulus et principium: *Κανὼν τοῦ Μαυρόποδος εἰς τὸν φύλακα Ἄγγελον, ὃν ἡ ἀκροστιχίς· Τὸν Ἄγγελον μέλπω σε τὸν φύλακά μου, ᾠδὴ μοναχοῦ Ἰωάννου. Ὠδὴ ά. Τὸν ἄγρυπνον φύλακα τῆς ἐμῆς ψυχῆς καὶ προστάτην τῆς ζωῆς μου καὶ ὁδηγὸν*, etc. *Quarto*, et quidem a fol. 88. pag. 1. usque ad fol. 314. pag. 2. ejusdem *Ioannis Mauropodis*, *Metropolitae Euchaitorum*, *Canones* sive *Cantica* [1] *sexaginta septem ad Beatissimam Virginem Deiparam*, quorum unumquodque peculiarem suam habet *Acrostichidem*, et itidem, ut quaelibet *Ode nona*, nomine *Ioannis* insignita est. *Primus* **| 562 |** illorum *Canonum* inscribitur, atque incipit hoc modo: *Κανόνες παρακλητικοὶ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου. ποίημα Ἰωάννου μοναχοῦ τὸ*[sic] *ἐπίκλην Μαυρόποδος, τοῦ ἐν ὑστέροις χρόνοις χρηματίσαντος Ἀρχιερέως Εὐχαΐτων, οὗ τὸ ὄνομα ἐντέτακται τῇ ἀκροστιχίδι ἑκάστης ἐννάτης ᾠδῆς. Κανὼν πρῶτος, οὗ ἡ ἀκροστιχὶς ἅυτη· Ἀπάρχομαί σοι τῶν ἐμῶν λόγων, Κόρη, ὁ τλήμων Ἰωάννης. Ὠδὴ ά. Ἅγιον ἐυρών σε ἱερὸν, ὁ ἐν ἁγίοις ἐπαναπαυόμενος ἅγιος Θεὸς ἡμῶν, ὑπεραγία Θεοτόκε, ᾤκησε* etc. *Quinto*, et quidem a fol. 315. pag. 1. usque ad fol. 355. pag. 1. ejusdem *Ioannis Mauropodis, Metropolitae Euchaitorum*, *Canones* sive *Cantica undecim ad S. Ioannem Baptistam*, *Christi Praecursorem*, quorum unumquodque peculiarem suam habet *Acrostichidem*, quae itidem ut *Ode nona*, nomine *Ioannis* insignita est. *Primus* illorum *Canonum* inscribitur atque incipit hoc modo: *Κανόνες εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον. πόιημα Ἰωάννου μοναχοῦ τοῦ Μαυρόποδος, τοῦ ἐν ὑστέροις χρόνοις χρηματίσαντος Ἀρχιερέως Ἐυχαΐτων, ὃν τὸ ὄνομα ἐντέτακται ἐν ἑκάστῃ ἐννάτῃ ᾠδῇ. Κανὼν πρῶτος, οὗ ἡ ἀκροστιχὶς ἅυτη· Πρῶτον φέρω μέλισμά σοι τῷ Προδρόμῳ, ἔπος Ἰωάννου. Ὠδὴ ά. Πηλίνῃ σε γλώσσῃ ῥυπαρᾷ* etc. *Sexto*, et quidem a fol. 356. pag. 1. usque ad fol. 371. pag. 2. **| 563 |** *variorum Autorum* [1] *varii Canones* sive *varia Cantica Ecclesiastica*: inter quae *nominibus suorum Autorum* expresse insignita sunt, [2] *Theodoriti Canon catanycticus ad Christum Servatorem*, cujus principium: *Παντοκράτωρ Χριστὲ, Πατρὸς ἀνάρχου παῖ μονογενὲς*, etc. *Nicephori Xanthopuli Hymnus encomiasticus in Beatissimam Virginem Deiparam*, inscriptus *Χαιρετισμὸς*, *ordine alphabetico*, cujus principium: *Χαῖρε ἀνωτέρα τῶν νοερῶν* etc. ejusdem *Nicephori Troparia duo in Beatissimam Virginem Deiparam ordine alphabetico*, quorum *primum* incipit his verbis: *Ἄχραντε Παρθένε, Μῆτερ Θεοῦ, πάσης ἀνθρωπίνης βοηθείας ἀπολυθεὶς*, etc. *secundum* autem, *Ἄχραντε Παρθένε, Μῆτερ Θεοῦ, ἡ δεδοξασμένη ὑπὲρ πᾶσαν φύσιν βροτῶν*, etc. *Theophanis Canon paracleticus ad Beatissimam Virginem Deiparam*, cujus principium: *Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρός σε καταφεύγω σωτηρίαν ἐπιζητῶν, ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε* etc. *Theodori Monachi Canon catanycticus ad Chri* **| 564 |** *stum Servatorem*, cujus principium: *Ὥσπερ ἐκ τάφου σεαυτὸν ἐξήγειρας θείᾳ δυνάμει σου, ὅυτω κἀμὲ* etc. *Michaëlis Pselli Canon ad Christum exagoreuticus simul et paracleticus*, cujus principium: *Ἀδεῶς Σῶτερ μου* etc. [3] *Cosmae Episcopi Majumensis* (A) *Canon paracleticus ad Christum*, cujus principium: *Πένθος μοι δώρησαι Λόγε καθαρτικὸν* etc. *Josephi Studitae Canon de secundo Adventu Christi*, cujus principium: *Χαίρει χορὸς τῶν σῶν ἁγίων Κύριε* etc.

575. 576.

CCCIX.

. . . . . . **| 575 |** . . . .
. . . . Ultimum denique in eodem codice obtinent locum *Canones aliquot para-*

1 Hippolytus Maraccius *in sua* Bibliotheca Mariana *facit tantum mentionem* Canonum octo. *Unde patet, reliquos* quinquaginta novem *Ipsi fuisse incognitos. Plura hac de re vide supra pag.* 73.

1 *Hi* Canones *recentiori manu in* charta *scripti et* Ioannis Mauropodis *supra memoratis* Canonibus, *in* membrana *exaratis, tegumenti loco partim praefixi, partim subjuncti sunt.*

2 *Ita ibi in* Acrostichide *istius Canonis scriptum est, nempe Θεοδωρίτου, non autem Θεοδωρήτου*[sic], *incipit litera Iota hoc modo: Ἴδε Χριστε τὴν θλίψιν τῆς ψυχῆς μου etc.*

3 *Vide* Leonis Allatii *Dissert. I. de Libris Ecclesiasticis Graecorum pag.* 73. 81. *et* 82.

(A) *Vide, quae de hoc adnoto ad Lib. IV. Cod. CXCVII. pag.* 197.

cletici [2] *Ioannis cognomine Mauropodis,* primum *Monachi,* deinde autem *Archiepiscopi Euchaitorum*; quorum unumquodque peculiarem suam habet *Acrostichidem,* quae itidem, ut quaelibet *Ode nona,* nomine *Ioannis* insignita est. *Primi Canonis ad Christum Acrostichis* cum *principio* est talis: *Πρῶτον φέρω* | 576 | *μέλισμά σοι Θεοῦ Λόγε μοναχὸς Ἰωάννης. Πάντα ἐκ μὴ ὄντων κατ' ἀρχὰς* etc.

II 12.

| 11 | CCIV.

. . . . *Sexto,* et quidem a fol. 217. p. 1. usque ad fol. 229. sive ultimum, *Ioannis Metropolitae Euchaitorum Oratio in tres Sanctos Patres Basilium Magnum, Gregorium Nazianzenum et Ioannem Chrysostomum*; cujus titulus et principium: *Ἰωάννου Μητροπολίτου Εὐχαΐτων Ἐγκώμιον εἰς τοὺς ἁγίους καὶ* | 12 | *θεσπεσίους ἡμῶν Πατέρας, Βασίλειον τὸν Μέγαν, Γρηγόριον τὸν Θεολόγον, καὶ Ἰωάννην τὸν Χρυσόστομον. Πάλιν Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς, καὶ πάλιν ἡμῖν ἐπιφανὴς ἑορτή. τρίτος μέν τοι μὴν* etc. Meminit hujus Orationis V. Cl. *Leo Allatius* in Diatriba de Symeonum Scriptis pag. 105.

Casimiri Oudini Commentarius de Scriptoribus ecclesiasticis. Tom. II. Lipsiae 1722. 606—609.

| 606 | IOANNES MAVROPVS EVCHAITENSIS METROPOLITA, de quo parce atque ambiguus satis loquitur Hippolytus Maraccius Lucensis in *Bibliotheca Mariana*, ubi de ejusdem authoris aetate, quasi de re incerta his verbis: »Ioannes Euchaitarum Episcopus, natione Graecus, inter Hymnographos Menaeorum insignis, de cujus aetate aut vita Simon Wangnereck in sua *Pietate Mariana Graecorum*, parte 1. in Prolegomenis Num. 25. se nondum quidquam invenisse scribit, quod viris doctis probari[sic] se posse confideret: studium suum erga B. Virginem declaravit scribendo Graece *In Dormitionem sanctissimae Deiparae* Orationem unam, quae MS. extat in Bibliotheca Vaticana. *Canones* item *octo deprecatorios ad sanctissimam Deiparam* secundum octo Echos Graecorum, qui MSS. extant ibidem«. Haec Maraccius. Quod autem ille sub Imper. Constantino Monomacho, ab anno 1042. usque ad annum 1054. imperante floruerit, manifeste apparet non solum ex Vitae ipsius brevi Epitome, quae MSS. operibus praemittitur, verum etiam ex illius Poëmatibus, in quibus nimirum jam memorati Imperatoris Constantini Monomachi velut Synchroni, aliquoties nominatim mentio fit. De illo ita Guillelmus Cavus in Historia Rei Literariae ad annum 1054. pag. 608. »Ioannes Euchaitarum Metropolita claruit circa annum 1054. et deinceps. Scripsit *Poëmata versibus Jambicis in principalium festorum pictas in tabulis historias,* atque alia varia. Carmina ista prodierunt Graece edita Aetonae 1610. in 4[to], cura Matthaei Busti Aetoniensis cum notis doctissimis. Scripsit etiam *Vitam S. Eusebiae* apud Euchaitas in magna veneratione habitae, item *Vitam S. Dorothei in Chiliocomo,* ex quibus fragmenta quaedam profert Leo Allatius in libro *De consensu utriusque Ecclesiae in dogmate de Purgatorio* pag. 754. Longe tamen plura ipsi attribuit Encomia in Sanctos Leo Allatius, quae inter Simeonis Metaphrastae Collectanea reperiuntur, de quibus idem Allatius in Diatriba *De Simeonum Scriptis*, nempe *In Sanctum Theodorum Martyrem* pag. 82. *Joannis Euchaitarum Metropolitae εἰς τὴν μνήμην τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου καὶ τὴν τοῦ πρωτοσαββάτου ἡμέραν ἐν Εὐχαΐτοις,* cujus initium *Ἀλλ' οὐ πένθιμος ἡμῖν ὁ καιρός. τούτου γέτοι μαρτύριον σαφὲς ἡ νηστεία.* Pag. 92. *In Dormitionem sanctae Deiparae, εἰς τὴν ἁγίαν κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου,* cujus initium *Ἐπὶ τὴν μητέρα τοῦ Λόγου μετὰ τὸν Λόγον ὁ λόγος.* Pag. 97. *In Synaxim Sanctorum Angelorum, λόγος εἰς τὴν σύναξιν τῶν ἁγίων Ἀγγέλων,* cujus initium *Καὶ τοῦτο τῆς ἄκρας ἀγαθότητος γνώρισμα, ἀπόδειξις καὶ αὕτη*[sic] *μεγίστη.* Pag. 99. *In Sanctum Theodorum Teronem εἰς τὴν μνήμην τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ Τήρωνος, ἤτοι* | 607 | *τὸν ἀνθισμόν,* cujus initium *Μαρτυρικὴ πανήγυρις σήμερον.* Pag. 102. *In Diem Sanctum Paschatis, εἰς τὴν μνήμην τοῦ μεγάλου τροπαιοφόρου μετὰ τρίτην ἡμέραν τοῦ Πάσχα τελουμένην,* cujus initium *Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ.* Pag. 104. *Vita S Patris nostri Dorothaei*[sic] *junioris, in Chiliocomo, βίος*

2 *Vide supra pag. 560. ubi agitur de Codice CCXCIXno.*

τοῦ ὁσίου πατρὸς ἡμῶν Δωροθέου τοῦ νέου, ἤτοι τοῦ ἐν τῷ χιλιοκώμῳ, cujus initium *Οὐ παλαιοῖς ἄρα μόνον, ἀλλὰ καὶ καινοῖς διηγήμασιν ἔδει κοσμηθῆναι τὸν Πόντον.* Pag. 105. *In sanctos tres Antistites Basilium, Chrysostomum et Gregorium εἰς τοὺς ἁγίους τρεῖς ἱεράρχας βασίλειον, χρυσόστομον καὶ Γρηγόριον*, cujus initium *Πάλιν Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς, καὶ πάλιν ἡμῖν ἐπιφανὴς ἑορτή.* Pag. 105. *In sanctum Martyrem Theodorum*, id est, *Πεζόν: εἰς τὴν μνήμην τοῦ ἁγίου μάρτυρος Θεοδώρου, ἤτοι τοῦ Πεζοῦ*, cujus initium *Παρ' ἡμῖν δ' οὖν οὐ σπάνια τὰ καλὰ, τὸ τοῦ λόγου.* Pag. 106. *In sanctam Eusebiam Euchaitensem, λόγος εἰς τὴν μνήμην τῆς ὁσιομάρτυρος Ἐυσεβείας, τῆς ἐν Ἐυχαΐταις*[sic]: cujus initium *Περὶ ταύτης γε μέντοι, περὶ ταύτης τῆς φιλομάρτυρος ἔγνωμεν οὐδέν τε*[sic] *σαφές.* Pag. 112. *Encomium in Sanctos tres Antistites Basilium, Chrysostomum et Gregorium Nazianzenum, ἐγκώμιον εἰς τοὺς ἁγίους τρεῖς ἱεράρχας βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν θεολόγον, καὶ Ἰωάννην τὸν χρυσόστομν*: cujus initium, *Τρεῖς με πρὸς τριώνυμον παροτρύνουσι κίνησιν.* Pag. 115. *In memoriam magni triumphatoris et de miraculo facto in Barbaros, εἰς τὴν ἡμέραν τῆς μνήμης τοῦ μεγάλου τροπαιοφόρου, καὶ τὴν νῦν γενομένην ἐπὶ τοῖς βαρβάροις Θαυματουργίαν*: cujus initium, *Ὡς ἐντυχὴς καὶ πάντα μακάριος* etc. Haec eadem *Oratio seu Encomium in sanctissimos Papas, Gregorium, Basilium et Chrysostomum*, extat in multis Angliae bibliothecis Graece MS. inter MSS. Codices Bodleianae Bibliothecae in MSS. Baroccianis Codice 197. pag. 460. ad 473. Ibidem Codice 290. in MSS. Oliverii Cromvelli Codice III. pag. 29. ad 71. Inter MSS. Codices Ecclesiarum Angliae Cathedralium et aliarum celebrium Bibliothecarum num. 5863. in MSS. Graecis Thomae Galaei Codice 29. Item inter MSS. Codices Bodleianae Bibliothecae numero 2925. in MSS. Graecis Thomae Bodleii Cod. 142. *Joannis Metropolitae Euchaitensis Commentarius in Magnas festorum tabulas per modum Ecphrasium*, Graece in 4. Et ibidem num. 3015. Codice 26. *Commentarius Ecphrasticus in magnas festorum tabulas carmine Jambico Graece, per Joannem Euchaitarum Metropolitam* in fol. Extant autem *Joannis Mauropodis Poemata sacra centum et duo*, cum *Vita ipsius* Poëmatibus praemissa, inter MSS. Codices Theologicos Graecos Bibliothecae Caesareae Vindobonensis, Codice CCXI. ut habet Lambecius Tomo V. Commentariorum hujus Bibliothecae p. 29. quorum Opusculorum hic titulus est: *Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου Μητροπολίτου Ἐυχαΐτων ὑπόμνημα. Ὁ βίος* | 608 | *οὗτος ἦν ἐπὶ τοῦ βασιλέως Ῥωμαίων Κωνσταντίνου τοῦ Μονομάχου, καὶ Ζωῆς τῆς βασιλίσσης. ἔτη δὲ τὸ ἀπὸ τότε συντείνει ἑξήκοντα τέσσαρα πρὸς τοῖς πεντακοσίοις. ἀνὴρ δὲ σοφώτατος καὶ ἁγιώτατος ὤν, συνέγραψε πλείους τῶν λόγων, καὶ ἐπιστολὰς καὶ στίχους Ἰαμβικοὺς, καὶ ἄλλα πολλὰ λόγου καὶ χάριτος ἄξια, καὶ πολλοὺς τῶν ἀνθρώπων ἐξεπαίδευσε, πεπληρωμένος ὢν τῆς τοῦ παναγίου πνεύματος χάριτος.* Sequitur deinde *Prooemium Jambicum* totius libri hoc modo: *Πρόγραμμα εἰς τὴν ὅλην βίβλον. στίχοι Ἰαμβικοί.*

Πάλαι διδαχθεὶς ὡς ἄριστον πᾶν μέτρον,
Τάτε ἄλλα πάντα μετριάζω καὶ λόγους.
etc.

Ejusdem *Canones paracletici* sive *Cantica consolatoria viginti quatuor ad Christum*, extant ibidem Cod. MS. Theologico Graeco CCXCIX. num. 1. ut habet Lambecius Libro V.

. . . .
. . . . | 609 | . . . .*
Haec nos ex Lambecio Lib. 5. Commentariorum Bibliothecae Caesareae Vindobonensis, pag. 4. 29. 266. 274. et in Catalogo, p. 335. et 365.

* quae hic habet Oudinus quum iam ediderim non visum est repetere *Lagarde*

Gottingae, typis expressit officina academica Dieterichiana (WFrKaestner).

